ΜΡ. ΘΥ. Ἡ ΜΕΓΑΣΠΗΛΑΙΩΤΙΣΣΑ.



Κ. Φανέλλης σχεδιάσας ἐλιθογράφησε. ᾳωμ. Ἀθήνησι.

ΚΤΙΤΟΡΙΚΟΝ

Η

ΠΡΟΣΚΥΝΗΤΗΡΙΟΝ


ΤΗΣ ΙΕΡΑΣ ΚΑΙ ΒΑΣΙΛΙΚΗΣ ΜΟΝΗΣ

ΤΟΥ

ΜΕΓΑΛΟΥ ΣΠΗΛΑΙΟΥ.

Ἐξεδόθη ἐπιδιορθωθὲν ψήφῳ καὶ σπουδῇ τοῦ ἱεροῦ Μοναστηρίου.

« Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. — Διελεύσομαι
» ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ. —
» Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκη-
» νώματος δόξης σου ». Ψαλμ. μα, 4, με, 4, κε, 8.



ΑΘΗΝΗΣΙΝ.

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ Κ. ΡΑΛΛΗ.

—

ᾳΩΜ.

« Κοσμοῦσι βασιλεῖς καὶ δυνάσται γῆς τὴν εἰκόνα τὴν σὴν θεοκόσμητε, καὶ τὸν ναόν· ἐθνῶν » μεγιστᾶνες, λαοί, φυλαί, πιστῶς δωροφοροῦσί σοι λιθομαργαρόχρυσα ἱερά, κειμήλια καὶ σκεύη. » Μεγάλη σου ἡ δόξα ἐν οὐρανῷ καὶ γῇ θεόνυμφε. »

(Μάρκ. Ἐφέσ. Κανόν. παρακλητ. ἠ. ᾠδ. θ'. τροπ. δ'. ἐν Ὑμνωδ. Ἀνεκδ. σελ. 132. Ἀθήνησι. ͵αωμ.).

ΠΙΝΑΞ ΤΩΝ ΕΜΠΕΡΙΕΧΟΜΕΝΩΝ.

ΠΑΡΟΡΑΜΑΤΑ καὶ ΠΡΟΣΘΗΚΑΙ.

ΣΕΛ. 6. στίχ. 12. γρ. κατὰ τὸν ιζ. αἰῶνα (περὶ τὸ 1630. βλ. Δημητρ. Προκοπ. ἀπαρίθμ. τῶν κατὰ τὸν ιζ. λογίων Γραικῶν §. κη.) — στίχ. 19. γράφε κατὰ τὸ αχμ′ (1640). — ΣΕΛ. 28. στίχ. 1. τῆς. — στίχ. 27. συμφορήσας. — ΣΕΛ. 33. στίχ. 9. πηγῆς. — ΣΕΛ. 56. στίχ. 35. σημ. (α) (πρόσθες). Τῆς ἀρχαιοτάτης ταύτης θέσεως τοῦ θεομητορικοῦ τύπου πολὺ νεώτερα μιμήματα φαίνονται καί τινες εἰκόνες ἐν Πίσῃ τῆς Ἰταλίας, κατὰ τὸ 1063 ἐζωγραφημέναι, ἐν αἷς ἡ Θεοτόκος φέρει τὸν Μονογενῆ ἐπὶ τοῦ δεξιοῦ βραχίονος (βλ. Hist. de la Peinture en Italie par M. B. A. Paris 1817. vol. i. p. 16.) — ΣΕΛ. 58. στίχ. 20. μετὰ τὸ 714 (πρόσθες) ἀνεκήρυξε « τὴν ὑπὸ τοῦ Εὐαγγελιστοῦ Λουκᾶ ζωγραφηθεῖσαν εἰκόνα τῆς θεομήτορος, ἥτις ἐξ Ἱερουσαλὴμ (εἰς Κωνσταντινούπολιν) ἀπεστάλη » (βλ. βίον τοῦ ἁγ. Στεφάν. τοῦ νέου)· τὸ δ' ἀντίτυπον, ὃ διέταξεν ἀντιγραφῆναι, φαίνεται μᾶλλον οὐ τῆς ὑπὸ τοῦ Ἀποστόλου Λουκᾶ ζωγραφηθείσης, ἀλλ' ἑτέρας ἀχειροποιήτου εἰκόνος κτλ. — ΣΕΛ. 59. στίχ. 4. μετὰ τὸ ὡσαύτως (πρόσθες) καὶ ὁ Ὁμολογητὴς Θεοφάνης, ὁ Γραπτὸς (τῷ 818) ἐμελῴδησεν ὅτι « Τῆς ἁγνῆς Θεοτόκου τὴν θείαν εἰκόνα Λουκᾶς ὁ Ἀπόστολος ἐκ πόθου ἀνιστόρησεν » (ἐν Μηναίοις Ὀκτωβρ. ιη. Ἐξαποστειλ. βλ. καὶ τοῦ παρόντος βιβλίου σελ. 153) καὶ κτλ. — ΣΕΛ. 59. στίχ. 14. ἱστοροῦσι (πρόσθες) Καὶ Νικήτας ὁ Παφλαγὼν (τῷ 870) ἐν ὑπομνήμ. εἰς τὸν Εὐαγγ. Λουκᾶν. βλ. καὶ Θεοφίλου τοῦ Καμπανίας Ταμεῖον ὀρθοδοξ. κεφ. νγ. σελ. 127. Ἐνετ. αψπη. — ΣΕΛ. 61. στίχ. 29. Bon. (πρόσθες) Κατακουζ. α, 59. δ, 1. — Νικήτ. εἰς Ἰσαὰκ Ἄγγελ. — Στίχ. 34. Ὀφικ. ιβ. σελ. 102. ἐκδ. Παρισ. — ΣΕΛ. 63. στίχ. 40. Harl. (πρόσθες). Ἀλλὰ τοῦτο τὸ ἀντίτυπον οὐκ ἀπὸ τῆς τοῦ Λουκᾶ, ἀλλὰ μᾶλλον ἐξ ἄλλης ἀχειροποιήτου εἰκόνος τῆς Θεοτόκου, ἐν κίονι ναοῦ ἱστορημένης, ἀντέγραψεν ὁ πατριάρχης Γερμανὸς (ὁδοιπορῶν εἰς Ἱεροσόλυμα)· καὶ τὸ ἀντίγραφον ἔκτυπον εἰς θάλασσαν βληθὲν διεσώθη πρῶτον εἰς Ῥώμην (ἐπὶ τοῦ Πάπα Γρηγορίου. Γ.), κἀκεῖθεν πάλιν ἦλθεν εἰς Κωνσταντινούπολιν, καὶ τεθὲν ἐν τῷ ναῷ τῶν Χαλκοπρατείων ἐπωνομάζετο τῆς Θεοτόκου τῆς Ῥωμαίας. (βλ. Fabric. l. c. vol. X. p. 253. Harl.). Ὁ δὲ Μ. ὁ Γλυκᾶς (Χρονικ. τμῆμ. Δ. σελ. 281) κατὰ μέγα λάθος ἱστόρησε τὸν πατρ. Γερμανὸν λέγοντα, ὅτι « ἡ παρὰ Λουκᾶ τοῦ Ἀποστόλου ἱστορηθεῖσα εἰκὼν εἰς Ῥώμην πρὸς Θεόφιλον ἐστάλη » (πρβλ. Gretzer. Syntag. de imag. non manufact. c. 18. ὅστις καὶ ἄλλης ἐπὶ τοῦ Πάπα Γρηγορίου τοῦ Μ. ἀποστολικῆς εἰκόνος ἐν Ῥώμῃ μνημονεύει, καὶ τρίτης ὁμοίως). — ΣΕΛ. 65. στίχ. 12. μετὰ τὸ ἀνιστόρησε. (πρόσθες). Ὅθεν καὶ ὁ ἱερώτατος Μάρκος ὁ Ἐφέσου, ὁ Εὐγενικὸς, ὁ ἀοίδιμος (τῷ 1436) ἐν τοῖς ἤδη πρῶτον μετὰ τοῦ Κτιτορικοῦ τούτου παρ' ἡμῶν ἐκδοθεῖσιν ὀκτὼ παρακλητικοῖς εἰς τὴν Θεοτόκον κανόσιν αὐτοῦ ἐξυμνεῖ τὴν ἔτι κατ' αὐτὸν σωζομένην ἐν τῇ Κωνσταντινουπόλει Ὁδηγήτριαν (σελ. 61), ὡς εἰκονογραφίαν τοῦ Λουκᾶ (βλ. Ὑμνῳδῶν Ἀνέκδοτα. Ἀθήνησι. αωμ′. σελ. 105. καὶ 126. Κανόν. γ. ᾠδ. θ. καὶ Καν. ζ. ᾠδ. η.) — ΣΕΛ. 74. στίχ. 9. τῆς Ἐδέσσης (πρόσθες). Καὶ ἄλλη ἀχειροποίητος εἰκὼν τοῦ Κυρίου μνημονεύεται ἡ ἀπὸ τῶν Καμουλιανῶν (κώμης τῆς Καππαδοκίας), ἔκτυπος ἴσως καὶ αὐτὴ τοῦ ἁγίου Μανδηλίου, θείᾳ δυνάμει (καθὼς καὶ ἡ ἐπὶ τοῦ κεράμου. πρβλ. καὶ Γλυκᾶ Χρονικ. δ. σελ. 306) παραδόξως ἐκτυπωθεῖσα· καί τοι ἄλλως ἱστορεῖται ἐν Συναξαρ. Αὐγούστ. 9 (ὁπότε καὶ ταύτης ἄγει μνήμην ἡ Ἐκκλησία. βλ. καὶ Ζ. Συνόδ. πράξ. ε). Καὶ ταύτης δὲ πάλιν ὅμοιον ἀχειροποίητον ἔκτυπον μνημονεύεται Συναξαρ. Αὐγούστ. ια. (πρβλ. J. Gretzer. Syntag. de imagin. etc. c. 6, 12, 13, 14). — Στίχ. 26. — 613 (πρόσθες). Ταῦτα ὁ Σκόρσος, ἐκ τοῦ Γρετσέρου (Gretz. l. c. cap. 15), καὶ οὗτος πάλιν ἐκ τοῦ Ματθαίου (Math. Westmonasteriensis, ἀκμάσαντος τῷ 1377), ὅστις ἀντιγράφει τὰ τοῦ Θεοφάνους λατινιστὶ λέγων « ὅτι ὁ Ἡράκλειος ἐν τῷ κατὰ Χοσρόου πολέμῳ ἔφερε μεθ' ἑαυτοῦ τὴν ἀχειροποίητον εἰκόνα τῆς Θεοτόκου ». Ἀλλ' ὁ Θεοφάνης οὐδαμοῦ τῶν καθ' ἡμᾶς σωζομένων χρονικῶν μνημονεύει ῥητῶς ἀχειροποίητον εἰκόνα τῆς Θεομήτορος. Λέγει δὲ μόνον ὅτι « τῷ 602 ἧκεν Ἡράκλειος ἀπὸ Ἀφρικῆς φέρων πλοῖα— καὶ εἰκόνας τῆς Θεομήτορος, καθὰ καὶ ὁ Πισίδης Γεώργιος λέγει » (σελ. 250). Ἀλλαχοῦ δὲ (σελ. 254) ὅτι (ὁ Ἡράκλειος κατὰ Χοσρόου) λαβὼν ἐν χερσὶ τὴν θεανδρικὴν μορφὴν, «ἣν χεῖρες οὐκ ἔγραψαν, — ἥπτετο τῶν ἀγώνων »· τὸν ἀχειροποίητον λέγων τοῦ Σωτῆρος χαρακτῆρα, τὸν ἀπὸ Καμουλιανῶν ἐπὶ Ἰουστίνου (τῷ 574) κομισθέντα εἰς Κωνσταντινούπολιν (Κεδρην. εἰς Ἰουστιν. Β. Τὸ δὲ ἐκ τῆς Ἐδέσσης πρωτότυπον θεανδρικὸν ἐκμαγεῖον μετεκομίσθη πολὺ ὕστερον ἐπὶ Ῥωμανοῦ τῷ 944. βλ. Λέοντ. Γραμμ. Χρονογρ.). Ταύτην τὴν θεανδρικὴν εἰκόνα ἔφερε καὶ Φιλιππικὸς ἐπὶ Μαυρικίου (τῷ 578. Θεοφάν. Χρονογρ. σελ. 216. πρβλ. Θεοφύλ. Σιμοκ. ἱστορ. β. γ. σελ. 90. καὶ Φώτ. κώδ. ξε. σελ. 84. καὶ Γλυκ. Χρονικ. δ. σελ. 275)· καὶ φαίνεται λοιπὸν ὁ Westmonasteriensis ὅτι τὸ τοῦ Θεοφάνους θεανδρικὴν (εἰκόνα) ἐξέλαβε κατὰ λάθος ἀντὶ θεομητορικήν. Περὶ δὲ τῆς ὑπὸ τοῦ Πατριάρχου Γερμανοῦ ἀντιγραφείσης ἀχειροποιήτου εἰκόνος τῆς Θεοτόκου εἴπομεν ἀνωτέρω σελ. 63. — Στίχ. 41 Κοσσυφήνισσα (πρόσθες). χυδαίως προφέρεται καὶ Κοσφήνιτζα καὶ Κοσύνιτζα· καί τινες ὑποπτεύουσι τὸ ὄνομα παραπεπλασμένον ἐκ τοῦ Σλαβονικοῦ· ἀλλ' ὑπάρχει ἁπλῆ παρήχησις καὶ κατὰ σύμπτωσιν ὁμοιοφωνία. Ἡ παράδοσις τῆς ἱστορίας ἐστὶν ἀρχαία). — ΣΕΛ. 89. στίχ. 16. εἰς ἡμᾶς. — στίχ. 22. προβαλλόμεθα. — ΣΕΛ. 90. στίχ. 12. τρία. — ΣΕΛ. 136. στίχ. 25. στησώμεθα. — ΣΕΛ. 156. στίχ. 2. ἀπολῦσαι.

ΚΤΙΤΟΡΙΚΟΝ

Η

ΠΡΟΣΚΥΝΗΤΗΡΙΟΝ

ΤΟΥ ΜΕΓΑΛΟΥ ΚΑΙ ΙΕΡΟΥ ΣΠΗΛΑΙΟΥ

ΚΑΙ

ΤΗΣ ΕΝ ΑΥΤΩΙ ΜΟΝΗΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

ΠΡΟΟΙΜΙΟΝ.

§. α'. Ἓν τῶν ἱερῶν καὶ κοινωφελῶν ἐθίμων τῆς εὐσεβείας ὑπῆρξεν ἀνέκαθεν καὶ ἡ τῶν κατὰ τόπους ἐπισημοτάτων Ναῶν καὶ Μοναστηρίων ἐξιστόρησις καὶ διαγραφή. Διότι, ἂν ἡ τῶν κοσμικῶν χωρῶν ἱστορικὴ περιήγησις καὶ τὰ ὁδοιπορικὰ βιβλία παρέχουσι καὶ τέρψιν καὶ ὠφέλειαν εἰς τοὺς ἀναγνώστας, πολὺ μᾶλλον ἡ τῶν ἱερῶν σκηνωμάτων ἀκριβὴς ἱστορία τάς τε καρδίας εὐφραίνει τῶν φιλοθέων, καὶ τὰς ψυχὰς ὠφελεῖ, ζῆλον καὶ μίμησιν ἀρετῆς ἐμποιοῦσα, καὶ τοὺς τῶν ἁγίων τόπων εὐλαβεῖς περιηγητὰς πρὸς τὴν θεωρίαν χειραγωγεῖ, καὶ πανταχόθεν διεγείρει πρὸς δόξαν Θεοῦ.

§. β'. Τοιοῦτον ἀρχαῖον ἱστορικὸν βιβλίον, τὸ συνήθως Κτιτορικὸν καὶ Προσκυνητάριον, ἢ (μᾶλλον ἑλληνικῶς) Προσκυνητήριον λεγόμενον (α), εἶχεν ἔκπαλαι καὶ τὸ τοῦ Μεγάλου Σπηλαίου ἱερὸν

(α) Προσκυνητήριον κυρίως, τόπος, ὅπου προσκυνοῦμεν· ὅθεν καὶ τὸ πῆγμα, ἢ σκιμπόδιον, ἐφ' οὗ πρόκεινται ἱεραὶ εἰκόνες εἰς προσκύνησιν (τὸ καὶ ἄλλως εἰκονοστάσιον)· ἔτι δὲ καὶ βιβλίον ἱστορικὸν τόπων ἱερῶν, χρήσιμον εἰς τοὺς προσκυνητάς· οὕτω καὶ ψαλτήριον (τὸ ὄργανον, καὶ ἡ βίβλος τῶν ψαλμῶν), ἀπολυτήριον (γράμμα ἀπολύσεως), ἐνταλτήριον, πωλητήριον, κτλ. ὑπακουομένου τοῦ γράμμα, ἢ βιβλίον (ὡς καὶ προσφωνητήριος, συντακτήριος, εὐχαριστήριος λόγος). Τὰ δὲ τοιαῦτα βιβλία ὁ παρακμάζων Ἑλληνισμὸς συνήθως καὶ εἰς αριον ἐκφέρει Λατινικώτερον· οἷον Ἐκλογάριον, Ἁγιασματάριον, Πεντηκοστάριον, Προσευχητάριον (ἀντὶ προσευχητήριον, προσευκτήριον) καὶ ἄλλα, καὶ τὰ μουσικὰ, Ἀναστασιματάριον, Κεκραγάριον, κτλ. πρόσθες καὶ αὐτὸ τὸ Ἀλφαβητάριον. Τὸ δ' οὖν Προσκυνητάριον ἢ Προσκυνητήριον ἐπλάσθη ἐκ τοῦ προσκυνητής. Προσκυνητὰς δὲ ἔλεγον ἔκπαλαι (καθὼς καὶ τὴν σήμερον) κυρίως μὲν πάντας τοὺς προσκυνοῦντας τῷ Θεῷ ἐν πνεύματι καὶ ἀληθείᾳ (Ἰωάν. δ. 23), ἰδίως δὲ καὶ τοὺς τῶν ἱερῶν τόπων φιλοθέους περιηγητὰς, οἵτινες προσκυνοῦσι τῷ Θεῷ προσερχόμενοι καὶ εἰς τόπους ἁγίους, ἐν οἷς θεία τις διέλαμψεν ἐπιφάνεια καὶ χάρις, « οὐ

Μοναστήριον, περιέχον τὸν βίον τῶν ὁσίων Συμεὼν καὶ Θεοδώρου, τῶν πρώτων μετὰ τῆς ἁγίας Εὐφροσύνης εὑρόντων τὴν ὑπὸ τοῦ ἱεροῦ Λουκᾶ ζωγραφηθεῖσαν ἁγίαν εἰκόνα τῆς Θεοτόκου, καὶ τὸν τρόπον τῆς εὑρέσεως αὐτῆς ἐξιστοροῦν. Τοῦτο δὲ τὸ ἀρχέτυπον βιογραφικὸν κτιτορικὸν Ἡσαΐας καὶ Σωφρόνιος, οἱ ἀοίδιμοι, κατὰ τὸ ζιη ἀπὸ κτίσεως κόσμου (1510, μ. Χ.) ἐν αὐτῷ τῷ ἱερῷ Μοναστηρίῳ τοῦ Μεγάλου Σπηλαίου τὴν ἄσκησιν ἔχοντες, συνώψισαν πρὸς τὸ συντομώτερον, ἰδίαν ἐκδόντες Ἐπιτομὴν εἰς εὐχερεστέραν χρῆσιν τῶν ἀναγνωστῶν· προσέθηκαν δὲ μόνον ὀλίγα τινὰ περὶ τῆς ὕστερον ὑπὸ τῶν Αὐτοκρατόρων γενομένης οἰκοδομῆς τοῦ Ἱεροῦ Μοναστηρίου. Μαρτυροῦσι δὲ αὐτοὶ οἱ περὶ τὸν Ἡσαΐαν ἐν τῇ ἐπιτομῇ λέγοντες ὅτι· « ὑπῆρχεν ἄλλο βιβλιάριον πρότερον συγγεγραμμένον, ὅπου σχεδὸν τὰ ὅμοια εὑρίσκοντο περὶ τῶν ἁγίων Πατέρων, ὅσα διηγήθημεν ἡμεῖς, » κτλ. Ταύτην δὲ πάλιν τὴν Ἡσαΐου Ἐπιτομὴν παρέφρασε πρὸς τὸ κοινολεκτικώτερον ἰδίωμα χάριν τῶν ἁπλουστέρων ὁ μακαρίτης Λακεδαιμονίας Θεοδώρητος, ὅστις φαίνεται καὶ αὐτὸς ἀκμάσας κατὰ τὸν ιϛ αἰῶνα.

§. γ'. Οὕτω δὲ τοῦ παλαιοῦ κτιτορικοῦ προσκυνητηρίου συνοψισθέντος, καὶ πρὸς τὸ κοινολεκτικώτερον προσέτι μεταβληθέντος, τῆς δὲ τυπογραφίας μήπω τότε κοινῶς συνειθισμένης παρὰ τοῖς Ἕλλησι, φανερόν, ὅτι τὰ μὲν ἀντίγραφα τοῦ πρωτοτύπου κτιτορικοῦ παρημελοῦντο καὶ ὠλιγόστευον, παρὰ μόνοις τοῖς ὀλίγοις τότε πεπαιδευμένοις σωζόμενα· τῶν δὲ πολλῶν ἀνάγνωσμα συνηθέστερον ὑπῆρχεν ἡ χυδαία τοῦ Θεοδωρήτου Ἐπιτομή. Ἐσώζοντο δε μάλιστα τὰ πρωτότυπα καὶ τοῦ Κτιτορικοῦ καὶ τῆς Συνόψεως τοῦ Ἡσαΐου κατ' αὐτὸ τὸ ἱερὸν Μοναστήριον. Ἀλλ' ἡ, συνεργείᾳ τοῦ πονηροῦ, κατὰ τὸ αψμ' (1740) ἐν τῷ Μοναστηρίῳ συμβᾶσα πυρκαϊὰ (λέγομεν δὲ περὶ ταύτης ἐφεξῆς) κατηνάλωσε τὰ πάντα, καὶ βιβλιοθήκην, καὶ οἰκοδομάς, καὶ αὐτὸν τὸν θεῖον Ναόν. Ἐπῆλθεν ἐσχάτη συμφορὰ καὶ ἡ παρὰ τῶν Ὀθωμανῶν (κατὰ τὸ 1771) λεηλασία τῆς Πελοποννήσου, ἥτις ἐπέφερε πολλῶν καὶ ἄλλων καλῶν τὸν ἀφανισμόν, καὶ αὐτῶν τῶν πολλαχοῦ τῆς Πελοποννήσου μάλιστα φερομένων ἀντιγράφων τοῦ προσκυνητηρίου. Κατὰ δὲ τὸν εἰρημένον ἐμπρησμὸν τοῦ ἱεροῦ Μοναστηρίου οὐδὲν ἕτερον διεσώθη, εἰμὴ μόνον ἡ ἁγία εἰκὼν καί τινα ὀλίγα τῆς Μονῆς ὑπομνήματα, καὶ ταῦτα ἔξω τυχόντα τῇδε κἀκεῖσε διεσπαρμένα· καὶ οὔτε τὸ ἀρχαῖον Κτιτορικὸν διέφυγε τὰς φλόγας, οὔτε ἡ ἑλληνικὴ τοῦ Ἡσαΐου Ἐπιτομὴ διεσώθη. Μόνης δὲ τῆς ὑπὸ τοῦ Λακεδαιμονίας Θεοδωρήτου μεθηρμηνευμένης ἓν καὶ μόνον παλαιὸν ἀντίγραφον σώζεται τὴν σήμερον εἰς τὴν Μονήν, γεγραμμένον κατὰ τὸ αχοδ' (1674) ὑπό τινος Ἰωάννου ἱερέως, τὸ ἐπίθετον Γιαννακοπούλου, ἀπὸ κώμης Σωποτοῦ· καὶ μηδὲ τοῦτο ὁλόκληρον, ἀλλ' ἐν πολλοῖς ὑπὸ τοῦ χρόνου καὶ ὑπὸ καπνοῦ διεφθαρμένον (α).

τόπῳ περιορίζοντες τὸ θεῖον, ἀλλὰ διὰ φιλοθεΐαν μάλιστα καὶ τοὺς τόπους τιμῶντες ἐκείνους, οὓς ηὐδόκησεν αὐτὸς ὁ Κύριος ἐπισήμους ἀναδεῖξαι, θαυμαστὸς φαινόμενος « *ἐν τοῖς ἔργοις αὐτοῦ καὶ ἐν τοῖς ἁγίοις αὐτοῦ, πρὸς σωτηρίαν ψυχῶν* ».

(α) Ἰδοὺ τοῦ χειρογράφου τούτου ἡ ἀρχή. « Ἐκ τῶν ὁσίων καὶ θαυμαστῶν [ἡμῶν πατέρων Θεοδώρου] Συμεὼν καὶ Εὐφροσύνης [περὶ τῆς εὑρέσεως τῆς ἁγίας καὶ Θεομητορικῆς] εἰκόνος τοῦ ἱεροῦ Λουκᾶ, Διήγησις· τὸ μὲν πρότερον μεταγραφεῖσα ἐκ τῶν βίων τῶν ἁγίων Πατέρων ἑλληνικώτερον παρὰ τῶν Μοναχῶν Ἡσαΐου καὶ Σωφρονίου, ἀσκουμένων ἐν τῷ Σπηλαίῳ, ἐν ἔτει ἀπὸ κτί[σεως κόσμου ζιη, μηνὶ ὀκτω]βρίῳ ιη. Νῦν δὲ μεταγλωτ[τισθεῖσα εἰς τὴν κοινὴν διάλε]κτον παρὰ τοῦ ταπεινοῦ Λακεδαι[μονίας Θεοδωρήτου, καὶ ἐξηγηθεῖσα] πλατύτερον διὰ τὴν ὠφέλειαν τῶν [πολλῶν, ἐν Κωνσταντινουπόλει· ἄρχεται δὲ ἡ διή]γησις οὕτως. » κτλ.

§. δ΄. Ἄλλην τῆς ἑλληνικῆς τοῦ Ἡσαΐου Ἐπιτομῆς χυδαίαν μετάφρασιν ἢ παράφρασιν ἐποίησε μετὰ τὸν Θεοδώρητον Ἀργυρός τις Βερναρδῆς Ἀθηναῖος, κόμης καὶ ἱππεὺς τῆς Ἑνετῶν Ἀριστοκρατίας. Καὶ αὕτη ἡ μετάφρασις ἐξεδόθη τῷ αψε (1705) Ἑνετίῃσιν, ὑπὸ τοῦ ἐκεῖσε σχολαρχοῦντος ἐν τῷ Φλαγγινιανῷ ἑλληνομουσείῳ ἱεροδιδασκάλου, Ἰωάννου Πατούσα Ἀθηναίου, ἐπιγραφομένη « *Σύναξις κανόνων τινῶν ἐγκωμιαστικῶν τῆς Ὑπεραγίας Θεοτόκου, τῆς ἐν τῷ Μεγάλῳ Σπηλαίῳ τοῦ ἐν Πελοποννήσῳ ὄρους τοῦ καλουμένου Χελμοῦ (τῆς Κυλλήνης), καὶ τῶν ὁσίων πατέρων ἡμῶν Συμεὼν καὶ Θεοδώρου τῶν κτιτόρων καὶ ἀρχηγῶν τῆς ἐν τῷ Σπηλαίῳ παλαιᾶς Μονῆς, καὶ τῆς ὁσίας Εὐφροσύνης τῆς εὑρούσης τὴν θείαν Εἰκόνα, τὴν ἱστορηθεῖσαν ὑπὸ τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ ἐν τῷ αὐτῷ Σπηλαίῳ* ». Εἰς τοῦτο τὸ βιβλίον περιέχεται καὶ « *Διήγησις τῆς αὐτῆς εὑρέσεως, καὶ ὁ βίος τῶν Πατέρων* », ἥτις εἰς μὲν τὰ πλεῖστα συμφωνεῖ πρὸς τὸ ἀνωτέρω χειρόγραφον τῆς τοῦ Λακεδαιμονίας ἐπιτομῆς, ἀλλ᾽ ἔχει καί τινας καιρίας παραλλαγὰς καὶ μεγάλας ἐλλείψεις, ὡς φαίνεται καθαρῶς ἐκ τῆς συγκρίσεως αὐτῆς πρὸς τὸ παρ᾽ ἡμῖν χειρόγραφον (α).

§. ε΄. Μετὰ δὲ τὴν ἐσχάτην τοῦ Μοναστηρίου πυρκαϊὰν Παρθένιος ἱεροδιάκονος καὶ διδάσκαλος ἐκ χώρας Ἀράχοβας (τῆς ἐν τῇ Καλαβρύτων ἐπαρχίᾳ) συνηρμολόγησε πάλιν τὸ προσκυνητήριον ἔκ τε τῆς τοῦ Λακεδαιμονίας ἐπιτομῆς καὶ ἐκ τῶν ἀποσωθέντων ὑπομνημάτων, συνταξάμενος τὸ βιβλίον εἰς γλῶσσαν χυδαίαν, καὶ ἐσπευσμένως, ὅπως τὴν παροῦσαν ἔλλειψιν θεραπεύσῃ, καὶ τούτου ἀντίγραφον τύποις ἐξεδόθη κατὰ τὸ 1765 Ἑνετίῃσιν ὑπό τινων φιλοθέων, χάριν τῆς χριστιανικῆς αὐτῶν εὐλαβείας. Ἀλλ᾽ ἐν τούτῳ τῷ μεταξὺ ὁ αὐτὸς πάλιν ἱεροδιδάσκαλος Παρθένιος μετὰ πλείονος ἐρεύνης καὶ ἐπιστασίας φιλοπονήσας συνέταξεν ὁπωσδήποτε καὶ ὅσον ἠδύνατο τελειότερον τὸ Προσκυνητήριον τῆς ἁγίας ἡμῶν Μονῆς· ἐτελείωσε δὲ τὸ πόνημα τῷ 1765, κατ᾽ αὐτὸν δηλονότι τὸν χρόνον, ὁπότε καὶ οἱ θεοφιλεῖς ἐκεῖνοι ἄνδρες ἐξέδιδον τὸ πρότερον Ἑνετίῃσι, καθὼς εἴπομεν.

§. ϛ΄. Ταύτης δὴ τῆς ὑστέρας συγγραφῆς τοῦ μακαρίτου Παρθενίου ἀντίγραφα σώζονται εἰς τὸ ἱερὸν Μοναστήριον. Καὶ τούτου τοῦ πονήματος τὸ πραγματικὸν ἡμεῖς ἀπανθίσαντες, καὶ πᾶν μὲν εἴτι περιττὸν ἀποξέσαντες, ἀναπληρώσαντες δὲ τὰ λείποντα πρὸς τὸ ἀκριβέστατον, καὶ παντοίως τὴν φράσιν μεταρρυθμίσαντες συνετάξαμεν καὶ τύποις ἐκδίδομεν ἤδη τὸ παρὸν κτιτορικόν. Διαιροῦμεν δὲ τὸ βιβλίον εἰς μέρη τρία. Καὶ εἰς μὲν τὸ πρῶτον κατατάσσομεν τὴν ἱερὰν χωρογραφίαν τοῦ Μοναστηρίου· εἰς δὲ τὸ δεύτερον, τὸν βίον τῶν πρώτων αὐτοῦ καθηγεμόνων καὶ τρισολβίων ἡμῶν Πατέρων τῶν εὑρόντων τὴν Ἀποστολικὴν τῆς Θεομήτορος εἰκόνα, λέγω δέ, τῶν ὁσίων Συμεὼν καὶ Θεοδώρου καὶ τῆς ὁσίας Εὐφροσύνης· πρὸς τῷ τέλει τῆς τῶν Ἁγίων Βιογραφίας ἐπισυνήψαμεν καὶ ἱερὰν αὐτῆς τῆς Θεομητορικῆς εἰκόνος διαγραφήν, καὶ ὀλίγων ἐκ μυρίων τῶν

(α) Μία τῶν καιριωτάτων τούτων ἐλλείψεων ὑπάρχει καὶ ἡ παράβλεψις τῆς χρονολογίας τῶν ὁσίων ἡμῶν Πατέρων Συμεὼν καὶ Θεοδώρου (ὅθεν καί τινες τῶν μεταγενεστέρων ἄλλοι ἄλλως ἐχρονολόγησαν τὰ περὶ τῶν πατέρων, συνάγοντες ἐξ εἰκασίας). Τὸ μνημονευθὲν ἀνωτέρω χειρόγραφον χρονολογεῖ σαφῶς τὴν εὕρεσιν τῆς ἁγίας εἰκόνος τῷ 362· ἡ δὲ τῆς Βενετίας ἔκδοσις σιωπᾷ καὶ τοῦτο, καὶ ἄλλα. Καὶ αὐτῆς δὲ τῆς ἁγίας εἰκόνος τὴν μορφὴν ἡ ἔκδοσις αὕτη φέρει τετυπωμένην πάντῃ ξένην καὶ διάφορον παρὰ τὴν ἀληθινήν. Ἡ συχνὴ ἀντιγραφὴ τῆς τοῦ Ἡσαΐου Συνόψεως παρεισήγαγεν ἐξ ἀνάγκης καὶ πολλὰς διαφορὰς καὶ ἐλλείψεις εἰς τὰ χειρόγραφα. Καὶ τοιοῦτον ἐλλειματικὸν χειρόγραφον εὑρὼν μετέφρασε μὲν Ἀθήνῃσιν ὁ Βερναρδῆς, ἐξέδωκε δὲ ὁ μακαρίτης Πατούσας ἐν Βενετίᾳ.

δι αὐτῆς θαυμάτων ἐξιστόρησιν. Ὡς ἐπίμετρον δὲ τοῦ πρώτου καὶ δευτέρου μέρους προσεθήκαμεν καί τινων κτιτορικῶν γραμμάτων συλλογὴν περιέχουσαν τὰ ἀντίγραφα τοῦ τε σωζομένου Χρυσοβούλλου τοῦ ἀοιδίμου Αὐτοκράτορος Ἰωάννου τοῦ Καντακουζηνοῦ, καὶ τῶν Πατριαρχικῶν Σιγιλλίων, καὶ τῶν Διαταγμάτων τῆς ἐν Πελοποννήσῳ κρατησάσης Ἑνετικῆς ἐξουσίας, καὶ αὐτῆς τινα τῆς Ὀθωμανικῆς, ὅσα συμβάλλουσιν εἰς τὴν ἱστορίαν τῆς ἱερᾶς τοῦ Μεγάλου Σπηλαίου Μονῆς. Εἰς δὲ τὸ τρίτον καὶ τελευταῖον μέρος τοῦ βιβλίου κατετάξαμεν τὴν ᾀσματικὴν ἀκολουθίαν τῆς ἑορτῆς τῶν ἁγίων Πατέρων Συμεὼν καὶ Θεοδώρου καὶ τῆς ὁσίας Εὐφροσύνης, τῇ ιή Ὀκτωβρίου συνάμα μετὰ τοῦ Ἀποστόλου Λουκᾶ κατὰ τὴν Μονὴν ἑορταζομένων. Καὶ ἡ μὲν βίβλος τοιαύτη· ἀρχόμεθα δὲ ἤδη τοῦ πρώτου μέρους. « Θεὸς δ' ἡγείσθω, καὶ τελευτάτω τοὖργον. »

ΜΕΡΟΣ ΠΡΩΤΟΝ.

ΙΕΡΑ ΧΩΡΟΓΡΑΦΙΑ ΤΟΥ ΜΟΝΑΣΤΗΡΙΟΥ.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Περὶ τῆς θέσεως τοῦ Μεγάλου Σπηλαίου.

§. ά. ΤΟ Σπήλαιον τὸ μέγα, καὶ ἱερὸν, καὶ τῆς ὑπὸ τοῦ θείου Λουκᾶ ζωγραφηθείσης Θεομητορικῆς εἰκόνος θεόκτιστον ἀνάκτορον, κεῖται κατὰ τὴν Πελοπόννησον πρὸς τὰ πέρατα τῆς Ἀρκαδίας, καὶ παρ' αὐτὰς τὰς μεθορίους τῆς Ἀχαίας ἐσχατιάς. Καὶ πρὸς νότον μὲν ἄνεμον ἐξ ἀριστερῶν ἔχει τὴν πόλιν τῶν Καλαβρύτων, ἀπέχουσαν λεύγας ἢ ὥρας δύω (α)· δεξιόθεν δὲ καὶ πρὸς βορρᾶν ἔχει τὴν Βοῦραν, καὶ τὴν γειτονεύουσαν Κερύνειαν (χυδαίως Κερνίτσαν, ἐκ τοῦ τοπικοῦ Κερυνίτης, Κερυνίτισσα), δύω καὶ ταύτην ὥρας ἀπέχουσαν. Τοῦ δὲ Αἰγίου (τῆς χυδαίως, καὶ ἰταλικώτερον Βοστίτσης) ἀφέστηκε τὸ Σπήλαιον ἕως ὥρας ἕξ· τῶν δὲ παλαιῶν Πατρῶν, ἕως δώδεκα· ἀπὸ δὲ, τέλος, τῆς Κορίνθου, ἕως δεκαοκτώ (β). Ὑπάρχει δὲ τὸ Σπήλαιον αὐτογλυφὲς ἔνδον

(α) Τὰ Καλάβρυτα παρωνομάσθησαν ἐκ τοῦ παραῤῥέοντος Βουραϊκοῦ ποταμοῦ, Καλάβρυτα καὶ τούτου παρὰ τοῖς πρὸ ἡμῶν καλουμένου (ἐκ τοῦ *καλὰ βρυτά*). Κύναιθαν ἡ νεωτέρα ὀνοματοθεσία μετωνόμασε (χωρὶς ἀνάγκης) τὰ Καλάβρυτα· ἀλλ' ἡ ἀρχαία Κύναιθα φαίνεται μᾶλλον ἡ νῦν Κερπινὴ, ἢ, κατ' ἄλλους, ἡ Κέρτεζις, καὶ πᾶσά τις ἄλλη τῶν κατ' ἐκεῖνα τὰ μέρη περιοίκων χωρῶν, πλὴν τῶν Καλαβρύτων· αὕτη δὲ ἡ πόλις ἐστὶ νεωτέρα, κτίσμα τῶν Βυζαντινῶν ἴσως, καὶ οὔτε τὴν θέσιν τῆς ἀρχαίας Κυναίθης ἐπέχει, ἔχει δὲ καὶ τ' ὄνομα ἑλληνικώτατον.

(β) Τοῦτο τὸ μέγα σπήλαιον φαίνεται μνημονεύων καὶ Παυσανίας ἐν τοῖς Ἀρκαδικοῖς· λέγει δὲ ταῦτα ἐπὶ λέξεως. « Ὑπὲρ δὲ τὴν Νώνακριν ὄρη τε καλούμενα *Ἀροάνια* καὶ *σπήλαιόν* ἐστιν ἐν αὐτοῖς. Εἰς τοῦτο *ἀναφυγεῖν* τὸ σπήλαιον τὰς θυγατέρας τοῦ Προίτου μανείσας λέγουσιν· ἃς ὁ Μελάμπους θυσίαις τε ἀποῤῥήτοις καὶ καθαρμοῖς κατήγαγεν εἰς χωρίον καλούμενον Λουσούς· τοῦ μὲν δὴ ὄρους τῶν Ἀροανίων Φενεᾶται τὰ πολλὰ ἐνέμοντο· οἱ δὲ ἐν ὅροις Κλειτορίων εἰσὶν, οἱ Λουσοί. Πόλιν μὲν δήποτε εἶναι λέγουσι τοὺς Λουσοὺς— τὰ δ' ἐφ' ἡμῶν οὐδ' ἐρείπια λείπεται Λουσῶν. Τὰς δὲ θυγατέρας τοῦ Προίτου κατήγαγεν ὁ Μελάμπους εἰς τοὺς Λουσοὺς, καὶ ἠκέσατο τῆς μανίας ἐν Ἀρτέμιδος ἱερῷ (Παυσαν. βιβλ. Ἡ. κεφ. ιή. σελ. 405. Τ. 2. ἔκδοσ. Fac. πρβλ. Εὐσταθ. ὑπομνημ. εἰς Διονυσ. Οἰκουμένης πιριήγ. σχ. 410. σελ. 112. Βιένν. 1808).

πέτρας ὑψιπόλου καὶ παμμεγέθους ἧς τὸ μὲν ὕψος ἔξωθεν ἀναβαίνει ὑπὲρ τὰς ὀγδοήκοντα ὀργυιάς, τὸ δὲ πλάτος μικρόν τι ἐλλείπει τοῦ ἑνὸς μιλίου. Ἔστι δὲ τὰ μὲν ἄνω, τὰ τείνοντα πρὸς τὴν κορυφήν, ἀπότομος πανταχόθεν ἡ πέτρα καὶ περιφερὴς καὶ μεμονωμένη, καὶ τοῦτ' αὐτὸ, μονόπετρα, μονήρης δὲ καὶ πρὸς ἀνατολὰς καὶ δυσμὰς, καὶ παντελῶς ἀπεσχισμένη καὶ φαραγγώδης (ἐξ ἀνατολῶν μάλιστα) καὶ ἀπόκρημνος. Τὰ δὲ πρὸς ἄρκτον καὶ μεσημβρίαν βραχίονας ὀρεινοὺς ἔχει δύω, ὧν ὁ μὲν πρὸς νότον διήκων καὶ προχωρῶν συνάπτεται πρὸς τὸ μέγιστον τῆς Κυλλήνης ὄρος· ὁ δὲ βόρρειος βραχίων συνεχῶς καὶ αὐτὸς ὑποτείνων καταλήγει πρὸς τὴν Βοῦραν καὶ τὴν θάλασσαν τῆς Ἑλίκης. Ὅταν δὲ οὗτοι οἱ βραχίονες θεωρηθῶσι συνεχῶς συνημμένοι κατὰ σειρὰν, τότε φαίνεται ἡ πέτρα τοῦ Σπηλαίου κειμένη, ὡσὰν στῆθος προβεβλημένον, ἐν τῷ μέσῳ τῆς ἐκ τῆς Κυλλήνης πρὸς τὰ νότια τοῦ Σπηλαίου φυομένης καὶ μέχρι πρὸς τὴν θάλασσαν καθηκούσης σειρᾶς τῶν Ἀροανίων. Τὸ δὲ στόμιον τοῦ Σπηλαίου μέγα καὶ εὐρύχωρον, ἀψῖδος ἔχον σχῆμα τοξοειδοῦς, καὶ πλάτος μὲν ἔχει ὅσον ὀργυιὰς τεσσαράκοντα πέντε, ὕψος δὲ, εἰκοσιπέντε· βλέπει δὲ πρὸς δυσμάς· καὶ τὰ πρὸς τὴν εἴσοδον αὐτοῦ καὶ τὴν ἄλλην ὑπώρειαν ὑπτιάζουσι βάσιμα καὶ λαγαρὰ καὶ κολπώδη, γῆν ἔχοντα παχεῖαν καὶ λιπαρὰν, καθὼς καὶ τὰ λοιπὰ πάντα τὰ περὶ τοὺς κάτω πρόποδας τῆς πέτρας· ὅθεν καὶ ἀπέβησαν ἀλσώδη καὶ εὐφυέστατα πρὸς κηπεῖαν καὶ φυτείαν παντοδαπήν. Εὑρίσκονται δὲ καὶ εἰς τοὺς πρόποδας καὶ εἰς τὰ ὕψη μάλιστα τῆς πέτρας πολλαχοῦ, καὶ ἐπιπολῆς καὶ εἰς τὸ βάθος, οὐ μόνον λίθοι συμμιγεῖς (οἷον τιτανώδεις καὶ ἄλλοι τῶν συνήθων στοιβάδων τῆς γῆς), ἀλλὰ καὶ διάφορα ἀπολιθώματα θαλασσίων ὀστρακοδέρμων, μαρτύρια καὶ ταῦτα τοῦ παγκοσμίου κατακλυσμοῦ.

Ἐκ τούτων τοῦ Παυσανίου λόγων φαίνονται τὰ Ἀροάνια (ἐκ τοῦ ἄρω, ἢ ἀρόω, Ἀρόα, πόλις Ἀχαϊκή. Παυσ. Ζ, ιη, 2.), παραφυάδες τινὲς ὄντα τῆς Κυλλήνης (τοῦ Σλαβωνικώτερον χυδαιολεκτηθέντος Χελμοῦ) εἰς βραχιόνων σχῆμα διατεταμένα ὑπὲρ τὴν Νώνακριν (αὕτη νομίζεται πιθανῶς ἡ νῦν Περιστέρα λεγομένη, ἓν τῶν περὶ τὴν Κυλλήνην χωρίων, ἃ κοινότερον λέγονται Κλουκίναι, ἴσως Λουκίναι τινες, ἢ Λυκίναι χῶραι, παρὰ τὸ προσκείμενον Λύκειον ὄρος Ἀρκαδίας· εἰς τὴν Νώνακριν ῥέει καὶ τὰ νῦν τὸ ὕδωρ τῆς Στυγός). Ἀπέχει δὲ ἡ Νώνακρις ἀπὸ τοῦ Μ. Σπηλαίου ὥρας περίπου τέσσαρας· καὶ κεῖται ἐπὶ τῆς αὐτῆς τῶν Ἀροανίων σειρᾶς, ἐν ᾗ καὶ τὸ Σπήλαιον. Ἄλλο δὲ Σπήλαιον ἐν τοῖς Ἀροανίοις οὐδὲν εὑρίσκεται ἀξιόλογον. Ὅσοι δὲ τὸ παρὰ Παυσανίᾳ Σπήλαιον ὑπέλαβον τὸ αὐτὸ καὶ τὸ παρὰ τοὺς Κλειτορίους λεγόμενον ἤδη *Χελώνειον ἄντρον* (χυδαιότερον *Χελωνοσπηλαίαν*) πλανῶνται· διότι τοῦτο οὔτε μέγα, οὔτε πρὸς ὕψος κεῖται (ὥστε *ἀναφυγεῖν* εἰς αὐτὸ τὰς Προίτου θυγατέρας, ὡς λέγει ὁ Παυσανίας)· ἀλλ' οὐδ' Ὀβίδιος (Μεταμορφ. ιε. ϛχ. 322. πρβ. Πλίν. λά, 13. καὶ Σχ. — Ἀθήν. β. 43·) ὅστις μνημονεύει τὴν κρήνην τὴν ἐν Κλείτορι (πρὸς τὸ χελώνειον τοῦτο ἄντρον), οὐδ' οὗτος λέγει τὰς Προίτου θυγατέρας ἀναφυγούσας εἰς αὐτὸ, ἀλλ' ἁπλῶς καθαρισθείσας εἰς τὰ ὕδατα τῆς πηγῆς. Οἱ δὲ Κλειτόριοι καὶ τὰ νῦν οὕτω καλοῦνται (Κλείτορες). Καὶ τῶν ἀρχαίων δὲ Λουσῶν σώζονται καὶ νῦν ἐρείπια (παρὰ τὴν Κατσάναν), καὶ νομίσματα χαλκᾶ καὶ ἀργυρᾶ· καὶ ταῦτα μὲν λόγου πάρεργον. Σὺ δὲ σημείωσον, ἀναγνῶστα, ἔτι καὶ ἐπὶ Μελάμποδος καὶ Προίτου (τῷ 1500 π. Χ.) γνωστὸν τὸ μέγα τοῦτο Σπήλαιον ὂν, ὅπερ ἡ πανάγαθος Πρόνοια ἀπὸ βεβήλου δαιμόνων ἄντρου, καθαρμοῖς ἐναγέσι καὶ λύθρῳ καὶ κνίσσαις τῆς εἰδωλολατρείας μεμιασμένου, Σπήλαιον ἅγιον καὶ τίμιον ἔμελλεν ὕστερον ἀναδείξειν, καὶ Θεοῦ κατοικητήριον, καὶ προσευχῆς ἁγνότατον οἶκον, καὶ ψυχῶν σωτηρίας ἀγωνιστήριον, καὶ πανίερον σκήνωμα τῆς θαυματουργοτάτης εἰκόνος τῆς Θεομήτορος· ἧς ταῖς πρεσβείαις καὶ ἀπὸ μανίας καὶ ἀπὸ νόσων παντοίων σώζονται οἱ μετ' εὐλαβείας προσιόντες καὶ πίστεως τῆς εἰς Χριστὸν Ἰησοῦν.

§. β΄. Κάτωθεν δὲ τοῦ στομίου κατὰ τὴν βαθεῖαν ὑποκειμένην κοιλάδα φαίνεται ῥέων καὶ ῥοχθῶν ὁ καλλιῤῥόας Βουραϊκὸς ποταμὸς (ποτάμιον τῶν Καλαβρύτων ἡ χυδαία λαλιὰ τοῦτον ὀνομάζει), ἀπέχων ἀπὸ τοῦ Σπηλαίου ἓν περίπου μίλιον πρὸς δυσμάς. Πέραν δὲ πάλιν τοῦ ποταμοῦ κεῖται βουνὸς ἄλλος ὑψηλὸς ἀντικρὺ τῆς τοῦ Σπηλαίου πέτρας ἀναβαίνων, ὀλίγῳ μὲν μικρότερος καὶ ταπεινότερος, ἄλλως ὅμως ὁμαλὸς καὶ βάσιμος· ἔχει δὲ περὶ τὸ μέσον καὶ χωρίον μικρὸν, ὅπερ πάλαι μὲν ἐκαλεῖτο Γαλάται, νῦν δὲ χυδαίως Ζαχλοροῦ (α)· περίφημον δὲ τοῦτο τὸ χωρίον τῶν Γαλατῶν μάλιστα, καθὸ πατρὶς τῆς ἁγίας Κόρης Εὐφροσύνης, τῆς πρῶτον ἀξιωθείσης τὴν πάνσεπτον εἰκόνα τῆς Θεομήτορος ἰδεῖν ἐν τῷ σπηλαίῳ (καθὼς ἱστορεῖται περὶ τούτου κατὰ πλάτος ἐν τῇ βιογραφίᾳ τῶν ὁσίων Πατέρων ἡμῶν Συμεὼν καὶ Θεοδώρου.). Ἄνωθεν δὲ τῆς τοῦ Σπηλαίου πέτρας πρὸς νότον κατέρχεται ποτάμιον μικρὸν μὲν, κάλλιστον δὲ, καὶ διαυγὲς καὶ χρησιμώτατον ὕδωρ παρέχον· ἔχει δὲ τὰς πηγὰς ὁ ῥύαξ οὗτος ἄνωθεν ἐκ τῶν νοτιωτέρων τῆς πέτρας καταῤῥέων, ὡς λέγομεν ἐφεξῆς.

§. γ΄. Γίνεται δὲ μάλιστα χαριεστάτη ἡ ὄψις τῆς θεοκτίστου ταύτης πέτρας, καὶ θαυμαστὴ δὲ καὶ μεγαλοπρεπὴς, οὐ μόνον διὰ τὸ ἄποπτον ὕψος καὶ τὸ ἐξαίσιον μέγεθος, ἀλλὰ καὶ διὰ τὰς πρὸς νότον μάλιστα καὶ βοῤῥᾶν καθιδρυμένας διαφόρους οἰκοδομὰς ναῶν τε καὶ ἄλλων κατασκευῶν (περὶ ὧν ἐν τῷ οἰκείῳ τόπῳ), καὶ προσέτι διὰ τὰ ποικίλα δένδρα καὶ φυτά. Τούτων τὰ μὲν ἀναβαίνουσιν αὐτόσπορα καὶ αὐτοφυῆ, κατὰ διάφορα μέρη τοῦ βράχου διεσπαρμένα· τὰ δὲ καὶ διὰ τῆς φιλεργίας τῶν φιλοπονωτάτων Πατέρων ἀκμάζουσι φυτοκομούμενα, καὶ μάλιστα πρὸς δυσμάς· οἷον, ἀμπελῶνες, καὶ ῥοδωνιαὶ, καὶ σειραὶ παραλλήλων ἀνδήρων, ἢ κῆποι τὰς βάσεις κτιστοὶ, περὶ τὰς μηνοειδεῖς πλευρὰς καὶ λαγόνας τοῦ ὄρους ἀλλεπάλληλοι γύρωθεν κεκρηπιδωμένοι. Τρέφονται δ᾽ ἐν τούτοις καὶ κηπεύονται πολλὰ φυτὰ καὶ παντοδαπὰ, καὶ τῶν βοτανῶν αἱ ἐδώδιμοι καὶ λαχανώδεις, καὶ δένδρα κάρπιμα καὶ μακρὰ, τὰ μὲν φυλλοῤῥοοῦντα, τὰ δ᾽ ἐμπεδόφυλλα καὶ ἀειθαλῆ. Πολλὴ δὲ καὶ θάμνων εὐόσμων περιβόσκεται ὕλη, θύμβρου μάλιστα καὶ θυμαρίου καὶ ὀρειγάνου· καὶ πλῆθος ἀνθέων καθ᾽ ὥρας φυόμενον ἐπιλάμπει, καὶ παντοίων ὀρνίθων ᾠδικῶν τε καὶ ἄλλων περιίπτανται σμήνη, τὰ δενδρόφυτα χωρία καταφωνούντων, ἐν καλῷ τῷ περιέχοντι καὶ ὑγιεινῷ διά τε τὰς ἐκ γῆς κομώσης καὶ καταῤῥύτου δροσώδεις ἀναπνοὰς καὶ τὰς περιῤῥεούσας αὔρας. Σεμνὴν δὲ τὴν θέαν τῆς πέτρας ἀποτελοῦσι καὶ αἱ ἀλλεπάλληλοι σειραὶ τῶν πρὸ τοῦ ςομίου φαινομένων ἐν τοῖς κελλίοις θυρίδων καὶ ἐξωστέγων, ὅπου βλέπει τις μακρόθεν τοὺς γεραροὺς Πατέρας, ὡς φιλερήμους τρυγόνας, εἰς οὐρανότεχνον καὶ ψυχοσωτήριον κλωβὸν ἐνεσκηνωμένους.

§. δ΄. Αὐτὴ δὲ, τέλος, ἡ τῆς πέτρας ἔξοχος ὑπερανεστηκυῖα κορυφὴ ἔχει παρατεταμένας καὶ δύω δειράδας ἄλλας, ἢ μικροτέρους αὐχένας, ἑκατέρωθεν χαμηλότερον ὑψουμένους· ὥστε μετὰ τούτων φαίνεται τὸ ὄρος τρικόρυφον. Εἰς ἑκατέραν δὲ τούτων τῶν δειράδων, καὶ κατ᾽ αὐτὴν τὴν μέσην κορυφὴν, ὅταν τις ἐξ ἀποστήματος ὡρισμένου μακρόθεν ἀτενίσῃ, βλέπει τρεῖς εὐμεγέθεις σταυροὺς, ἀνὰ ἕνα καθ᾽ ἑκάστην τῶν κορυφῶν ἐγκεχαραγμένους αὐτομάτως, εἰς ὕψος ἄβατον καὶ ἀπρόσιτον. Ἐμπρέπει δὲ μάλιστα τοῦτο τὸ φαινόμενον εἰς τὴν ἱερότητα τοῦ ὄρους, θείᾳ τινὶ βουλῇ τὸ πρῶτον αὐτοφυῶς μεμορφωμένον, καὶ εἰς αἰῶνας διατηρούμενον. Ἔχει δὲ τὸ ὕψος τῆς πέτρας

(α) Τὸ ὄνομα ὑπάρχει Σλαβωνικὸν ἀντὶ *Ζαγοροῦ* (μεθόριος, ὄπισθεν ὄρους, κατὰ τὰ, Ζαγορὰ, Ζαγόριον κτλ.) ὅθεν Ζαχοροῦ, καὶ Ζαχλοροῦ.

καὶ ἄλλο τι λόγου τε παντὸς καὶ θέας ἀξιώτατον, τὸ ἐφεξῆς. Πλαγίως καὶ κατωτέρω τῶν τριῶν τούτων κορυφῶν πρὸς ἀνατολὰς ἐξέχουσι πέτραι τινές, ὡς τένοντες μικρότεροι, ἢ μονόλιθοι στῆλαι σποράδην πεφυτευμέναι, τὸ σχῆμα πυραμιδοειδεῖς. Τούτων δὲ τρεῖς, ὡς ἐκ τῆς θέσεως, τρίγωνον ἰσόπλευρον σχηματίζουσι κατὰ τὴν βάσιν. Καὶ τὸ μὲν ὕψος ἀναβαίνουσιν οἱ λίθοι οὗτοι ὑπὲρ τὰς εἴκοσιν ὀργυιάς· ἔχουσι δὲ καὶ οἱ τρεῖς ἀνὰ μίαν ἕκαστος ὀπὴν ἄνω πρὸς τὴν κορυφὴν ἐκ φύσεως τετρυπημένην, εὐρεῖάν τε καὶ μεγάλην, ὅσον διόργυιον τὸ μῆκος, τὸ δὲ πλάτος καὶ τὸ βάθος τριῶν ὀργυιῶν. Τούτων οὖν τῶν τριῶν πυραμιδουμένων μονολίθων ὁ καταντικρὺ τῆς μέσης τοῦ Σπηλαίου κορυφῆς πεφυτευμένος θέαμα παρέχεται ἀξιόλογον· διότι διὰ τῆς τούτου ὀπῆς κατὰ τὴν δεκάτην ἡμέραν τοῦ Μαρτίου μηνὸς διαβαίνουσιν ἀκτῖνες ἀνατέλλοντος τοῦ ἡλίου, καὶ προσβάλλουσιν ἐπ' εὐθείας πρὸς τὴν μέσην κορυφὴν τοῦ καταντικρὺ κειμένου βουνοῦ τῶν Γαλατῶν (τρικορύφου κἀκείνου ὄντος). Καὶ γίνεται ὁ μονόλιθος γνώμων τις καὶ δείκτης τῆς ἐαρινῆς ἰσημερίας. Τοῦτο δὲ τὸ φαινόμενον τῆς τοῦ ἱεροῦ Σπηλαίου πέτρας ἀποβαίνει παρόμοιον, ὁποῖον καὶ περὶ τὸ Σίναιον ὄρος συμβαῖνον ἱστορεῖται. Διότι καὶ τὸ πλησίον τοῦ Σινᾶ παρακείμενον ὄρος, τὸ λεγόμενον τῆς ἁγίας Ἐπιστήμης, ἔχει τὴν ἄκραν κορυφὴν ἐκ φύσεως τετρυπημένην· καὶ δι' αὐτῆς (κατὰ τὴν κε, ἡμέραν τοῦ Μαρτίου μηνὸς), ἀκτῖνες νεογναὶ τοῦ ἡλίου ἀνατέλλοντος διερχόμεναι καταυγάζουσι τὸ ἱερὸν τῆς ἁγίας βάτου, ἣν εἶδεν ὁ Θεόπτης Μωϋσῆς καιομένην καὶ μὴ καταφλεγομένην. Ἡ δὲ βάτος προεικόνιζε τὴν τὸ πῦρ τῆς θεότητος ἀφλέκτως ἐν γαστρὶ συλλαβοῦσαν Ἀειπάρθενον Θεοτόκον· παρομοίως πως καὶ ἡ ὑπὸ τοῦ θείου Λουκᾶ ζωγραφηθεῖσα παντευλόγητος αὐτῆς εἰκὼν ἀκατάφλεκτος ἐκ πολλῶν ἐμπρησμῶν διὰ τῆς χάριτος αὐτῆς διεσώθη ἐν τῷ ἱερῷ Σπηλαίῳ προσκυνουμένη.

Τοιαύτη μέν, ὡς εἰπεῖν συντόμως, ἦτε θέσις καὶ ἡ ἔξωθεν θέα τῆς μακρᾶς καὶ θαυμασίας πέτρας τοῦ μεγαλωνύμου Σπηλαίου· τὰ δὲ πέριξ ἐπ' αὐτῆς ἔξωθεν φαινόμενα οἰκοδομήματα, ποῖά τινα καὶ πόσα, καταλέγομεν ἐφεξῆς.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ τῶν ἔσω τοῦ Μεγάλου Σπηλαίου, τοῦ τε θείου Ναοῦ καὶ τῶν περὶ αὐτόν.

§. ά. Πότε ἐκτίσθη ἡ ἐν τῷ Μεγάλῳ Σπηλαίῳ ἁγιωτάτη Μονὴ, καὶ τίνες οἱ κτίτορες, καὶ ποῖα τὰ κατ' αὐτὴν ἐπισημότατα συμβεβηκότα, καθιστοροῦμεν ἐν τοῖς ἐφεξῆς. Ἤδη δὲ πρῶτον διαγράφομεν αὐτὴν τὴν Μονὴν καὶ πάντα τὰ ἐντὸς τοῦ θεοδμήτου Σπηλαίου, λέγω δὲ τὸν θεῖον Ναὸν καὶ τὰ περὶ αὐτόν.

§. β΄. Τρεῖς ἄγουσι λεωφόροι εἰς τὴν εἴσοδον τοῦ Μεγάλου Σπηλαίου· ἡ μὲν κατὰ πρόσωπον ἐπ' εὐθείας ἀπὸ δυσμῶν, αἱ δὲ ἐκ πλαγίων, ἀπὸ βορρᾶ καὶ νότου· καὶ τετάρτη δέ τις ὁδὸς φαίνεται ὄπισθεν ἀπ' ἀνατολῶν φέρουσα. Καὶ πρῶτον μὲν ὑψοῦται περίβολος ἐξώτατος, τοῖχος μακρὸς ἀπὸ νότου πρὸς βορρᾶν διατείνων· ἐν δὲ τῷ περιβόλῳ πύλη τε ξυλίνη καὶ αὐλὴ (περὶ ὧν λέγομεν ἀκολούθως, τὰς ἔξω τοῦ Σπηλαίου καταγράφοντες οἰκοδομάς)· καὶ μετὰ τὴν αὐλὴν ἡ τοῦ στομίου εἴσοδος. Πρόκειται δὲ τοῦ στομίου πρὸς τὸ δεξιὸν γωνιῶδες αὐτοῦ πέρας πύλη μεγάλη

σιδηρᾶ, βλέπουσα μάλιστα πρὸς νότον, ὅπου μικρὸν ἀποκλίνει τὸ δεξιὸν τῆς ἀψῖδος σκέλος, οἷον ἀγκῶνα ἀποτελοῦν. Ταύτην τὴν πύλην ὡς περάσῃς εἰς τὰ ἔνδον τοῦ Σπηλαίου, βλέπεις κῦτος μέγα καὶ βαθύτατον, εἰς πλάτος καὶ μῆκος καὶ ὕψος ἐκτεταμένον. Ἔστι δὲ τὸ αὐτὸ καὶ τρίκολπον, ἢ γοῦν τρίπατον καὶ τρίστεγον, τρεῖς ἔχον ἐν τῇ κοιλότητι βάσεις ἐπιπέδους καὶ ὁμαλὰς, βαθμηδὸν κατὰ μέρη διαιρουμένας· μίαν μὲν, αὐτὸν τὸν κατώτατον καθόλου πυθμένα, δύω δὲ ἄλλας ἐκ πλαγίων ἑκατέρωθεν, ὡς ἀκρωτήριά τινα καὶ γλωχῖνας, προβεβλημένας, καὶ οἷον σαλευούσας μετεώρους ἐν τῷ ἀχανεῖ κοιλώματι, καθὼς λέγομεν ἐφεξῆς (κεφ. Δ. § κς΄.)· ὅθεν καὶ κατ᾽ ἐξοχὴν ἔτυχε τῆς μεγαλωνυμίας, Μέγα Σπήλαιον ἐπονομασθέν. Ἔνδον τούτου τοῦ Σπηλαίου ὑπάρχει περικαλλὲς καὶ καλλίτεχνον ᾠκοδομημένον ὅλον τὸ ἱερὸν Μοναστήριον μετὰ καὶ συμπάντων τῶν ἐν αὐτῷ δωματίων ἢ κελλίων, ἅτινα καταριθμοῦνται ὑπὲρ τὰ ὀγδοήκοντα, διῃρημένα εἰς ὀρόφους (ἢ πατώματα), καθὼς λέγομεν ἐφεξῆς. Μόνων τῶν κατὰ σειρὰν εἰς τὸ πρόσωπον προκειμένων δωματίων αἱ θυρίδες ἐξέχουσιν ἐξωτέρω τοῦ στομίου προβεβλημέναι μετὰ τῆς ἀνωτάτω ἐπικειμένης στέγης· ἐφεδράζονται δὲ κάτωθεν εἰς λιθόκτιστον τοῖχον ὀχυρὸν, ὅστις ὑποτείνει διήκων ἀπὸ τῆς μιᾶς ἄκρας ἢ πλευρᾶς (ὅπου καὶ ἡ σιδηρᾶ πύλη) μέχρι τῆς ἑτέρας ἄκρας τοῦ στομίου· καὶ οὕτω κλείεται τὸ στόμιον ὅλον, ἔχον πρόσωπον καλὸν καὶ τηλαυγὲς τὰς ἀλλεπαλλήλους ἐπικειμένας θυρίδας τῶν δωματίων. Ὅλον δὲ τὸ ἔνδον ὕψος τοῦ Σπηλαίου μετρούμενον κατὰ κάθετον ἀπὸ τῆς ἀνωτάτης ὀροφῆς μέχρι τοῦ κάτω πυθμένος ἔχει πήχεις ὀγδοήκοντα περίπου, καὶ ἀποτελεῖ τὸ τρίτον σχεδὸν μέρος τοῦ ὅλου τῆς πέτρας ὕψους, ἔξωθεν μετρουμένου. Τὸ δ᾽ ὑπεράνω τῶν κελλίων ἐσωτερικὸν τοῦ Σπηλαίου μέρος ὑπάρχει λεῖον καὶ ὁμαλὸν, κυρτούμενον ὡς οὐρανός· καὶ ἔστι τὸ σχῆμα θόλος αὐτοφυὴς, ἠρέμα κλίνουσαν ἐπὶ θάτερα καὶ πλαγιάζουσαν ἔχων τὴν τοῦ στομίου ἀψῖδα· τὰ δ᾽ ἄνωθεν τῆς ἀψῖδος προνεύουσιν ὁμαλῶς καὶ προκύπτουσιν εἰς τὰ ἔμπροσθεν, ὡς ἂν δι᾽ ὀφρύος φυσικῆς γεγεισσωμένα. Καὶ τοῦτο λίαν οἰκονομικῶς, καὶ οἷον ἐξεπίτηδες, ὑπὸ τῆς παντέχνου τοῦ Δημιουργοῦ σοφίας φαίνεται κατεσκευασμένον, ὅπως διαφυλάττωνται τὰ δωμάτια (ὅσα προκύπτουσιν ἀπὸ τοῦ στομίου) καί τινες ἄλλαι τοῦ ἱεροῦ Μοναστηρίου οἰκοδομαὶ, καὶ αὐτοὶ οἱ ἐνασκούμενοι πατέρες ἀβλαβεῖς καὶ ἀνεπηρέαστοι ἀπό τε τῶν ἄνωθεν ἐκ τῆς πέτρας πολλάκις ἐξαίφνης ἀποκοπτομένων καὶ καταπιπτόντων μεγάλων λίθων, καὶ ἀπὸ τῶν παγετῶν τοῦ χειμῶνος. Γίνονται δὲ καὶ πάγοι καὶ κρύσταλλοι μεγάλοι (ὅταν ὁ χειμὼν ἐπέλθῃ κρυερὸς), οἵτινες διήκουσιν ἀπὸ τῆς κορυφῆς τῆς μονοπέτρας μέχρι καὶ αὐτῆς σχεδὸν τῆς ἀψῖδος τοῦ στομίου συνεχεῖς ὑπερεκτεινόμενοι, καὶ πολλάκις κατὰ τεμμάχη διαλυόμενοι καταπίπτουσι μέγιστοι, πλὴν ἀλλὰ τὴν ἐκ τοῦ στομίου ἐξέχουσαν στέγην τῶν δωματίων οὐδόλως παραβλάπτουσι· διότι προσβάλλοντες ἐν τῷ καταπίπτειν βαρέως πρὸς τὴν προκύπτουσαν ὀφρυώδη τοῦ στομίου προβολὴν, ἀποκρούονται καὶ ἐκτινάσσονται μακράν. Διὰ πᾶσαν ὅμως ἀσφάλειαν ἡ στέγη κατασκευάζεται πάντοτε ἀπὸ στερεῶν σανίδων μόνον δίχως κεράμων, ὡς τούτων εὐσυντρίπτων ὄντων πολὺ πλέον παρὰ τὰς σανίδας. Τὸ δὲ ὕψος τῶν δωματίων ἢ κελλίων ἄρχεται μὲν ἀπὸ τοῦ κάτωθεν ἐδάφους τοῦ Μεγάλου Σπηλαίου, ἀναβαίνει δὲ βαθμηδὸν πεντάστεγον ἢ πεντώροφον· ἐπάνω δὲ τῆς πύλης καὶ ἑπτάστεγον ἢ ἑπτώροφον ἀποβαίνει, ὡς νεωστὶ προστεθειμένων καὶ ἄλλων δύω ὀρόφων, ἢ πατωμάτων, εἰς τὴν κατ᾽ ἐκεῖνο τὸ μέρος πυργηδὸν ᾠκοδομημένην ἐξοχήν. Τῶν ἄλλων δὲ τῶν ἀπὸ τῆς μεγάλης πύλης καὶ ἐφεξῆς δι᾽ ὅλου τοῦ στομίου διατεταμένων πέντε ὀρόφων, ὁ μὲν πρῶτος, ὁ πρὸς τοὺς πρόποδας τοῦ Σπηλαίου, προχωρεῖ πανταχόθεν εὔρυθμος καὶ ἐπ᾽ εὐθείας ἰσοτενής· οἱ δ᾽ ἐφεξῆς ἐπικείμενοι δύω ὄροφοι, καὶ

2

αὐτοὶ μὲν ἐπ' εὐθείας χωροῦσιν, ἔχουσιν ὅμως καὶ μικρόν τι τὸ πλάγιον καὶ συνεσταλμένον, διὰ τὴν μᾶλλον καὶ μᾶλλον πρὸς τὰ ἄνω συστενουμένην καὶ πλαγιάζουσαν ἀψῖδα τοῦ στομίου· οἱ δὲ λοιποὶ δύω ὄροφοι, οἱ ἀνώτατοι καὶ τελευταῖοι, ἀποβαίνουσιν ὁπωσοῦν ἀνώμαλοι καὶ παρακεκλιμένοι, διὰ τὸ πρὸς τὰ ἄνω παντελῶς καμπύλον μετὰ τοῦ πλαγίου καὶ ὠοειδὲς τοῦ στομίου σχῆμα· πλὴν ἀλλὰ καὶ τούτοις εὔμορφον περιέβαλεν ὄψιν διατηρήσασα τὴν ἐνδεχομένην ἀνάλογον συμμετρίαν ἡ τέχνη τῆς ἀρχιτεκτονικῆς.

§. γ'. Μεταξὺ δὲ τούτων τῶν βαθμηδὸν ἀναβαινόντων ὀρόφων τῶν δωματίων, πρὸς τὸ μέσον τοῦ τρίτου ὀρόφου κεῖται καθιδρυμένος ἔνδον τοῦ Σπηλαίου ὁ εὐαγέστατος Ναὸς τῆς Θεοτόκου, μέγας μὲν οὔ, περικαλλὴς δὲ, καὶ θαυμαστῶς ᾠκοδομημένος. Ὑπάρχει δὲ καὶ οὗτος ὁ νοητὸς παράδεισος, ὡς ὁ θεοφύτευτος ἐκεῖνος κῆπος τῆς οὐρανίου τρυφῆς, τετραμμένος κατὰ ἀνατολάς. Ἐκεῖνος εἶχεν ἀκήρατα ἄνθη καὶ φυτὰ, καὶ οὗτος πλουτεῖ τὰ μυρίπνοα χαρίσματα τοῦ παναγίου Πνεύματος. Ἐκεῖ οἱ πρωτόπλαστοι ἔζων ἐν ἀθωότητι, ὡς ἄγγελοι τοῦ Θεοῦ, καὶ ὧδε οἱ τὸν ἰσάγγελον ἀσπασάμενοι βίον ἐξασκοῦνται πρὸς νέκρωσιν τῶν παθῶν, ὅσα τὸ πρωτότυπον κάλλος τῆς θείας εἰκόνος ἐξαφανίζουσι. Ξύλον ζωῆς ἔφερεν ὁ ἐν Ἐδὲμ παράδεισος, ὡς ξύλον ζωῆς τεθησαύρισται καὶ εἰς τὸν θεῖον τοῦτον ναὸν ἡ θεοχαρίτωτος εἰκὼν τῆς Θεοτόκου, τῆς Μητρὸς τῆς ὄντως ἀθανάτου ζωῆς· ἐξ ἧς πάντες οἱ προσερχόμενοι μετ' εὐλαβείας, καὶ πίστεως τῆς εἰς Χριστὸν Ἰησοῦν, τρυγῶσιν ἀείποτε τὴν χάριν τῶν ἀκενώτων αὐτῆς θαυμάτων καὶ πνευματικῶν δωρεῶν, εἰς ψυχικὴν αὐτῶν σωτηρίαν καὶ δόξαν Θεοῦ.

Ἀλλὰ περὶ μὲν τοῦ θείου Ναοῦ λέγομεν ἐφεξῆς κατὰ μέρος. Ἤδη δὲ διαγράφομεν πρότερον τὰ πρὸ τοῦ Ναοῦ, καὶ ἰδίως τὸν πρόναον ἢ τὸν ἔξω Νάρθηκα.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ προνάου ἢ προτεμενίσματος, τοῦ καὶ ἔξω Νάρθηκος.

§. α'. Ἐμβαίνοντες διὰ τῆς σιδηρᾶς τοῦ ἱεροῦ Μοναστηρίου πύλης, τῆς βλεπούσης κατὰ νότον πρὸς τὰ δεξιὰ τοῦ εὐαγοῦς ναοῦ, διαβαίνομεν χωρίον ἐπίμηκες, τὸ μὲν μάκρος ἕως ὀργυιῶν δεκαέξ, τὸ δὲ πλάτος ἕως μιᾶς· τούτου δὲ τὸ μὲν ἄνω θολοειδές ἐστι καὶ καμαρωτὸν, κυλινδροειδῆ τὸν ὄροφον ἔχον, κάτω δὲ τὸ ἔδαφος λιθόστρωτον ἐκ μαρμάρων κάλλιστα εἰργασμένων· ἠρέμα δὲ καὶ κατὰ μικρὸν ἀνωφερῶς ἀναβαῖνον καταντᾷ, τέλος, εἰς τὸν Πρόναον, ἢ τὸν ἔξω Νάρθηκα. Ὁ δὲ Νάρθηξ οὗτος ἔχει τὸ μὲν μῆκος ἕως ὀργυιῶν πέντε, τὸ δὲ πλάτος ὀργυιῶν τριῶν, ἄνω δὲ τὴν ὀροφὴν τριπλῆν ἢ τριμερῆ, διαιρουμένην εἰς θόλους (ἢ τρούλλους) τρεῖς, ἕνα μὲν γυρούμενον κατὰ μέσον, δύω δὲ παραλλήλους ἄλλους ἑκατέρωθεν μικροτέρους. Ὑπάρχουσι δὲ οὗτοι οἱ θόλοι οὐχὶ σφαιροειδεῖς ἐπ' ἀκριβὲς καὶ πανταχόθεν ἰσοπεριφερεῖς, ἀλλὰ μᾶλλον κυλινδροειδεῖς τινες, ἢ σιφωνοειδεῖς, εἰς βάθος ἐπίμηκες ἀνωφερῶς κεκαμαρωμένοι. Καὶ θόλος μὲν ὁ μέσος ἐπερείδεται πρὸς ἀνατολὰς μὲν εἴς τε τὸν τοῖχον τοῦ καθολικοῦ Ναοῦ καὶ εἰς δύο στύλων ἡμίτομα τετραπλεύρων, ἑκατέρωθεν τῆς πύλης τοῦ Ναοῦ προβεβλημένων· ἀντικρὺ δὲ πρὸς δυσμὰς ἐπιστηρίζεται πάλιν εἰς ἄλλον τοῖχον, ἐπαναπαυόμενον εἰς ἑτέρους δύω στύλους ὁλοκλήρους τετραπλεύρους, ἢ πισσούς. Ἐπὶ τούτων βαίνουσι κατὰ μέρος καὶ οἱ ῥηθέντες ἐξ ἀριστερῶν καὶ ἐξ εὐωνύμων τοῦ μέσου ἕτεροι δύω θόλοι, τὰ δὲ πρὸς νότον καὶ βορρᾶν οὗτοι προσερείδονται πρὸς

τοὺς ἑκατέρωθεν γειτονεύοντας τοίχους τῶν δωματίων, ἢ κελλίων τῆς Μονῆς· τὰ δὲ, τέλος, πρὸς ἀνατολὰς στηρίζονται καὶ οὗτοι πρὸς τὸν τοῖχον τοῦ καθολικοῦ Ναοῦ.

§. ϐ'. Καὶ εἰς μὲν τὸν πρῶτον, τὸν πρὸς τὰ δεξιὰ τοῦ μέσου, θόλον τοῦ Νάρθηκος (ὅπου πρῶτον εἰσιόντες ἐκ τῆς πύλης εἰσερχόμεθα) θεωρεῖται ἡ ζωγραφία τῆς εὐλογίας τῶν πέντε ἄρτων, καὶ τῶν δύω ἰχθύων, δι' ὧν ἐχόρτασεν ὁ Ἰησοῦς Χριστὸς πέντε χιλιάδας ἀνδρῶν, χωρὶς γυναικῶν καὶ παιδίων, καὶ ἐπερίσσευσαν καὶ δώδεκα κόφινοι, κατὰ ἀριθμὸν τῶν δώδεκα Ἀποστόλων (α). Ὑπαινίττεται δὲ ἡ ἱερὰ αὕτη ἱστορία συγχρόνως καὶ τὴν πάντροφον δύναμιν τῆς θείας δεξιᾶς, « ἥτις ἐμπιπλᾷ τὰ σύμπαντα χρηστότητος »· προσσημαίνει δὲ καὶ τὴν ἄφθονον διανομὴν τῶν πνευματικῶν χαρίτων τῆς Θεοτόκου, εἰς πάντας τοὺς μετὰ πίστεως προσιόντας διαμεριζομένων· καὶ τοὺς πατέρας δὲ καὶ πάντας τοὺς πιστοὺς ὑπομιμνήσκει πᾶσαν αὐτῶν τὴν ἐλπίδα καὶ τὴν ζωὴν ἀνατίθεσθαι εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ψυχῶν τε καὶ σωμάτων πανάγαθον σωτῆρα καὶ τροφοδότην. Ἀλλὰ καὶ τῶν ἐνασκουμένων πατέρων τὸ πρὸς πάντας τοὺς χρείαν ἔχοντας μεταδοτικὸν καὶ φιλάνθρωπον ὑπεμφαίνει, καὶ τοῦτο καθ' ἡμέραν αὐτοὺς διδάσκει, « ἵνα συγκοινωνῶσι, καὶ κατὰ δύναμιν ὑπηρετῶσι ταῖς χρείαις τῶν ἀδελφῶν » (ϐ). Ἐπὶ τοῦ αὐτοῦ θόλου φαίνονται πρὸς τούτοις ἐζωγραφημένοι καὶ μάρτυρες ἅγιοι (ὡς οἱ δύω στρατηλάται Γεώργιος καὶ Δημήτριος), καὶ διάφορα τούτων μαρτύρια, ἄλλα τε καὶ ἡ τοῦ Ἡρώδου βρεφοκτονία.

§. γ'. Εἰς δὲ τὸν μέσον θόλον τοῦ ἱεροῦ Νάρθηκος ἄνω μὲν καὶ κατ' αὐτὸ τῆς ὀροφῆς τὸ μεσαίτατον κάθητ' ἐζωγραφημένος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἀνὰ μέσον τῶν εὐαγγελικῶν τετραμόρφων ζώων, μεταξὺ τῶν οὐρανίων κύκλων καὶ πτυχῶν. Γύρωθεν δὲ παρίστανται τὰ οὐράνια Ἀγγελικὰ τάγματα τῷ κοινῷ τῶν ὅλων Δεσπότῃ δορυφοροῦντα· καὶ κύκλῳ πάλιν τούτων φαίνεται ἡ πολύαστρος σφαῖρα, ἀκάματος περιστρεφομένη, καὶ τῶν δώδεκα ζωδίων τὸ κύκλωμα, κατά τε τὸ εἶδος καὶ τὴν μορφὴν αὐτῶν ἑκάστου τετυπωμένου· ἔξωθεν δὲ τοῦ περὶ τὴν ὀροφὴν ἐγκύκλου τμήματος φαίνονται σαλπίζοντες ἄγγελοι καί τινες κιθαρίζοντες, ὡς οἱ τῆς ἱερᾶς Ἀποκαλύψεως ἀοιδοὶ (γ), καὶ οἱ αἰνοῦντες ἐν ἤχῳ σάλπιγγος καὶ ψαλτηρίῳ καὶ κιθάρᾳ. Πάρεισι καὶ βασιλεῖς τῆς γῆς, καὶ λαοὶ, καὶ θηρία, καὶ κτήνη, καὶ δράκοντες ἐκ τῆς γῆς, καὶ ὄρη, καὶ δένδρα, καὶ χάλαζαι, καὶ κρύσταλλοι, καὶ χιὼν, καὶ ἄβυσσοι, καὶ πᾶσα πνοὴ, καὶ πᾶσα κτίσις αἰνοῦσα τὸν Κύριον (δ). Εἰς δὲ τὸν ὄρθιον τοῖχον τὸν πρὸς δυσμὰς, ἐφ' οὗ στηρίζεται τὸ τοξοειδὲς τοῦ μέσου θόλου πέρας, ἐζωγράφηται ἡ πρώτη ἁγία καὶ οἰκουμενικὴ Σύνοδος, ἡ κατὰ τὴν Νίκαιαν τῆς Βιθυνίας, προκαθημένου τοῦ ἁγίου καὶ ἰσαποστόλου βασιλέως Κωνσταντίνου τοῦ μεγάλου. Ἀντικρὺ δὲ τῆς ἁγίας καὶ οἰκουμενικῆς Συνόδου κατ' ἀνατολὰς, ὅπου τελευτᾷ τὸ ἄλλο τοῦ θόλου πέρας, πρὸς αὐτὸν τὸν τοῖχον καὶ ὑπεράνω τῆς μεγάλης πύλης τοῦ Ναοῦ κατὰ τὸ ὑπέρθυρον κολποῦται καμάρα τις, ὡς ἡμικύκλιον ἀψῖδος, εἰς βάθος μιᾶς παλάμης ἐπὶ τοῦ τοίχου κεκοιλωμένη· εἰς ταύτης δὲ τὸ ἐμϐαδὸν ἐγγέγραπται ἡ Κοίμησις τῆς Θεοτόκου προπεμπομένης

(α) Ματθ. ιδ. 21.

(ϐ) Πράξ. κ. 34. Ῥωμ. ιϐ'. 13. Ἐφεσ. δ. 14.

(γ) Ἀποκαλ. ιδ'. 2, 3.

(δ) Ψαλμ. ρμή, ρν'.

καὶ δορυφορουμένης ὑπὸ τῶν ἁγίων Ἀγγέλων καὶ Ἀποστόλων (τιμᾶται δὲ τὸ καθολικὸν τοῦ Ναοῦ ἐπιφημιζόμενον εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου). Τὸ δ' ὑπεράνω τῆς καμάρας ἐπίπεδον τοῦ τοίχου προσαναπληροῦσι πανταχόθεν μαρτύρων καὶ ἄλλων ἁγίων μορφαί· κάτω δὲ πρὸς τὴν ἱερὰν πύλην τοῦ Ναοῦ κατ' αὐτὰς τὰς παραστάδας παρίστανται οἱ δύω Εὐαγγελισταί, δεξιόθεν μὲν ὁ Μάρκος, ἐξ ἀριστερῶν δὲ ὁ Ματθαῖος.

§. ε'. Εἰς δὲ τὸν τρίτον θόλον τοῦ ἱεροῦ Νάρθηκος, τὸν πρὸς ἀριστερὰ κεκυρτωμένον, ἐξιστορεῖται ἡ δευτέρα παρουσία, παριστάνουσα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ βασιλέα τῆς δόξης, καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἀπροσωπολήπτου βήματος· κύκλοθεν δὲ πλήθη χιλιάδων καὶ μυριάδων Ἀγγελικῶν καὶ Ἀρχαγγελικῶν τάξεων καὶ δυνάμεων· μικρὸν δὲ κατωτέρω βλέπεις τοὺς χοροὺς τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων ἁγίων ἐπὶ νεφελῶν ἀνερχομένους, καὶ σύμπασαν τὴν παράταξιν τῆς ἐν τῇ δευτέρᾳ παρουσίᾳ παγκοσμίου κρίσεως, μετὰ καὶ τοῦ τυπικοῦ ζυγοῦ τῆς θείας δικαιοσύνης· δεξιὰ δὲ πάλιν ἀνατέλλει ὁ Παράδεισος, καὶ τὰ πλήθη τῶν ἁγίων εἰσερχομένων εἰς αὐτὸν, ὅπου καὶ οἱ κόλποι τοῦ Ἀβραάμ. Ἔπειτα πρὸς δυσμὰς μὲν καθορᾶται ἡ Θεοτόκος ἀναμέσον τῶν Προφητῶν, καὶ τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ· κάτω δέ που καὶ μακρὰν κεχώρισται χαίνων ὁ ᾅδης καὶ τὰ τοῦ ᾅδου πάνδεινα κολαστήρια, κλαυθμῶν ἀλήκτων καὶ πόνων ἀκοιμήτων μεστά· ἕλκει δὲ καὶ ὁ πύρινος ποταμὸς ἐξερχόμενος ὑποκάτωθεν τοῦ θρόνου τῆς Μεγαλωσύνης τοῦ ἀδεκάστου καὶ ἀπροσωπολήπτου Κριτοῦ, καὶ παρασύρων τοὺς ἐργάτας τῆς ἀνομίας, ἀποπεμπομένους, κατὰ τὴν θείαν ἀπόφασιν, « εἰς τὸ πῦρ τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων » (α). Καὶ πάλιν ὑπεράνω τούτων φαίνονταί τινων ἁγίων μαρτύρια, καὶ ὁ προφήτης Ἰωνᾶς, καθ' ὃν τρόπον ἐῤῥίφθη εἰς τὴν θάλασσαν, καὶ κατέπιεν αὐτὸν τὸ κῆτος, καὶ πῶς τὸ κῆτος ἐξήμεσεν αὐτὸν εἰς τὸν αἰγιαλὸν τῆς μεγάλης πόλεως Νινευΐ.

§. έ. Ταῦτα καὶ ἄλλα παραπλήσια καθιστοροῦνται ζωγραφικῶς εἰς τὸν τρίθολον τοῦ εὐαγοῦς ναοῦ τοῦτον Νάρθηκα· καὶ ταῦτα κατεγράφησαν οὐχ ἁπλῶς καὶ ἀσκόπως, οὐδὲ χωρίς τινος ἀλληγορικῆς ἐπισημασίας, πάντα δὲ πρός τινα σκοπὸν εὐσεβοῦς καὶ ἠθικῆς διδασκαλίας ἀποβλέπουσι· καὶ περιεργαζέσθωσαν ταῦτα πρὸς τὸ νόημα σκοποῦντες εὐθυβόλως οἱ περὶ τὰ θεῖα φιλοθεάμονες, ἵνα πανταχόθεν ἔκ τε τῆς ἱστορίας καὶ τῶν ἐξαγομένων θεωρημάτων καρπούμενοι τὴν ὠφέλειαν, τρέχωσιν εὐθυδρόμως τὸν καλὸν ἀγῶνα τῆς ἀρετῆς, ἕως καταντήσωσιν εἰς τὸν οὐράνιον νυμφῶνα (β)· καὶ γάρ, « ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν » (γ).

§. ς'. Ἔξωθεν δὲ τοῦ ἱεροῦ Νάρθηκος πρὸς δυσμὰς ἐπὶ τοῦ αὐτοῦ ἰσοπέδου κεῖται χωρίον ἐπίμηκες ἕως ὀργυιῶν δύω, οἷόν τι προπύλαιον, ἢ ἔμβολον, καὶ πρόστοον τοῦ Νάρθηκος προκείμενον· φέρουσι δὲ πρὸς τοῦτο τοὺς ἀπὸ τοῦ Νάρθηκος ἐξιόντας τρεῖς καμάραι, ἢ στοαί, διαιρούμεναι κατὰ τοὺς τρεῖς τοῦ Νάρθηκος θόλους. Καὶ τὰ μὲν πρὸς δυσμὰς τοῦ προστόου τούτου μέρη τειχίον περατοῖ διατεῖνον λεπτόν· ἐν δὲ τούτῳ θυρίδες κεῖνται δικτυωταί, ἢ καγγελλωταί,

---

(γ) Ματθ. κέ. 41. Λουκ. ιγ'. 28.

(β) Β. Τιμοθ. δ. 7.

(γ) Ματθ. ιά. 12.

στύλοις ξυλίνοις διῃρημέναι, δι᾽ ὧν εἰσέρχεται φῶς ἄπλετον εἴς τε τὸν Νάρθηκα καὶ τὸν Ναόν· παρέχει δὲ καὶ πολλὴν τέρψιν εἰς τοὺς ὀφθαλμοὺς ἡ ἀπὸ τῶν θυρίδων τούτων ἄποψις τοῦ τε πρὸς δυσμὰς κατάντικρὺ κειμένου καὶ χλοάζοντος βουνοῦ τῶν Γαλατῶν (περὶ οὗ προείπομεν), καὶ τῶν ὑποκειμένων κήπων καὶ ναμάτων τῶν μοναστηριακῶν. Κάτωθεν δὲ τούτων τῶν θυρίδων ἔνδον τοῦ προστόου κεῖνται κατὰ μῆκος διατεταμένα ἕδρανα καὶ βάθρα, ἢ καθίσματα, ξύλινα καὶ αὐτὰ, ἐφ᾽ ὧν οἱ καθήμενοι, πρὸς ἀνατολὰς τετραμμένοι, βλέπουσι προκείμενον ὅλον τὸν ἱερὸν Νάρθηκα, καὶ κατάντικρυ τὸ μέσον τοῦ εὐαγοῦς Ναοῦ, διὰ τῆς μεγάλης πύλης ἠνεῳγμένης. Ὅταν δὲ τὰς ὄψεις ἀνατείνωσιν ἀνωτέρω πρὸς τὸ πρόσωπον τοῦ τοίχου τοῦ διήκοντος ὑπεράνω τῶν τριῶν προειρημένων στοῶν, καθορῶσιν ἐπ᾽ αὐτοῦ λαμπρῶς ἐζωγραφημένους τοὺς πειρασμοὺς καὶ τοὺς ἀγῶνας Ἰωσὴφ ἐκείνου τοῦ παγκάλου νικητοῦ τῶν ἡδονῶν καὶ τῆς ἀνομίας, λέγω δὲ τὴν ἔνδοξον αὐτοῦ φυλακὴν, καὶ τὴν ἐξ αὐτῆς ἀναλάμψασαν δεσποτείαν, καὶ τὸν θρίαμβον τὸν ἐπὶ τοῦ βασιλικοῦ ἅρματος· οὐδὲ ταῦτα ματαίως καὶ χωρὶς διδασκαλίας ἐκεῖ γεγραμμένα, ἀλλ᾽ ἵνα βλεπόμενα συνεχέστερον ἐκεῖθεν, ὅπου καὶ τὰ συνήθη καθίσματα, διδάσκωσι τοὺς ἐπικαθημένους, ὅτι ἡ κατὰ τῶν παθῶν νίκη, οὔτε νυσταζόντων ἐστὶ καὶ ἀμελούντων ἕρμαιον, οὔτε δίχως ἱδρώτων προσκτᾶται καὶ ταλαιπωριῶν, ἀλλὰ πολλοὺς μὲν ἀπαιτεῖ τοὺς ἀγῶνας, λαμπρὰς δ᾽ ἐπάγει τὰς ἀμοιβὰς, καὶ ταύτας αἰωνίους.

§. ζ΄. Τὸ δὲ κάτω ἔδαφος τοῦ σύμπαντος ἱεροῦ Νάρθηκος ὑπάρχει κατεστρωμένον ἐκ μαρμάρων λαξευτῶν καὶ λείων, κάλλιστα συνηρμοσμένων· πολλὰ δὲ τούτων φέρουσιν ἐκ ποικιλοχρόων ψηφίδων διὰ μουσείου τετυπωμένας παντοδαπὰς ἰδέας φυτῶν καὶ πτηνῶν καὶ ἄλλων ζώων παντοίων. Καὶ κατὰ μὲν τὸν μεσαίτατον τοῦ Νάρθηκος ὀμφαλὸν φαίνεται δικέφαλος μέλας ἀετὸς ἐν λευκῷ μαρμάρῳ τετυπωμένος, κύκλοθεν δὲ τούτου περὶ τὰς τέσσαρας γωνίας πτερυγίζουσι πτηνὰ τέσσαρα λευκόχροα ἐν μέλανι ἐπιπέδῳ· ἑκατέρωθεν δὲ θάλλουσιν ἐρριζωμέναι δύω κυπάρισσοι πρασινοειδεῖς, τὰ πάντα διάλιθα καὶ ψηφιδωτά· ἐφεξῆς δὲ πάλιν, ἔνθεν μὲν πρὸς ἀριστερὰν βλέπεις μίαν σειρῆνα προσμειδιῶσαν (τὴν δολόφρονα καὶ θελκτικὴν ἀπάτην τοῦ κόσμου, νομίζω, δι᾽ αὐτῆς ὁ καλὸς παρηνίξατο λιθοξόος)· ἑτέρωθεν δὲ πρὸς δεξιὰν, ἄνθρωπος τετύπωται λογχοφόρος, εἶδος στρατιώτου, κραδαίνοντος δόρυ μακρὸν (δηλοῖ δὲ, οἶμαι, καὶ οὗτος τὸν γενναῖον τῆς ἀρετῆς ὁπλίτην πρὸς τὴν τῶν παθῶν ἀπάτην εὐθαρσῶς ἀντιστρατευόμενον)· καὶ ἄλλα δὲ διάφορα τοιαῦτα εἴδη καὶ τυπώματα καθορῶνται κατὰ μέρος ἐπὶ τοῦ ἐδάφους, τὰ πάντα ἐντέχνως μεμορφωμένα, οὐδ᾽ αὐτὰ τῆς δι᾽ αἰνιγμάτων διδασκαλίας καὶ ἀλληγορίας ἄμοιρα. Καὶ τὰ μὲν κατὰ τὸν ἔξω Πρόναον ἢ Νάρθηκα τοιαῦτα.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Περὶ τοῦ ἁγιωτάτου Ναοῦ.

§. α΄. Εὐθὺς μετὰ τὸν Πρόναον ἀναβαίνοντες βαθμίδας τρεῖς, ἐκ λευκῶν μαρμάρων εὐφυῶς καὶ λείως ἀπεξεσμένας, ἐμβαίνομεν εἰς τὴν πρὸς δυσμὰς μόνην καὶ μ ε γ ά λ η ν λεγομένην πύλην, τὴν φέρουσαν εἰς τὸν δεύτερον, τὸν ἔσω Νάρθηκα ἢ πρόναον, τὸν συμπεριλαμβανόμενον ἐντὸς τοῦ θείου Ναοῦ. Καὶ μόνη μὲν καὶ μία ὑπάρχει ἡ πύλη, ὅτι μία ἡ ὁδὸς ἡ φέρουσα εἰς τὴν ζωὴν,

αὐτὸς δηλαδὴ ὁ Ἰησοῦς Χριστός (α)· μεγάλη δὲ λέγεται ὡς ἀμυδρῶς εἰκονίζουσα τὸ ἄπειρον τῆς θείας εὐσπλαγχνίας μέγεθος, ἥτις πάντας καλεῖ πρὸς ἑαυτὴν, κατὰ τὸ « Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι » (β)· καὶ « πάντας θέλει σωθῆναι » (γ)· καὶ « τὸν ἐρχόμενον (λέγει) πρός με, οὐ μὴ ἐκβάλω ἔξω » (δ). Ὑπάρχει δὲ τῆς πύλης τὸ μὲν ὕψος ὀργυιὰ μία καὶ σπιθαμαὶ τρεῖς καὶ ἡμίσεια· τὸ δὲ πλάτος, σπιθαμαὶ ἕξ· καὶ τὸ μὲν ἀνώφλιον ὑπόκυρτον ἔχει, τοξοειδῶς γεγυρωμένον· τὰς δὲ δικλίδας ἢ πτυχὰς, τὰ συνήθως λεγόμενα πτερὰ, διπλᾶ, κατὰ τὸ μέσον ἀνοιγόμενα, ἐξ ὀρειχάλκου χρυσοειδοῦς κατεσκευασμένα, καὶ φέροντα τετυπωμένας ἀναγλύφους εἰκόνας τῶν Προφητῶν, καὶ τὴν ῥίζαν τοῦ Ἰεσσαὶ, καὶ τὸν ἱερὸν Λουκᾶν ἱστοροῦντα τὴν εἰκόνα τῆς Θεοτόκου, καὶ τὴν ὑπὸ τῶν ὁσίων εὕρεσιν αὐτῆς ἐν τῷ Σπηλαίῳ, καὶ τοὺς κορυφαίους τῶν Ἀποστόλων Πέτρον καὶ Παῦλον, καὶ τὸν Ἀρχάγγελον Μιχαήλ· ἔχει δὲ καὶ ἰαμβεῖά τινα ἐγγεγλυμένα, δύω μὲν στίχους ὡς ἐκ τῆς Θεοτόκου πρὸς τοὺς εἰσερχομένους, τοὺς ἐφεξῆς·

« Πηγὴν ἀναψύχουσαν εὑρίσκει τάχος
Ὁ πρός με φοιτῶν, καὶ φλογὸς παθῶν δρόσον ».

δύω δὲ πάλιν ὡς ἐκ τοῦ εἰσιόντος εἰς τὸν ναὸν, τοὺς ἐφεξῆς·

« Τῶν σῶν ναμάτων ἐμφορηθῆναι θέλων
Τῷ σῷ νεῷ πάρειμι· καί με προσδέχου ».

ὁ δὲ, τέλος, ἄγγελος, ὁ φύλαξ τῆς Ἐκκλησίας, ῥομφαίαν ἐσπασμένην ἔχων ἐν τῇ δεξιᾷ, κρατεῖ διὰ τῆς ἀριστερᾶς καὶ πινάκιον περιέχον τοὺς ἐφεξῆς στίχους·

« Βροτοὶ, βλέποντες τὸ ξίφος τεταμένον,
Ὅσοι βέβηλοι καὶ ῥάθυμοι τοὺς τρόπους,
Νήψατ' ἐλθόντες εἰς μετάγνωσιν τάχος·
Εἰδ' ἐγκακεῖτε, μὴ πρόσιτε τῇ πύλῃ. (ε)

Καὶ τὰ μὲν ἐπὶ τῶν δικλίδων τορεύματα τοιαῦτα.

(α) Ἰωάν. ιδ. 6.
(β) Ματθ. ια, 28.
(γ) Α. Τιμοθ. β. 4.
(δ) Ἰωάν. ς. 37.
(ε) Ἔχουσι καὶ ἄλλας ἐπιγραφὰς αἱ δικλίδες τὰς μὲν ἐμμέτρους, τὰς δὲ καὶ καταλογάδην, οἷον τὴν ἐφεξῆς πρὸς τὴν Θεοτόκον. « Πύλη τῆς θείας δόξης, μετανοίας μοι πύλας ἀναπέτασον, καὶ τῶν πυλῶν τοῦ ᾅδου ἐξάρπασον, δέομαι, τὴν ταπεινήν μου ψυχήν ». Ἄλλαι δὲ καὶ τοὺς τεχνουργοὺς τῆς πύλης ὀνομάζουσιν Ἠλίαν τινα Βουτυνάγαν τοὐπίκλην, καὶ Εὐστάθιον Διβρηνᾶν ἐκ Κεφαλληνίας. Καὶ τὸν χρόνον τῆς κατασκευῆς ὑποδηλοῦσιν, ὅτι « ἐν ἔτει ᾳωε, ὀκτωβρίου κ, »· καὶ ὅτι ἐτεχνουργήθησαν ἐν Λεβαδείᾳ, Ἰωάννου τοῦ Νακίδου ἐπιστατοῦντος, καὶ ὅτι δαπάνῃ τῶν ὀρθοδόξων, συνεισενεγκόντος καὶ Παρθενίου ἱερομονάχου τοῦ Μεγάλου Σπηλαίου.

§. 6'. Περῶντες δὲ τὴν πύλην εἰσερχόμεθα εὐθὺς εἰς τὸν ἔσω Νάρθηκα, οὗ τινος τὸ πλάτος ὑπάρχει ὀργυιὰ μία καὶ πέντε σπιθαμαὶ μεθ' ἡμισείας· τὸ δὲ μῆκος ἴσον τῷ πλάτει τοῦ Ναοῦ. Καὶ τὰ μὲν ἄνω τοῦ Νάρθηκος ὀροφοῦνται διῃρημένα εἰς θόλους τρεῖς παραλλήλους παρακειμένους, ὧν ὁ μέσος μὲν ἀναβαίνει βαθυνόμενος εἰς μίαν περίπου καὶ ἡμίσειαν ὀργυιὰν, οἱ δὲ δύω νεύουσιν ἑκατέρωθεν ἀβαθέστερον κεκολπωμένοι· φέρουσι δὲ καὶ οἱ τρεῖς οὗτοι θόλοι ζωγραφίας διαφόρων ἁγίων, ὡσαύτως καὶ ὅλος ὁ παρατεταμένος δυτικὸς τοῖχος τοῦ Ναοῦ, πρὸς ὃν ἤνοικται ἡ μέση καὶ μεγάλη πύλη. Τὸ δὲ ἔδαφος τοῦ ἔσω τούτου προνάου κατέστρωται μαρμάροις λευκοτάτοις· μεταξὺ δὲ τούτων, κατὰ κάθετον ἀπὸ τοῦ μέσου θόλου κατιοῦσαν γραμμὴν, διαστίλβει μάρμαρον τετράπλευρον καὶ ἰσογώνιον, τὰ μὲν ἄλλα λευκὸν, ἐν δὲ τῷ μεταξὺ καὶ πέριξ ἐκ πολυχρώμων ἄλλων λίθων εὐανθῶς μεμουσειωμένον. Εἰς τούτου τοῦ τετραπλεύρου μαρμάρου τὸ μέσον ἐρρίζωσεν ὁ τεχνίτης καρδίαν ἀνθρωπίνην ἐκ λίθου πρασίνου λελαξευμένην, τὰ δ' ἄκρα περιπόρφυρον, ἐρυθραινομένην ἐκ λίθου πορφυροῦ. Διαπείρουσι δὲ τὴν καρδίαν ταύτην ὀξύτατα δύω βέλη ἑκατέρωθεν προσβάλλοντα, καὶ χιαστῶς εἰς τὸ μέσον συνερχόμενα, κἀκεῖθεν ἀντικρὺ διαμπερὲς διαβαίνοντα καὶ διαπερῶντα. Θείου ἔρωτος ἡ εἰκών. Διότι καὶ πᾶσα καρδία εὐσεβὴς ὑπὸ τῆς θείας ἀγάπης κεκρατημένη κράζει μετὰ τῆς Νύμφης τοῦ Ἄσματος πρὸς τὸν ἐπουράνιον αὐτῆς Νυμφίον « Τέτρωμαι τῆς σῆς ἀγάπης ἐγώ » (α)· καὶ μετὰ τοῦ Προφητάνακτος Δαβὶδ ἐπιλέγει « Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου » (6). Καὶ τὴν κατανενυγμένην δὲ καρδίαν τοῦ μετανοοῦντος αἰνίττεται τὸ καρδιόμορφον τοῦτο τύπωμα· διότι καὶ ὁ μετανοῶν ἐπὶ ταῖς ἰδίαις ἁμαρτίαις αἰσθάνεται τὴν ἑαυτοῦ καρδίαν διαπερονωμένην ὑπὸ τῶν βελῶν τῆς θείας εὐσπλαγχνίας. Ἐκεῖνα λέγω τὰ σωτήρια βέλη τοῦ ἀγαπητοῦ, τὰ ἠκονημένα, τὰ ὁποῖα πέμπει ὁ αἰώνιος βασιλεὺς εἰς τὰς καρδίας τῶν τοῦ θείου νόμου παραβατῶν, κατανύσσων καὶ διεγείρων καὶ αὐτοὺς αὐτοῦ τοὺς ἀγνώμονας ἐχθροὺς εἰς μετάνοιαν, καὶ περὶ τῶν ὁποίων ἔκραζε πάλιν ὁ Προφητάναξ « τὰ βέλη σου ἠκονημένα δυνατὲ, — ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως »! Ὑπὸ τῶν τοιούτων σωτηρίων τοξευμάτων κεντώμενος τὴν ψυχὴν ὁ ἁμαρτωλὸς ἐκφέρει καρπὸν τῆς μετανοίας τὰ δάκρυα, μετὰ χρηστῆς ἐλπίδος ἐπιβοῶν τὸ προφητικὸν « Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει » (γ). Καὶ ταῦτα μὲν οὕτως.

§. γ'. Ὁ δὲ ἔνδον οὗτος Νάρθηξ διακρίνεται χωριζόμενος ἀπὸ τοῦ κυρίως Ναοῦ διὰ μέσου τοίχου διατείνοντος ἀπὸ νότου πρὸς βορρᾶν, οὗ τὸ πλάτος τριῶν περίπου σπιθαμῶν. Εἰς τοῦτον τὸν τοῖχον ἀνοίγονται θύραι τρεῖς, μία μὲν ἡ μέση καταντικρὺ τῆς ἔξω πύλης κειμένη, καὶ αὕτη ἐςὶν ἡ ὡραία πύλη λεγομένη κατὰ τὴν ἀρχαίαν τῆς Ἐκκλησίας διατύπωσιν (καθ' ἣν ᾠκοδόμηται καὶ πᾶς ὁ Ναός)· ἡ αὐτὴ δὲ λέγεται καὶ πληθυντικῶς, ὡραῖαι πύλαι, καὶ πύλαι βασιλικαί. Ταύτης τὸ μὲν ὕψος ὀργυιῶν δύω, τὸ δὲ πλάτος πλέον τῶν ἑπτὰ σπιθαμῶν· ἔχει δὲ καὶ αὕτη ἡ πύλη τὸ ὑπέρθυρον ἢ ἀνώφλιον καμαρωτόν· θυρώματα δὲ ἢ σικλίδας δὲν ἔχει· καταπέτασμα δὲ μόνον ὑφαντὸν ἐκ σηρικοῦ ὑφάσματος ἐπικαλύπτει τὴν εἴσοδον. Δεξιόθεν δὲ τῆς ὡραίας πύλης ἐπὶ τὸν αὐτὸν τοῖχον, μιᾶς περίπου ὀργυιᾶς καὶ δύω σπιθαμῶν διαστήματος μεσολαβοῦντος, ἠνέῳκται

(α) Ἆσμα Ἀσμ. ε, 8.
(6) Ψαλ· κε, 8.
(γ) Ψαλ. ν'. 17.

καὶ ἄλλη πύλη παρομοίως ἀθύρωτος, τὸ μὲν ὕψος μιᾶς ὀργυιᾶς καὶ μιᾶς καὶ ἡμισείας σπιθαμῆς, τὸ δὲ πλάτος ἔχουσα πέντε περίπου σπιθαμῶν, ἥτις ἄγει πρὸς τὸ δεξιὸν κλίτος τοῦ Ναοῦ· παρομοίως δὲ καὶ πρὸς ἀριστερὰν τῆς μέσης πύλης τῆς ὡραίας, ἴσου διαστήματος μεσολαβοῦντος, ἠνέῳκται καὶ τρίτη πύλη κατὰ πάντα ἴση καὶ ὁμοία τῆς δεξιᾶς, εἰσάγουσα πρὸς τὸ ἀριστερὸν κλίτος τοῦ Ναοῦ.

§. δ'. Αὐτὸς δὲ ὁ Ναὸς, τὸ ἱερώτατον τέμενος, ὑπάρχει τετράπλευρος ἑτερομήκης, μακροτέρους τῶν ἄλλων ἔχων τοὺς δύω τοίχους, τὸν νότιον λέγω καὶ τὸν βόρρειον. Ὑπάρχει δὲ τὸ μάκρος τοῦ Ναοῦ ἀπὸ μὲν τῆς ὡραίας πύλης ἕως τῶν ἁγίων τῶν πρὸ τοῦ θείου βήματος θυρῶν ὀργυιαὶ τέσσαρες καὶ σπιθαμὴ μία, καὶ πάλιν τὸ ἔσω τοῦ θείου βήματος μετρούμενον ἀπὸ τῶν ἁγίων θυρῶν μέχρι τῆς κοίλης ἱερᾶς κόγχης ἢ ἀψῖδος (α). (ὅπου τὸ ἱερὸν ἵσταται σύνθρονον) ἀποτελεῖ ὀργυιὰς δύο καὶ δύο σπιθαμάς. Ὥστε τὸ σύμπαν μῆκος, ἀπὸ τῆς ἔξω τῆς μεγάλης πύλης μέχρι τῆς κοίλης τοῦ θείου βήματος κόγχης παρατεινόμενον, συμποσοῦται εἰς ὀργυιὰς ἑπτὰ, καὶ σπιθαμὰς ὀκτὼ καὶ ἡμίσειαν· τὸ δὲ πλάτος τοῦ Ναοῦ ὀργυιαὶ πέντε καὶ ἡμίσεια· καὶ τὸ ὕψος, τέλος, ὀργυιαὶ ἓξ καὶ ἔτι πρός.

§. έ. Κατὰ τὸ μεσαίτατον τοῦ εὐαγοῦς Ναοῦ ἀναβαίνει θόλος ἡμισφαίριον τὸ σχῆμα ἔχων, οὗ τινος τὸ μὲν ἥμισύ ἐστιν αὐτοφυὲς, αὐτὸ δηλονότι τὸ σπήλαιον αὐτόγλυφον, τὸ δὲ ἕτερον ἡμίτομον, τὸ πρὸς δυσμὰς, λατόμος κατεσκεύασε τέχνη. Τοῦτο δὲ τὸ χειρόκμητον ἡμίτομον ἔχει καὶ φωταγωγοὺς, ἢ φωτοφόρα θυρίδια τρία· καὶ ἄλλαι δὲ δύω τοιαῦται φωταγωγοὶ διαφαίνουσιν ἠνεῳγμέναι ἐπὶ τῶν πλαγίων θόλων, περὶ ὧν λέγομεν ἐφεξῆς. Αὐτὸς δὲ ὁ μέσος ἡμισφαιροειδὴς θόλος ἐπὶ μὲν τῆς ὀροφῆς ἔχει γεγραμμένην τὴν εἰκόνα τοῦ Παμβασιλέως Χριστοῦ, κάλλιστον ζωγράφημα καὶ θειότατον. Εἴποις ἂν, ὅτι τὴν γῆν ὁ τῶν ὅλων Δεσπότης ἄνωθεν ἐφορᾷ, καὶ πρυτανεύει τὴν ταύτης διοκόσμησιν καὶ κυβέρνησιν· ἐπιβλέπει δὲ καὶ τῆς Ἐκκλησίας τὴν ἄμπελον, ἣν ἐφύτευσεν ἡ παναλκὴς αὐτοῦ δεξιὰ, καταρτίζων αὐτὴν οὐρανόθεν, καὶ φιλανθρώπως ἐπισκεπτόμενος. Οὕτως ὁ ζωγράφος ἔμπνουν καὶ ζωηρὰν τὴν τοῦ Σωτῆρος περὶ ἡμᾶς κηδεμονίαν ἐνθοὺς διετύπωσε! Τὰ δὲ πέριξ τοῦ θόλου πληθὺς Ἀγγέλων ἐπέχουσι τῷ Παντοκράτορι δορυφοροῦντες Δεσπότῃ· καὶ Προφῆται φαίνονται περιστοιχοῦντες, καὶ οἱ τέσσαρες Εὐαγγελισταὶ τὰ θεῖα μυστήρια καταγγέλλοντες εἰς πᾶσαν τὴν οἰκουμένην. Ὅλον δὲ τοῦ θόλου τούτου τὸ μέγα κύτος ἐφεδράζεται εἰς τέσσαρας κυλινδρωτοὺς κίονας καταστίκτους τὴν ἐπιφάνειαν, ὡς ἐκ λίθου ποικιλοχρόου καλλιτέχνως μεμιμημένους, καὶ τὰς μὲν βάσεις ἔχουσιν ὀκταέδρους, ἀξιόλογα δὲ καὶ τὰ κιονόκρανα. Οὗτοι δὲ οἱ κίονες, εὐρύθμως σταθέντες, ἀπαρτίζουσι σχῆμα τετράγωνον καὶ ἰσόπλευρον· ἀπέχουσι δ' ἀπ' ἀλλήλων κατά τε μῆκος καὶ πλάτος ἕκαστος ἐπὶ δύω ὀργυιάς· ἐν μέσῳ δὲ τούτων κρέμαται λαμπαδεὼν, ὁ συνήθως πολυέλεος, ἐξ ἀργύρου κάλλιστα κατεσκευασμένος· κύκλοθεν δὲ τούτου περιστρέφεται ἡ χοροστασία, ἢ χορὸς κοινότερον λεγόμενος (κυκλοτερὲς πολύγωνον, συγκείμενον ἐξ ἀβακίων, ἢ πινακίων εἰκονοφόρων), ἔντεχνος καὶ οὗτος ἐξ ὀρειχάλκου

(α) *Χηβάδα* (καὶ χυδαίως, *αχηβάδα*) λέγουσι συνηθέστερον τὴν κόγχην τοῦ ἁγίου βήματος, ἀντὶ *χημάδα*, ἐκ τοῦ χημὰς, ἢ χήμα, ἀττικῶς, τὸ αὐτὸ καὶ κόγχη, καὶ πᾶν τὸ κογχοειδὲς κοίλωμα. Ὅτι δὲ ἔλεγον καὶ οἱ πρὸ ἡμῶν κατὰ τόπους χηβάδα ἀντὶ χημάδα, διὰ τὴν συνήθη ἐναλλαγὴν τοῦ β πρὸς τὸ μ, δείκνυται καὶ ἐκ τοῦ *χαβὸς* ἀντὶ *χαμὸς*, χημὸς, *ὁ κημὸς*, καὶ χυδαιότερον *χαβιὰ* (οἷον χημία), οὕτω καὶ χαμόνω (χαμόω) τὰ κημόω. κτλ.

κεχρυσωμένου πεποιημένος· καὶ τὰ μὲν, ἐξ ὧν συνίσταται, πινάκια τῶν εἰκόνων ὑπάρχουσι δεκατρία τὸν ἀριθμόν· ἡ δὲ τούτου περιφέρεια ἀντιστοιχεῖ ἐπ' ἀκριβὲς ἰσοπερίμετρος πρὸς τὴν ἄνω περιφέρειαν τοῦ ἡμισφαιρικοῦ θόλου. Ἑκατέρωθεν δὲ τοῦ ἀργυροῦ λαμπαδεῶνος αἰωροῦνται καὶ ἕτεροι χρυστάλλινοι δύω, χρυστάλλου τοῦ καλλίστου πεποιημένοι. Ἄνω δὲ πάλιν περὶ τὸ μεσαίτατον τοῦ ἡμισφαιρίου βαθύνονται καὶ ἕτεροι μικρότεροι θόλοι σιφωνοειδεῖς, ἢ κυλινδροειδεῖς, πέντε τὸν ἀριθμόν· δύω μὲν κολπούμενοι παράλληλοι πρὸς ἀνατολὰς, δύω δὲ πρὸς δυσμάς· (ἐπιστηρίζονται δὲ οὗτοι ἐπὶ τόξων ἢ καμαρῶν, καὶ ὁ μὲν προσεπιβαίνει καὶ εἰς τὸν ἕτερον τῶν δυσμικῶν κιόνων, προσερείδεται καὶ εἰς τὸν δεξιὸν τοῖχον τοῦ Ναοῦ· ὁ δὲ πάλιν, εἰς τὸν ἕτερον τῶν δυσμικῶν κιόνων καὶ εἰς τὸν τοῖχον τὸν ἀριστερόν·) καὶ τρίτος δὲ θόλος μεταξὺ τῶν δύω τούτων βαθυνόμενος προστηρίζεται παρὰ τὸν δυτικὸν τοῖχον ἄνωθεν τῆς ὡραίας πύλης. Καὶ πλησίον μὲν τοῦ πρὸς δυσμὰς ἀριστεροῦ κίονος κατεσκεύασται ὁ ἱερὸς ἄμβων· ἐπάνω δὲ τῶν πρὸς ἀνατολὰς ἑτέρων δύω κιόνων πλησίον τῶν ἱερῶν κιγκλίδων (τοῦ συνήθως λεγομένου τέμπλου) δεξιόθεν καὶ ἀριστερόθεν γυροῦνται καὶ ἄλλαι δύω μικρότεραι καμάραι ἡμικυκλοειδεῖς, ὑποστηρίζουσαι καὶ αὗται πλαγίως τὴν ὀροφήν· ἐπιβαίνουσι δὲ ἔνθεν μὲν εἰς τὰς δύω κολώνας τὰς ἀνατολικὰς, ἑτέρωθεν δὲ ἔνδον πρὸς τὸν τοῖχον τοῦ ἁγίου βήματος.

§. ζ'. Αὐτοῦ δὲ τοῦ θείου βήματος τὸν ὄροφον ἀπαρτίζουσιν ἕτεροι θόλοι τρεῖς, καὶ οὗτοι κυλινδροειδεῖς ἐν αὐτῇ τῇ πέτρᾳ τοῦ Σπηλαίου λελαξευμένοι· μέσος μέν τις ἄνωθεν τῆς θείας τραπέζης ἔντεχνος καὶ ὑπερφερής· καὶ ἄλλος δεξιόθεν ἐπάνωθεν τοῦ διακονικοῦ κεχοιλωμένος χαμηλότερος· ὁ δὲ πρὸς ἀριστερὰν ἐπὶ τῆς ἁγίας προσκομιδῆς ἐπικείμενος φαίνεταί πως ἀνώμαλος καὶ πεπιεσμένος, κατ' ἐκεῖνο τὸ μέρος πλαγιάζοντος τοῦ Σπηλαίου.

§. η'. Αὐτὴ δὲ ἡ ἁγία καὶ ζωηφόρος τράπεζα καθίδρυται ἐπὶ κίονος ἑνὸς, μαρμάρου τοῦ καλλίστου τῶν ποικιλοχρόων ἀπεξεσμένη, καὶ θαυμασίως ἀποστίλβουσα διὰ τὴν λειότητα. Φύσει δὲ τὸ μάρμαρον καθωραΐσται, κατάστικτον ὂν καὶ διὰ πάντων χρωμάτων (πλὴν τοῦ πρασίνου) διηνθισμένον· καὶ ἔχει τὸ μὲν μῆκος σπιθαμῶν ἕξ, τὸ δὲ πλάτος τεσσάρων καὶ μικρόν τι πρὸς, τὸ δὲ πάχος ὑπὲρ τοὺς πέντε δακτύλους. Ἄνωθεν δὲ τοῦ θείου τούτου θυσιαστηρίου ἐπίκειται κωνοειδὴς ὄροφος (τὸ παρά τισι κιβώριον καὶ κουβούκλιον λεγόμενον) ἀπὸ ξύλου γεγλυμμένος, ὅστις μετὰ τῶν ὑποστηριζόντων στυλίσκων καὶ ὑπορόφων σανίδων πολλὴν ἐκπέμπει τὴν λάμψιν, διὰ τὸν ἀφθόνως ἐπιτρέχοντα χρυσόν. Ἔχει δὲ καὶ ζωγραφίας καλὰς εἰς τὴν ὀροφὴν, κατὰ δὲ τὸ μέσον αὐτῆς ἀργυρόχυτος αἰωρεῖται περιστερὰ, τὸν τύπον ἐμφαίνουσα τοῦ Παναγίου Πνεύματος. Ἀντικρὺ δὲ τῆς θείας τραπέζης ἡ ἀνεγειρομένη ἱερὰ κόγχη, ἢ ἀψὶς, περιέχει πρὸς μὲν τὰ ἀνωτέρω τὴν ἁγίαν μορφὴν τῆς παναγίας Παρθένου, τῆς τῶν οὐρανῶν πλατυτέρας, τὰς ἀχράντους αὐτῆς χεῖρας ὑπὲρ ἡμῶν πρὸς τὸν υἱὸν ἐξαπλούσης, καὶ τοῖς πιστοῖς πραττομένης τὴν σωτηρίαν· κατωτέρω δὲ φαίνετ' ἐζωγραφημένη τῆς θείας λειτουργίας ἡ μυστικὴ τελετή.

§. θ'. Τὸ δὲ κιγκλιδωτὸν εἰκονοστάσιον (τέμπλον) τοῦ θείου Ναοῦ (α) κατεσκεύασται ἀπὸ ξύλων κυπαρισσίνων καὶ καρυίνων, πολλὰς ἰδέας καὶ μορφὰς ἔχον ἐγγεγλυμμένας, περὶ ὧν λέγομεν ἐφεξῆς.

(α) Τοῦτο ἀνεκαινίσθη τῷ 1760 ἡγουμενεύοντος τοῦ ἀοιδίμου Ζαχαρίου, συνεργούντων καὶ τῶν τριῶν προηγουμένων Ἰωνᾶ καὶ Καλλινίκου καὶ Ἰωαννικίου. Κατεχρυσώθη δὲ κατὰ τὸ 1764, ἡγουμενεύοντος τοῦ Κυρίου Δοσιθέου, καὶ συμπραττόντων πάλιν τῶν αὐτῶν προηγουμένων μετὰ τοῦ Ζαχαρίου καὶ τοῦ Παϊσίου. Σημείω-

3

§. ι. Ἔχει δὲ τοῦτο τῶν ἱερῶν κιγκλίδων τὸ διάφραγμα τρεῖς θύρας (κατὰ τὴν συνήθη τάξιν) φερούσας εἰς τὸ ἅγιον τῶν ἁγίων, τὸ θεῖον βῆμα, μίαν μὲν, τὴν μέσην, τὴν ἁγίαν (παρά τισι δὲ καὶ ταύτην βασιλικὴν) λεγομένην πύλην, καὶ πληθυντικῶς, ἁγίας Θύρας, καὶ ἅγια θυρία (τὰ κοινῶς βημόθυρα), δύο δὲ μικροτέρας πλαγίας ἑκατέρωθεν, τὴν μὲν πρὸς τὸ δεξιὸν κλίτος, νοτίαν καὶ πλαγίαν λεγομένην, τὴν δὲ πρὸς τ' ἀριστερὸν, βόρειον καὶ πλαγίαν· ἐπὶ δὲ τῶν κιγλίδων εἰκόνες ἅγιαι (ταύτας ἡ κοινὴ συνήθεια καλεῖ καὶ Δεσποτικὰ, κατ' ἔλλειψιν τοῦ εἰκονίσματα, ὡς ἐκ τῆς ἐμβασιλευούσης εἰκόνος τοῦ Δεσπότου Χριστοῦ) ὑπάρχουσι πέντε, καλαὶ καὶ μεγάλαι, καὶ ἕκτη, τέλος, αὐτὴ ἡ ἀποστολικὴ καὶ πανευλόγητος εἰκὼν τῆς Θεσμήτορος. Καὶ πρὸς μὲν τὰ δεξιὰ μέρη πλησιέστατα τῶν ἁγίων θυρῶν ἵδρυται ἡ εἰκὼν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ μετ' αὐτὴν προσεχὴς ἡ τῆς Θεοτόκου· αὕτη δὲ ἡ Θεομητορικὴ εἰκὼν ὑπάρχει παλαιὰ, καὶ τό,τε εἶδος καὶ τὸ σχῆμα πρὸς τὴν ὑπὸ τοῦ ἱεροῦ Λουκᾶ ζωγραφηθεῖσαν ἀκριβῶς ἀπεικασμένη, καὶ ἐπιλέγεται κοινότερον ἡ χρυσοχέρα (ὡς χεῖρα χρυσῆν ἔχουσα, καὶ τοῦτο παλαιότατον ἀφιέρωμα)· μετὰ ταύτης τῆς ἱερᾶς εἰκόνος εἰς καιρὸν ἀνομβρίας ἐξερχόμενοι οἱ πατέρες ἐν λιτανείᾳ οὐδέποτε ἀπέτυχον τῆς αἰτήσεως. Μετὰ δὲ τὴν ἀρχαίαν ταύτην εἰκόνα ἕπεται ἡ ἐκ τοῦ δεξιοῦ κλίτους εἰς τὸ διακονικὸν καὶ τὸ ἅγιον βῆμα εἰσάγουσα νοτία θύρα, καὶ ταύτης κατόπιν ἀνεστήλωται αὐτὴ ἡ ὑπὸ τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ κηρόχυτος ζωγραφηθεῖσα πανσέβαστος εἰκὼν τῆς Ἀειπαρθένου Δεσποίνης ἡμῶν, ἀγκαλοφορούσης ὡς βρέφος τὸν μονογενῆ Υἱὸν αὐτῆς καὶ Θεὸν τοῦ παντός. Ταύτης δὲ τῆς κεχαριτωμένης εἰκόνος τὸ θεῖον ἐκτύπωμα καὶ τὸ εἶδος καὶ τὸ μέγεθος μετὰ καί τινων ὀλίγων ἐκ τῶν μυρίων αὐτῆς θαυμάτων διαγράφομεν ἰδίως ἐφεξῆς, κατόπιν τῆς βιογραφίας τῶν ἁγίων ἡμῶν Πατέρων, ὅπου καὶ τὴν εὕρεσιν αὐτῆς ἐξιστοροῦμεν. Καὶ τοσαῦται μὲν εἰσιν εἰκόνες ἅγιαι πρὸς τὰ δεξιά. Πρὸς δὲ τ' ἀριστερὰ πάλιν τῶν ἁγίων θυρῶν ἀνεστήλωται καὶ ἄλλη εἰκὼν τῆς Θεοτόκου, μετὰ δὲ ταύτην ἡ τοῦ Προδρόμου, καὶ τρίτη Μιχαὴλ τοῦ Ἀρχαγγέλου, καὶ κατόπιν πρὸς τὸν τοῖχον τοῦ Ναοῦ ἀκολουθεῖ ἡ ἐκ τοῦ ἀριστεροῦ κλίτους βορεία θύρα τοῦ ἁγίου βήματος. Ὑπεράνωθεν δὲ τούτων τῶν Δεσποτικῶν ἐπίκειται διάζωμα ἐπίχρυσον καὶ τορευτόν· καὶ ἐπ' αὐτοῦ ἑτέρα σειρὰ μικροτέρων εἰκόνων, τῶν ἐτησίων Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν, καὶ ἄλλων ἁγίων· ὅλαι τὸν ἀριθμὸν δεκαεννέα. Καὶ τούτων πάλιν ἐφύπερθεν πλατεῖα τετάνυσται δοκὶς, ἢ ζώνη τις, ὡς ἂν ζωφόρος, τορευτὴ καὶ αὕτη καὶ χρυσαυγίζουσα. Κατὰ δὲ τὸ μέσον αὐτῆς ἀνάκειται ὁ ζωοδότης Χριστὸς ἐσταυρωμένος, καὶ ἔνθεν μὲν ἡ Θεοτόκος Μήτηρ παρισταμένη τῷ σταυρῷ, ἑτέρωθεν δὲ ὁ παρθένος καὶ ἠγαπημένος μαθητὴς Ἰωάννης, ὁ Εὐαγγελιστὴς καὶ Θεολόγος.

§. ια. Ἐν δὲ τῷ μεταξὺ τῆς κιγκλίδος κάλλιστα κιόνια διείργουσι τὰς ἁγίας εἰκόνας. ἄνωθεν δὲ καὶ κάτωθεν τούτων πάλιν ὡραΐζουσι τὸ κιγκλίδωμα ποικίλα μορφωμάτων ἀνάγλυφα, βαθέως ἐπὶ τῶν ξύλων ἐγκεκολαμμένα· οἷον, ἐπάνω μὲν τοῦ ἡμικυκλοειδοῦς ὑπερθύρου τῶν ἁγίων θυρῶν βλέ-

---

σαι δὲ ὅτι τὸ νῦν ἀκυρώτερον ὑπὸ τῆς συνηθείας λεγόμενον Τέμπλον (ὄνομα λατινικὸν, ὃ σημαίνει κυρίως ναὸν) *κιγκλὶς*, καὶ πληθυντικῶς *κιγκλίδες* ἑλληνικώτερον ὀνομάζεται παρὰ τοῖς παλαιοῖς, καὶ, *τὸ ἀπὸ ξύλου δίκτυον* (τουτ. δικτυοειδὲς περίφραγμα), καὶ πάλιν λατινικώτερον *κάγκελλοι*, σημαίνει δὲ καὶ τοῦτο *κιγκλίδας* (ἐξ' οὗ καὶ παρεσχηματίσθη· οἷον καγκελλὶς, κιγκλίς). Τινὲς δὲ τῶν νεωτέρων εἶπον τοῦτο καὶ τὸ *μέγα εἰκονοστάσιον* (ὡς ἔχον τὰς δεσποτικὰς εἰκόνας ἀνεστηλωμένας), πρὸς διαστολὴν τοῦ μικροῦ εἰκονοστασίου, ἢ προσκυνητηρίου, ὅπου συνήθως πρόκειται ἡ εἰκὼν τοῦ ἁγίου, οὗ ἐπώνυμος ἡ Ἐκκλησία.

πεις τὸν Ἰησοῦν Χριστὸν καθήμενον ἐπὶ θρόνου, καὶ ἑκατέρωθεν αὐτοῦ Προφήτας ἕξ, τρεῖς ἀνὰ μέρος· εἰς δὲ τὰς τέσσαρας γωνίας τῶν ἁγίων θυρῶν, τοὺς τέσσαρας Εὐαγγελιστάς· ἑτέρωθεν δὲ βλαστάνουσαν τὴν ῥίζαν τοῦ Ἰεσσαί. Ὡσαύτως καὶ ὑποκάτωθεν τῶν Δεσποτικῶν ἁγίων εἰκόνων εἰς τὰ λεγόμενα στήθη τῆς κιγκλίδος φαίνονται τετορευμένα ποικίλα τῆς ἱερᾶς ἱστορίας ἀνάγλυφα· οἷον, ἡ θυσία τοῦ Ἀβραάμ, καὶ τὰ κατὰ τοὺς προπάτορας τοῦ ἀνθρωπίνου γένους ἐν τῷ παραδείσῳ, καὶ τούτων ἡ πτῶσις, καὶ ἡ φλογίνη ῥομφαία φυλάττουσα τὴν πύλην τῆς Ἐδέμ· ἀλλαχοῦ δὲ πάλιν ὁ Εὐαγγελισμὸς, καὶ ἡ Βάπτισις, και ἄλλα ἱερὰ πρόστυπα· ἐν δὲ τῷ μεταξὺ καὶ διάφορα εἴδη ζώων, μονοκέρων, ἐλάφων, δορκάδων, καὶ τῶν τοιούτων· καὶ προσέτι παντοίων ἀνθέων καὶ δένδρων ἰδέαι. Καὶ τὰ μὲν χρυσόγλυφα τῶν ἱερῶν κιγκλίδων ὡραίσματα τοιαῦτα.

§. ιϐ'. Τὸ δὲ πρὸ τῶν ἁγίων θυρῶν κρεμάμενον μυστικὸν καταπέτασμα (τὸ καὶ τὰ Ἀμφίθυρα λεγόμενον παρὰ τοῖς ἀρχαίοις, καὶ λατινικώτερον Βῆλον καὶ Βηλόθυρον καὶ τὰ Βηλόθυρα· ἡ δὲ συνήθεια καὶ τοῦτο Πύλην ὠνόμασεν) ἔχει διὰ μαγγανικῶν ὀργάνων πεποικιλμένην καὶ χρυσοκέντητον τὴν Κοίμησιν τῆς Θεοτόκου, καὶ τὴν αὐτῆς μετάστασιν εἰς οὐρανούς. Ὑπάρχει δὲ τὸ ἔργον θαυμάσιον καὶ πολυτιμότατον, καὶ πᾶσαν τὴν εἰκονογραφίαν ἔχει μεμιμημένην ἐπ' ἀκριβές. Ἀπὸ δὲ τῶν περὶ τὰς κεφαλὰς ἀκτινοβόλων στεφάνων τέσσαρες μόνον ἔχουσι τὴν περιφέρειαν καὶ διὰ μαργάρων ὡραϊσμένην, ὁ στέφανος τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ὁ τῆς Θεοτόκου ἐπὶ τῆς νεκροφόρου κλίνης κειμένης, καὶ ὁ τῆς φωτοφόρου καὶ παναγίας αὐτῆς ψυχῆς ἐν ταῖς ἀγκάλαις τοῦ μονογενοῦς αὐτῆς Υἱοῦ καὶ Θεοῦ παρατεθειμένης, καὶ τέταρτος ὁ στέφανος αὐτῆς τῆς Θεοτόκου μεθισταμένης μετὰ σώματος εἰς τοὺς οὐρανούς. Ὅλον δὲ τὸ ἐπίπεδον τοῦ καταπετάσματος ὑπάρχει δι' ὅλου χρυσόπαστον καὶ πολυτρόπως πεποικιλμένον, ἄλλα τε ποικίλματα φέρον καὶ καλλίστους ἀστέρας ὁλολαμπεῖς, ὡς πολύφωτος οὐρανός.

§. ιγ'. Μετὰ δὲ τὰς ἱερὰς κιγκλίδας ἕπονται τὰ θρονία ἢ στασίδια, ἐκ ξύλου κυπαρισσίνου δι' ὅλου τοῦ Ναοῦ πρὸς τοὺς τοίχους ἱδρυμένα· καὶ θρόνος ἀρχιερατικὸς (ὅπου κατὰ τὰς μεγάλας ἑορτὰς ἵσταται ὁ ἡγούμενος), καὶ οὗτος κάλλιστος, γλυφαῖς καὶ τορείαις ἐμπρέπων ἐν μέσῳ τῶν στασιδείων τῶν δεξιῶν· ἀνωτέρω δὲ τούτου πρὸς τὰς κιγκλίδας ὁ δεξιὸς, καὶ καταντικρὺ ὁ ἀριστερὸς χορὸς (κατὰ τὸ σύνηθες), καὶ δύω παρ' ἑκατέρους ἀναγνωστήρια πήγματα, ἢ ἀναλόγια, χρήσιμα πρὸς τὰς ἱερὰς ἀναγνώσεις, κόγχης τε μαργοροφόρου καὶ χελώνης ἰνδικῆς τεμμαχίοις ἐπικεκοσμημένα. Πρὸς τὸν δεξιὸν χορὸν ἵσταται καὶ τὰ μικρὸν εἰκονοστάσιον, ἢ προσκυνητήριον, ξύλου καρυίνου καλλιτέχνως διαπεποικιλμένον, ἐν ᾧ πρόκειται μικρὸν εἰκόνιον τῆς Θεοτόκου πρὸς ἀσπασμὸν, προτίθεται δὲ καὶ τῆς ἑορτῆς ἑκάστης ἡ εἰκὼν, ὅσαι κατὰ μῆνας ἑορτάζονται.

§. ιδ'. Χωρὶς δὲ τούτων, καὶ τῶν κατὰ τὰς κιγκλίδας ἁγίων εἰκόνων, τῶν τε Δεσποτικῶν καὶ τῶν ἄλλων, ὧν προείπομεν, ὑπάρχουσι καὶ ἕτεραι διαφόρων ἁγίων, ἐπὶ τῶν τοίχων τοῦ θείου Ναοῦ καὶ ἀλλαχοῦ προσηρτημέναι. Ἐν δὲ ταύταις ἐξέχει τὸ πλησίον τῆς ἁγίας Προσκομιδῆς ἐν τῷ θείῳ Βήματι τηρούμενον πανσέβαστον εἰκόνισμα τῆς Θεομήτορος, ἀκριβὲς ἀντίτυπον τῆς Ἀποστολικῆς εἰκόνος τῆς Θεοτόκου. Ὑπάρχει δὲ ἀρχαιοτάτη ἡ εἰκὼν αὕτη, καὶ λέγεται μία τῶν ἐν μόνοις χρώμασιν ἐζωγραφημένων ὑπὸ τοῦ Ἀποστόλου Λουκᾶ. Πρὸς δὲ τὴν εἴσοδον τῆς βορείας τοῦ ἁγίου βήματος πύλης προσήρτηται πρὸς τὸν τοῖχον ἡ εἰκὼν τῆς ἐν τῷ κήπῳ ὑπερφυοῦς τοῦ Κυρίου προσευχῆς· κάλλιστον ζωγραφικῆς τέχνης ἀριστούργημα. Τὰς δὲ λοιπὰς χάριν συντομίας παραλείποντες, μίαν μόνον ἔτι μνήμης ἀξιωτάτην διαγράφομεν, τὴν ἐφεξῆς.

Εἰσιόντων διὰ τῆς μεγάλης πύλης εἰς τὸν ἔσω Νάρθηκα πρὸς τὰ δεξιά, κρέμαται πυξὶς φέρουσα

Θεομητορικὴν εἰκόνα παλαιὰν, ἀπὸ τῶν βυζαντινῶν χρόνων· τὸ δὲ εἶδος αὐτῆς ἔχει οὕτως. Ἐπὶ θρόνου βασιλικοῦ κάθηται ἡ παντάνασσα Θεοτόκος, βαστάζουσα ἐν κόλποις τὸν Υἱὸν αὐτῆς τὸν μονογενῆ βρεφοπρεπῶς εἰκονισμένον· καὶ τῇ μὲν ἀριστερᾷ φέρει σκῆπτρον ὁ Θεάνθρωπος Βασιλεὺς τοῦ παντὸς, τῇ δεξιᾷ δὲ βασιλόπαιδά τινα τινα κόρην εὐλογεῖ, πανευλαβῶς ἐκ δεξιῶν παρεστῶσαν, πρὸς ἣν καὶ γαληνῶς ὁ φιλάνθρωπος Κύριος ἀποβλέπει, καὶ ἡ Θεομήτωρ ὡσαύτως· ἐκτείνει δὲ καὶ αὐτὴ τὴν δεξιὰν πρὸς τὴν βασιλόπαιδα, οἷον ὑπὲρ αὐτῆς ἱκετεύουσα τὸν Υἱὸν αὐτῆς καὶ Θεόν. Αὐτὴ δὲ ἡ βασιλόπαις ἔχει καὶ τοὺς ὀφθαλμοὺς ἀτενίζοντας, καὶ τὰς χεῖρας διαπεπετασμένας ἱκετικῶς πρὸς τὸν Δεσπότην Χριστὸν, καὶ τὴν ὑπερένδοξον αὐτοῦ Μητέρα. Ἔνδυμα δὲ φορεῖ τὸ οἰκεῖον ἡ βασιλὶς κόρη, πορφύραν βασιλικὴν ἁλουργόχρουν καὶ διάχρυσον, καὶ περὶ τὰ κράσπεδα φέρουσαν ἐνυφασμένους δικεφάλους ἀετοὺς, τὸ τῆς βυζαντινῆς αὐτοκρατορίας παράσημον· φορεῖ δὲ καὶ ὑποδύτην (κατὰ τὴν συνήθη τῶν βυζαντινῶν αὐτοκρατόρων στολὴν), ῥοδόχρουν τὸ χρῶμα, καὶ ποικίλοις ἄνθεσι χρυσόπαστον· τὴν δὲ κεφαλὴν ἔχει γυμνὴν καὶ τὴν κόμην ξανθὴν πυῤῥάζουσαν. Μέγεθος δὲ τῆς εἰκόνος τὸ μὲν ὕψος σπιθαμῶν πέντε, τὸ δὲ πλάτος τριῶν. Ἔχει δὲ καὶ ἐπιγραφὴν ταύτην. Ἄνωθεν μὲν τῆς Θεομητορικῆς μορφῆς « **ΜΗΤΗΡ ΘΕΟΥ. Η ΣΠΗΛΑΙΩΤΙΣΣΑ** ». Δεξιόθεν δὲ πρὸς τὴν κεφαλὴν τῆς βασιλόπαιδος ταῦτα· « *Ἰωάννης Δούκας, Ἄγγελος, Παλαιολόγος, Ῥαοὺλ, Λάσκαρις, Τορνίκης, Φιλανθρωπινὸς, ὁ Ἀσάνης ..... (λείπει) ..... τῆς Ὑψηλοτάτης καὶ φιλοχρίστου Δεσποίνης καὶ Αὐτοκρατορίσσης ..... (α)*. Ἑκατέρωθεν δὲ πλαγίως ἐπιγέγραπται τὰ ἑξῆς ἰαμβεῖα στιχίδια·

Ὤ[μοι] πρὸ ὥρας ἄνθος ἐκτετμημένον,
Ἴδε πρὸ καιροῦ τοῦτό γ' ἐκκεκομμένον,
Ἴδε κλάδον θάλλοντα Παλαιολόγων,
Βασιλέων κρατίστων, εἰς γῆν πεσόντα.
Φεῦ [φεῦ] τομὴ ἄωρος ἡ τοῦ θανάτου.
Οἷόν τι δεινὸν τοῖς βροτοῖς ὁ θάνατος.
Οὐδὲν προτιμᾷ, οὐδὲ τῶν [πάνυ] τιμίων.
Οὐκ ἄνθος οὐ[δὲ] κάλλος, οὐ βλαστὸν χλόης,
Οὐ πλοῦτον, οὐ δύναμιν οὐδὲ [τὴν] δόξαν.
Ἀλλ' ἅμα πάνθ' ἕκαστα [συμ]φορεῖ ταχύς,
Θεοῦ τάδε κρίνοντος ἀῤῥήτοις λόγοις.
Εἰ καὶ ..... ἐλάσσων τις φύγῃ ..... Παλαιολόγων κράτει .....

(α) Ἰωάννης Δούκας Παλαιολόγος ἱστορεῖται υἱὸς τοῦ Αὐτοκράτορος Μιχαὴλ Παλαιολόγου τοῦ καὶ ἐξ Ἀγγέλων (Παχυμερ. ἱστορ. Μιχαὴλ Παλαιολ. βιβ. α. κεφ. 30). Ἐπὶ τούτου τοῦ Μιχαὴλ τῷ (1260) ἦσαν καὶ Ῥαοῦλοι Λασκάρεις, καὶ αἱ οἰκογένειαι τῶν Τορνικίων καὶ Φιλανθρωπινῶν καὶ οἱ ἀπὸ τοῦ Βουλγάρεως Ἀσὰν (βλ. Παχυμ. αὐτ. α, 21. καὶ εἰς Ἀνδρόν. α, 20, καὶ δ, 19). Τούτων ἀπόγονος φαίνεται ἡ ἐν τῇ εἰκόνι παρθένος· ἂν καὶ ἄλλως ἡ πάτριος αὐτῆς οἰκία δὲν διακρίνεται διωρισμένως. Διότι τὰ ἐπίθετα τῶν οἰκογενειῶν, Δοῦκαι, Παλαιολόγοι, καὶ Κομνηνοὶ καὶ Καντακουζηνοὶ καὶ Ἄγγελοι, ἐπὶ Ἀνδρονίκου καὶ Μιχαὴλ τῶν Αὐτοκρατόρων φαίνονται πολλάκις ἡνωμένα εἰς ἓν καὶ τὸ αὐτὸ πρόσωπον, διὰ τὴν ἐξ ἐπιγαμίας συγγένειαν τῶν οἰκιῶν τούτων. Οὕτως εὑρίσκεται, Εἰρήνη τις « Ὅμαιμος οὖσα Μιχαὴλ Βασιλέως » *Παλαιολόγου, τοῦ Κομνηνοῦ, Κομνηνὴ καὶ Παλαιολογίνα*, θυγάτηρ δὲ ταύτης Θεοδώρα, *Καντακουζηνὴ* καὶ *Παλαιολογίνα, Κομνηνὴ*,

(οὕτως ὁ ἔσχατος στίχος διεφθαρμένος ἀναγινώσκεται.)· καὶ τὰ μὲν ἐπιγράμματα ταῦτα. Πῶς δὲ καθιερώθη τὸ πρῶτον ἡ εἰκὼν εἰς τὸν Ναὸν οὐδὲν ἐκ παραδόσεως βέβαιον ἔχομεν. Ὅσον δ᾽ ἀπὸ τῶν εἰκονιζομένων ἔχει τις συμπεράναι, φαίνεται ὅτι βασιλόπαις τις τοῦ γένους τῶν Παλαιολόγων ἐτάφη ἐν τῷ ἱερῷ Μοναστηρίῳ. Οἱ δὲ συγγενεῖς αὐτῆς (ἡγεμόνες Ἀχαΐας, ἢ Δεσπόται τυγχάνοντες τῆς Πελοποννήσου) προσήνεγκαν ἱερὸν ἀνάθημα τὸ εἰκόνισμα, τιμῶντες τὴν παντάνασσαν τοῦ Μεγάλου Σπηλαίου σκηπτοῦχον, καὶ ἅμα καὶ τῆς ἑαυτῶν συγγενίδος τὴν μνήμην παραπέμποντες εἰς τοὺς ὀψιγόνους. Ὑπάρχει δὲ θαυμαστὴ τῶν τε χρωμάτων τῆς εἰκόνος ἡ δευσοποιὸς φαιδρότης, καὶ τοῦ μεταξὺ κατεστρωμένου χρυσοῦ ἡ ἄσβεστος αὐγή. Πέντε ὅλων αἰώνων ἤδη διὰ τῆς χρωματουργίας ταύτης παριππευσάντων, νομίζεις ὅτι πρὸ πέντε μόλις ἐτῶν ἐζωγράφηται. Οὕτως ἀμάραντος ἐπανθεῖ καὶ ἀκμαία τῶν ἀνεξιτήλων χρωμάτων ἡ μίξις, καὶ στίλβουσιν ἀγήραντα τὰ λαμπρὰ καὶ φωτεινὰ μεταξὺ τῶν σκιερῶν διαπρέποντα· καὶ ταῦτα, τῆς εἰκόνος ἔκπαλαι διατελούσης χωρίς τινος καλύμματος, οὕτω δ᾽ ἀσκεποῦς καὶ ἀνοικτῆς εἰς τὸ περιέχον ἐκτεθειμένης, καὶ λαμπηδόσιν ἡλίου καὶ ψύχει καὶ ἀνέμῳ προσομιλούσης τῆς βαφῆς. Μόνα τὰ γράμματα τῶν ἐπιγραφῶν εἰς τὰ κράσπεδα τῆς εἰκόνος τὸ πρῶτον ὄντα γεγραμμένα, ἐπειδὴ τῆς ὑποκειμένης σανίδος ἡ ἄκρα ἐφάνη κατὰ τόπους ὑπὸ χρόνου γεγηρακυῖα καὶ πονήσασα πρὸς τὸ θριπηδέστατον, μετεγράφησαν ἐκ νέου τὰ γράμματα πρὸς τὰ ἀνωτέρω μέρη τῆς εἰκόνος· (ὅθεν καί τινα λάθη παρεισέδυσαν εἰς τὴν ἀντιγραφήν), ἵνα μὴ παντάπασιν ἀποῤῥυέντα συναφανίσωσι καὶ τὴν μνήμην τῶν πρώτων τοῦ εἰκονίσματος ἀφιερωτῶν. Θαυμαστὸν δὲ καὶ ὅπως ἐκ τῆς προειρημένης τοῦ Μοναστηρίου παμφάγου πυρκαϊᾶς ἀβλαβὴς ἡ εἰκὼν διεσώθη· διότι τότε μόνην ἐκ τοῦ θείου Ναοῦ τὴν Ἀποστολικὴν εἰκόνα διέσωσαν οἱ Πατέρες, ὡς ἥτε παράδοσις καὶ τὰ ὑπομνήματα δηλοῦσι. Καὶ ἴσως αὕτη τῆς βασιλίδος ἡ εἰκονογραφία τὸ πρῶτον ἀνέκειτο ἔν τινι τῶν ἔξω τοῦ Σπηλαίου παρεκκλησίων, κἀκεῖ διασωθεῖσα μετεκομίσθη ὕστερον εἰς τὸν Ναὸν ἀνακαινισθέντα. Οὕτω καὶ δύω μεγάλοι ὀρειχάλκινοι λαμπαδοστάται (μανουάλια, τὰ καὶ σταθεραὶ κοινότερον λεγόμενα), Ἰωάννου Παλαιολόγου καὶ οὗτοι φέροντες τὴν ἐπιγραφήν, ἀνέκειντο (καθὼς λέγουσιν) εἰς ἓν τῶν ἔξω τότε Παρεκκλησίων ἐγγύς που τοῦ ἱεροῦ Μοναστηρίου, τιμώμενον ἐπ᾽ ὀνόματι τοῦ τιμίου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου (τοῦτο δ᾽ ἔπειτα μέγας βράχος ἄνωθεν ἐκ τῆς πέτρας πεσὼν κατηρείπωσεν). Ἐκεῖθεν οὖν σῶοι μείναντες οἱ λαμπαδοστάται, καὶ ἐξαχθέντες διαπρέπουσιν ἐν τῷ θείῳ Ναῷ σωζόμενοι μέχρι σήμερον. καὶ ταῦτα μὲν οὕτω.

§. ιέ. Λύχνοι δὲ ἢ κανδῆλαι (αἱ καὶ φωταγωγοὶ παρά τισιν ἀκυρώτερον λεγόμεναι) (α) κρέμανται πρὸ τῶν ἁγίων εἰκόνων αἱ ἐφεξῆς. Ἔμπροσθεν μὲν τῆς ἁγίας καὶ Ἀποστολικῆς εἰκόνος τῆς Θεοτόκου κρέμαται λυχνεών, ἢ πολυκάνδηλον ἑπτάφωτον, ἀργυροῦν, καὶ ἄλλαι δὲ κανδῆλαι

Ῥαούλαινα, ἧς σύζυγος, *Κομνηνὸς Ἰωάννης*, *Ῥαοὺλ*, *ὁ Δούκας*, *Ἄγγελος* κτλ. (Μάξ. Πλανούδ. ἰαμβ. ἐπιγραφ. παρὰ Δουκαγγ. Σχόλ. εἰς Ζωναρ. τ. β. σελ. 35. Paris). Μνημονεύονται δὲ τούτων τῶν οἰκογενειῶν τὰ ὀνόματα καὶ κατὰ τὴν Πελοπόννησον μέχρι καὶ τῆς ἐσχάτης αὐτῆς ἁλώσεως (βλ. Φραντζῆ ϐ, 4. γ, 1. δ, ιζ.)

(α) « Τῷ ἐκ τῆς φωταγωγοῦ ἐλαίῳ, πέμπων καὶ μοναχὸν ἐκ τῆς Μονῆς » (τῶν Ὁδηγῶν, ὅπου ἦν τεθησαυρισμένη ἡ Ὁδηγήτρια εἰκὼν βλ. κεφ. ζ. §.) « φιλοτίμως ἐδωρεῖτο τὸν κάμνοντα (υἱόν, Μιχαὴλ τὸν Βασιλέα, ὁ πατὴρ Ἀνδρόνικος, ὁ γέρων, ὁ Αὐτοκράτωρ)· « καὶ ἡ ἐπιδημία τοῦ μοναχοῦ σὺν τῷ ἁγίῳ ἐλαίῳ ἐπανάκλησις (ἰατρεία) ἦν τῷ νοσοῦντι, ἐν ὅτι πλείστῳ τῷ θειασμῷ γενομένη μετὰ θαύματος ». Παχυμέρ. εἰς Ἀνδρόνικ. βιβ. ε, κεφ. 10).

κἀκεῖναι ἀργυραῖ, κατὰ σειρὰν ἀνηρτημέναι, δώδεκα· παρ᾽ αὐτὰς δὲ καίει καὶ λύχνος ἄλλος εὐμεγέθης, ὁλάργυρος καὶ οὗτος, καὶ διὰ παντὸς τοῦ χρόνου τηρούμενος ἀκοίμητος καὶ ἄσβεστος. Ἔμπροσθεν δὲ τῶν λοιπῶν πέντε Δεσποτικῶν ἁγίων εἰκόνων, τῶν ἐφεξῆς εἰς τὰς κιγκλίδας ἀνακειμένων, καίουσιν εἰς ἑκάστην ἀνὰ δύω κανδῆλαι ἀργυρόχυτοι καὶ αὐταί· καὶ ἄλλη τις πρὸ τοῦ Ἐσταυρωμένου ὑπεράνωθεν τῶν κιγκλίδων φεγγοβολοῦσα· καὶ ἕτεραι δὲ διάφοροι πολλαχοῦ τοῦ εὐαγοῦς Ναοῦ διαυγάζουσιν, ὡς ἀστέρων φέγγη διεσπαρμέναι, ἀργυραῖ κἀκεῖναι καὶ καλλίτεχνοι. Πᾶσαι δὲ συμποσούμεναι ἀναβαίνουσιν ὑπὲρ τὰς ἑξήκοντα.

§. ιϛʹ. Ὅλος δὲ ὁ ἱερώτατος Ναὸς καὶ αὐτὸς ὁ ἔσω Πρόναος ἢ Νάρθηξ (ὡς καὶ ὁ ἔξω, περὶ οὗ προείπομεν) ὑπάρχει διεζωγραφημένος τοὺς τοίχους ὅλος δι᾽ ὅλου, μαρτύρων καὶ ἄλλων ἁγίων φέρων μορφάς, καὶ πολλὰ τῆς Εὐαγγελικῆς Ἱστορίας ἱερὰ ἔκτυπα. Ὑπὲρ τὰς πέντε χιλιάδας ἀναβαίνουσιν ὅλα τὰ πρόσωπα τῆς ζωγραφίας. Ἡ δὲ ζωγραφία καλλίστη καὶ σεμνοτάτη κατὰ τὴν ἀρχαίαν, τὴν τοῦ Πανσελήνου λεγομένην ἱερογραφίαν, ἀκριβῶς πεπονημένη. Ἐζωγραφήθη δὲ ὁ Ναὸς ὅλος τῷ 1653, ὑπὸ ζωγράφου Μανουὴλ ἱερέως, Ἀνδρόνου, τοῦ ἐκ Ναυπλίου, ὡς ἐπιγέγραπται ἐπάνω τῆς μεγάλης πύλης τοῦ Ναοῦ· γράφομεν δὲ καὶ αὐτὴν τὴν ἐπιγραφὴν ἐν τῷ οἰκείῳ τόπῳ. Ἤδη δὲ καθιστοροῦμεν, τέλος, καὶ τὸ ἔδαφος τοῦ θείου Ναοῦ.

§. ιζʹ. Τοῦτο λοιπὸν τὸ εὐαγὲς καὶ πάντερπνον ἔδαφος σύγκειται ἐκ μαρμάρων λευκῶν, καί τινων διὰ μουσοστίκτων ψηφίων διηνθισμένων. Οὕτω δὲ πρὸς ἀλλήλας εἰσὶν αἱ πλάκες προσφιλῶς συνηρμοσμέναι, ὥστε, κρυπτομένων τῶν ἑκάστης περάτων διὰ τῆς ἐμμελοῦς συναφείας, λαμβάνουσι πρόσοψιν ἑνὸς καὶ μόνου μαρμάρου συνεχῶς ἐκτεταμένου, καὶ οἷον κατὰ τόπους γραμμαῖς τισι λεπταῖς ἐπιγεγραμμένου. Τοιαύτη λεία καὶ ὁμαλὴ ἐπέδραμε διὰ τῆς τῶν λίθων ἐπιφανείας ἡ σμίλη τοῦ λιθοξόου. Αἱ δ᾽ ἐν τῷ μεταξὺ διεψηφιδωμέναι πλάκες πολλὰ φέρουσι διὰ μουσείου τετυπωμένα σχήματα παντοίων εἰδῶν, οἷον ἡλίων, καὶ σεληνῶν, καὶ ἄστρων, καὶ δένδρων παντοίων, ἀετῶν τε καὶ ἄλλων πτηνῶν, καὶ σφαιρῶν δὲ καὶ κύκλων καὶ ἄλλων διαφόρων σχημάτων γεωμετρικῶν. Ἴσως ὁ τεχνίτης ἠθέλησεν ἀπομιμήσασθαι τὸ σύστημα τοῦ παντὸς, τά τε ἄλλα διαγράφων καὶ μάλιστα τὰ οὐράνια σώματα, οἷον καταγγέλλοντα διὰ τῆς σιωπώσης ὄψεως αὐτῶν ὅτι « Οὐρανὸς πολύφωτος ἡ Ἐκκλησία », καθὼς ἐν τοῖς ἱεροῖς ᾄσμασιν ἐξυμνεῖται. Μόνον ἓν φαίνεται τοῦ καλλιτέχνου ψηφοθέτου τὸ λάθος· ὅτι εἰς ἕνα καὶ τὸν αὐτὸν χῶρον ἅμα πάντα συναθροίσας τὰ κάλλη, καὶ παράλληλα καταθέμενος, συναρπάζει ταχέως τὸν θεατὴν, ἀφ᾽ ἑνὸς εἰς ἕτερον τὰς ὄψεις αὐτοῦ μεθέλκων καὶ μετασπῶν· οὐδὲ συγχωρεῖ τοῦτον ὅσον ἐθέλει κορέννυσθαι τῆς ἑκάστου κατὰ μέρος καλλονῆς, ἐπὶ πολὺ καὶ ἄνετος εἰς αὐτὴν ἐντρυφῶν. Λίαν δὲ σύμμετρον τὴν ἀναλογίαν καὶ μεταξὺ τῆς ποικιλίας τῶν φαινομένων ἐτήρησεν ὁ τεχνίτης· διότι τὰ κατὰ τὸ δεξιὸν κλίτος ἐντετυπωμένα τοῦ ἐδάφους εἴδη ἀντιστοιχοῦσιν ἀκριβῶς σύμμετρα πρὸς τὰ τοῦ ἀριστεροῦ κλίτους, ὁμοειδῆ πάντα καὶ ἰσομεγέθη καὶ ταὐτόσχημα διαπεπλασμένα. Διαφέρουσι δὲ μόνα τὰ κατὰ μέσον τοῦ Ναοῦ μεγέθει τε καὶ κάλλει τῶν ἄλλων ἐξαλλάσσοντα. Πολλῶν δὲ τούτων ὄντων καὶ ποικίλων, καὶ πρὸς παντοῖα νοήματα τυπικώτερον ἀλληγορουμένων, ἡμεῖς τὰ μὲν ἄλλα καταλείπομεν εἰς τὴν εὐσεβῆ θεωρίαν τῶν μοναζόντων καὶ τῶν εὐλαβῶς συνερχομένων προσκυνητῶν, τρία δὲ μόνον διαγράφομεν, τὰ ἐφεξῆς.

§. ιηʹ. Ἐν τῷ μέσῳ τοῦ Ναοῦ, κατὰ κάθετον γραμμὴν ἐκ τοῦ κέντρου τοῦ μεσαιτάτου θόλου κατιοῦσαν, ἐξεικόνισται δικέφαλος ἀετὸς, λευκόπτερος τετυπωμένος ἐν μέλανι ἐπιπέδῳ, τὰς μὲν δύω κεφαλὰς νευούσας ἔχων ἑκατέρωθεν, τὰς δὲ πτέρυγας ἀναπεπταμένας. Καὶ οὗτος μὲν ὁ

βασιλεὺς τῶν πτηνῶν φαίνεται τεθειμένος ὡς παράσημον τῶν Βυζαντινῶν Αὐτοκρατόρων, οἵτινες ἐγένοντο κτίτορες τοῦ ἱεροῦ Μοναστηρίου (α). Πλὴν ἀλλ᾽ οὐδ᾽ ἀλληγορίας τινὸς ἄμοιρον παντάπασι καὶ γυμνὸν φαίνεται τὸ ἔμβλημα. Πολλάκις δὲ καὶ ἐν ταῖς θείαις Γραφαῖς βλέπομεν τὸν ὑψιπέτην ἀετὸν ἀλληγορούμενον πρὸς τὸ τυπικώτερον. Αὐτίκα τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν ὁ θεόπτης Μωϋσῆς παραβολικώτερον εἰκονίζων, « Ὡς ἀετὸς (λέγει) σκεπάσαι νοσσιὰν ἑαυτοῦ ἐπεπόθησε· διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτούς » κτλ. (β). Ταῦτα δὲ καὶ πᾶς τις τῶν εὐσεβούντων ἀναλογίζεται πρὸς τὸν ἐν τῷ μέσῳ τῆς Ἐκκλησίας ἀετὸν ἀπιδὼν, καὶ τὴν διάνοιαν εἰς ὑψηλοτέρας θεωρίας ἀνάγει, συλλογιζόμενος τὴν περὶ ἡμᾶς κηδεμονίαν τῆς θείας οἰκονομίας, ἥτις σκέπην τε παρέχει καὶ ἀντίληψιν εἰς τοὺς πιστοὺς καὶ ταπεινοὺς τῇ καρδίᾳ, καὶ τούτους ὡς νεοσσοὺς διατρέφει, καὶ πλανηθέντας ἐπ᾽ ὤμων ἐπαίρει, καὶ ἀσθενοῦντας ἀνακουφίζει, καὶ πρὸς ὕψος ἀρετῶν ἀναφέρει, καὶ τῆς ἐφαμάρτου περὶ τὰ γήϊνα προσπαθείας ἀνωτέρους αὐτοὺς καθιστᾷ, καὶ οὐρανοπολίτας ἀναδείκνυσι. Ταῦτα καὶ τοιαῦτα διαλογίζεται πᾶς τις ὁ καὶ ἀπὸ τῶν μικρῶν καὶ ταπεινῶν φαινομένων τὰ μεγάλα καὶ ὑψηλὰ τῆς εὐσεβείας διδάγματα μελετᾶν γυμναζόμενος. Ἡμεῖς δὲ καὶ ἄλλην τινὰ τοῦ ἀετοῦ ἀλληγορίαν προσθήσομεν, ἣν ἔλεγέ τις τῶν σεβασμίων ἡμῶν γερόντων, ὅστις ἀποβλέπων πρός τε τὸν ἐν τῷ μέσῳ τοῦ Ναοῦ λευκόπτερον τοῦτον ἀετὸν, καὶ πρὸς τὸν ἄλλον, τὸν ἐν τῷ μέσῳ τοῦ ἔξω Νάρθηκος μελανόπτερον (περὶ οὗ προείπομεν κεφ. Γ΄. §. ζ΄.)· ἀντιστοιχοῦσι δὲ πρὸς ἄλληλα κατ᾽ εὐθεῖαν κείμενα γραμμὴν τῶν δύω τούτων ἀετῶν τὰ μορφώματα· πρὸς ταῦτα βλέπων ὁ γέρων ἔλεγεν « Ὅτι ἄρα, ὁ μὲν μέλας ἀετὸς τὸν παλαιὸν ἄνθρωπον, τὸν γεγηρακότα ταῖς ἁμαρτίαις ἐμφαίνει· τὸν δὲ νέον ἄνθρωπον, τὸν κατὰ Θεὸν ἀνακαινιζόμενον, ὁ λευκότερος ἀετὸς ὑποδηλοῖ ». Οὕτως οὖν καὶ ἡμεῖς ἀνακαινιζώμεθα καὶ πράξει καὶ θεωρίᾳ διὰ τῆς ἀρετῆς, κατὰ τὸ « ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου »· καὶ τὸν παλαιὸν ἡμῶν ἄνθρωπον ἔξω τῶν ἱερῶν περιβόλων ἀποτιθέμενοι, καινοὶ τῷ πνεύματι καὶ νεαροὶ καὶ ἀκμάζοντες εἰς τὸ θεῖον τέμενος εἰσερχώμεθα, « ἐν καινότητι πνεύματος » λατρεύοντες τῷ Θεῷ, καὶ, « ἐν καινότητι ζωῆς περιπατοῦντες » (γ). « Οἱ γὰρ ὑπομένοντες τὸν Θεὸν ἀλλάξουσιν ἰσχὺν, πτεροφυήσουσιν ὡς ἀετοὶ, δραμοῦνται καὶ οὐ κοπιάσουσιν »· ὡς εἶπε πάλιν τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ Προφήτου (δ). Οὕτω δὲ τρέχοντες μετάρσιοι τὸν δρόμον τῆς ἀρετῆς, συζήσομεν τῷ ἡμετέρῳ Δεσπότῃ καὶ κηδεμόνι, τοῖς προστάγμασιν αὐτοῦ πιστῶς ἀκολουθοῦντες, καὶ, τέλος εἰς τὴν αἰώνιον ἀνάπαυσιν καταντήσομεν· « εἰς τὴν Ἐκκλησίαν τῶν πρωτοτόκων, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ». Τοιαῦτά τινα ὁ γέρων ἐφιλοσόφει διαλεγόμενος πρὸς τοὺς ἀδελφούς· ἐλάμβανε δὲ μάλιστα τῆς τοιαύτης ἀλληγορίας τὰς ἀφορμὰς ἐκ τῆς κατὰ τὴν ἐννάτην ὥραν ἀναγινωσκομένης εὐχῆς τοῦ Μεγάλου Βασιλείου (ἥτις

(α) Τὸ αὐτὸ ἔμβλημα φαίνεται καὶ εἰς τὸν ἐν Πάτραις παλαιὸν τοῦ ἁγίου Ἀποστόλου Ἀνδρέου Ναὸν (ἔνθα καὶ ὁ Ἀποστολικὸς αὐτοῦ τάφος εὑρέθη, λαμπρὸν τῆς τῶν Πατρέων πόλεως ἐγκαλλώπισμα)· διότι κἀκείνου τοῦ Ναοῦ τὸ μαρμαρόστρωτον δάπεδον, ὅσον ἀκέραιον διεσώθη, ἔχει ἐν τῷ μέσῳ λευκοῦ μαρμάρου τετράγωνον πλάκα, φέρουσαν δικέφαλον ἀετὸν ἀνάγλυφον ἐντετορευμένον.

(β) Δευτερον. λϐ. 11.

(γ) Ῥωμ. ϛ, 4: Β. Τιμοθ. β, 11.

(δ) Ἡσαΐ. μ΄. 31.

μετὰ τῶν ἄλλων τῶν Ἀποστολικῶν φωνῶν περιέχει κἀκείνην « ἵνα τὸν παλαιὸν ἡμῶν ἄνθρωπον ἀποθέμενοι, τὸν νέον ἐνδυσώμεθα)· τὴν δὲ ἐννάτην ὥραν συνήθως ἀναγινώσκουσιν οἱ πατέρες κατὰ τὸν ἔξω Νάρθηκα συνεστῶτες, ἔνθα καὶ ὁ μελανόπτερος ἀετός· ἔπειτα δὲ τοὺς ἑσπερινοὺς ὕμνους ψάλλουσιν εἰσιόντες ἐν τῷ θείῳ Ναῷ, ὅπου κατέστρωται καὶ ὁ λευκὸς ἀετὸς ἐν τῷ μεσομφάλῳ.

§. ιθ΄. Τούτου δὲ πάλιν ἑκατέρωθεν ἐν τῷ ἐπιπέδῳ καταφαίνονται τετυπωμένοι οἱ δύω φωστῆρες, ἥλιος καὶ σελήνη. Καὶ ὁ μὲν ἥλιος κεῖται κάτωθεν τοῦ ἀετοῦ πρὸς αὐτὰς τὰς ὡραίας πύλας τοῦ ἔσω Νάρθηκος, ἀνάγλυφος ἐπὶ λευκοῦ μαρμάρου λελαξευμένος, ἀνθρώπου πρόσωπον ἔχων καλὸν, πρὸς δυσμὰς ἀποβλέπων, ὅλος φεγγοβόλος, καὶ μυρίας ἐκ τῆς περιφερείας τὰς ἀκτῖνας ἀποδισκεύων. Ἡ δὲ σελήνη κεῖται τοῦ ἀετοῦ ἄνωθεν, πρὸς τὰς ἁγίας θύρας κεκλιμένη καὶ πρὸς τὸν ἥλιον κατὰ διάμετρον ἀφορῶσα. Γνωστὰ καὶ τῶν δύω τούτων μεγάλων φωστήρων τὰ σύμβολα, ἐκ τῶν θείων λαμβανόμενα γραφῶν, καὶ πρὸς μυστικωτέρας ἐννοίας τὸν νοῦν ἀνυψοῦντα. Τούτων οὖν τοὺς λόγους παραλείπομεν εἰς τοὺς φιλομαθοῦντας εὐσεβεῖς, ἵνα μὴ μακροί τινες φανῶμεν τοῖς ἀναγνώσταις ἀλληγοροῦντες ὑπὲρ τὸ μέτρον. Ἕκαστος δέ τις τῶν εὐσεβούντων καὶ ἁπλῶς καθορῶν τὰς εἰκόνας τῶν ὁρωμένων, εἰς τὰ δάπεδον τοῦ θείου Ναοῦ τετυπωμένας, μᾶλλον ἀναπτεροῦται πρὸς αἴνεσιν καὶ ὕμνον τοῦ τῶν ὅλων Δημιουργοῦ, καὶ τὴν διάνοιαν ἀνυψοῦται, αὐτὴν πατεῖν νομίζων τὴν ἐπουράνιον αὐλὴν τοῦ Παμβασιλέως, καὶ κράζων μετὰ τοῦ ψαλμῳδοῦ « Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς ». Καὶ οὐδέποτε παύεται λατρεύων καὶ προσκυνῶν καὶ ἐξ ὅλης καρδίας ἀγαπῶν τὸν ἐν Τριάδι Θεὸν τοῦ παντὸς, καὶ δουλεύων τῷ Παναγάθῳ Δεσπότῃ, καὶ τὸν ἐπουράνιον Πατέρα δοξάζων, καὶ τὸν Σωτῆρα καὶ Εὐεργέτην καὶ ἀρχηγὸν τῆς ζωῆς ἡμῶν τῆς νῦν καὶ τῆς μελλούσης προσευχαῖς ἀδιαλείπτοις ἐξευμενίζων, καὶ τὸν Παράκλητον, τὸ Πνεῦμα τῆς ἀληθείας ἀπαύστως ὑμνῶν, καὶ τὸν παρ᾽ αὐτοῦ φωτισμὸν πιστῶς ἐπικαλούμενος. Καὶ ταῦτα μὲν ἱκανὰ περὶ τῶν ἐν τῷ δαπέδῳ τοῦ θείου τεμένους ἀπεικονισμένων τυπωμάτων. Ἡμεῖς δὲ πάντα τά τε κατὰ τὸν Ναὸν, καὶ τὰ κατὰ τὸν ἐντὸς καὶ ἔξω Νάρθηκα διαγράψαντες, προσαποδίδομεν καὶ τὰ λοιπὰ τῆς Μονῆς οἰκοδομήματα.

§. κ΄. Ἐξερχόμενος τοῦ θεοδμήτου Ναοῦ, καὶ διερχόμενος τὸν ἔξω Νάρθηκα, πρὸς ἀριστερὰν ἔχων τὸν Ναὸν, καὶ πρὸς νότον ἄνεμον (ἔνθα καὶ ἡ σιδηρᾶ πύλη τῆς Μονῆς) κρατῶν τὸ πρόσωπον τετραμμένον, ὅταν καταντήσῃς εἰς τὸ τέλος τοῦ Νάρθηκος, κάμψας μικρὸν πρὸς ἀνατολὰς εὑρίσκεις θύραν εὐμεγέθη, τὰ δ᾽ ἄνω τοξοειδῆ. Ταύτην περάσας, ἀναβαίνεις κλίμακα βαθμίδας ἔχουσαν δεκαπέντε, λίθου πεποιημένας, καὶ φθάνεις εἰς μικρὸν ἐπίπεδον, ὅπου κεῖται παρεκκλήσιον ἀρχαιότατον, τιμώμενον ἐπ᾽ ὀνόματι τῆς Ὁσίας μητρὸς ἡμῶν Εὐφροσύνης. Εἰς τοῦτον τὸν τόπον ἡ τρισόλβιος ἐκείνη μαθήτρια τοῦ Κυρίου, μετὰ τὴν εὕρεσιν τῆς ἁγίας εἰκόνος, ἔγκλειστος ἐνασκουμένη τὸν ἰσάγγελον αὐτῆς βίον διετέλεσε (καθὼς ἱστορεῖται ἐφεξῆς ἐν τῇ τῶν πατέρων βιογραφίᾳ). Τοῦ δὲ Παρεκκλησίου ὁ μὲν τοῖχος ὁ πρὸς νότον ὁ αὐτός ἐστι καὶ ὁ δεξιὸς τοῖχος τοῦ εὐαγεστάτου Ναοῦ, πρὸς τὰ ἄνω συνεχιζόμενος. Πρὸς ἀνατολὰς δὲ τοῦ παρεκκλησίου φαίνεται μικρά τις κοίλη κόγχη, ὡς ἱεροῦ βήματος ἀψίς, ἐν αὐτῷ τῷ Σπηλαίῳ λελαξευμένη· καὶ ζωγραφίαν φέρει παμπάλαιον, τὸ συνήθως λεγόμενον Τρίμορφον (αὐτὴν δηλονότι τὴν θεανδρικὴν μορφὴν τοῦ Σωτῆρος Χριστοῦ, καὶ δεξιόθεν μὲν τὴν τῆς Θεοτόκου, ἑτέρωθεν δὲ τὴν τοῦ Προδρόμου, ἱκετικῶς τῷ Δεσπότῃ παρισταμένων). Τούτου δὲ τοῦ ἱεροῦ Τριμόρφου μόλις διακρίνονται οἱ χαρα-

Ἡ ἐκκλησία τῆς Ἁγίας Κόρης ἐν ᾗ ἀποτίθενται οἱ ἀσθενεῖς. Σελ. 20.



κτῆρες διὰ τὴν ἐπανθοῦσαν γηραιὰν ἀρχαιότητα. Ἐπὶ ταύτης τῆς ἱερᾶς κόγχης, ὡς ἐπὶ θείας τραπέζης, ὁ Ἀπόστολος Λουκᾶς τὴν ἱερουργίαν τῶν θείων μυστηρίων ἐτέλει, καθὼς ἔχει τῶν πατέρων ἡ παλαιὰ παράδοσις. Ἱστορεῖται δὲ τοῦτο καὶ εἰς τὴν ὑπὸ τοῦ Ἡσαΐου γενομένην σύνοψιν, ὅπου γράφονται ταῦτα ἐπὶ λέξεως (κατὰ τὴν μετάφρασιν τοῦ Λακεδαιμονίας Θεοδωρήτου)— « Εὑρέθη καὶ ἡ παλαιὰ ἁγία τράπεζα, τὴν ὁποίαν εἶχε σχεδιάσει εἰς τὴν πέτραν τοῦ βουνοῦ ὁ ἱερώτατος Ἀπόστολος Λουκᾶς, ὁ ὁποῖος ἱστόρησε καὶ τὴν εἰκόνα—καὶ ἔγραψε καὶ τὸ ἱερὸν Εὐαγγέλιον (ὡς καθὼς μαρτυροῦν καὶ ἄλλοι, ὁποῦ ἔγραψαν τὸν βίον τῶν ἁγίων πατέρων τούτων), τὴν ὁποίαν πέτραν φθειάνοντες καλήτερα οἱ ἅγιοι (Θεόδωρος καὶ Συμεὼν) εἰς σχῆμα τραπέζης, καὶ κτίζοντες καὶ κἄποιον τίποτε οἰκοδόμημα εἰς σχῆμα Ναοῦ (ὅπου καὶ ὡς τὴν σήμερον φαίνεται εἰς τὴν ἄνωθεν μερίαν τοῦ ἁγίου βήματος, ὡς ἂν ἓν ἄλλο δεύτερον βῆμα, καὶ ἔχει καὶ τὴν μικρὰν τράπεζαν, ὁποῦ ὀνομάζεται τοῦ ἁγίου καὶ Εὐαγγελιστοῦ Λουκᾶ), κατέθεσαν ἐκεῖ τὴν ἁγίαν εἰκόνα » κτλ. Καὶ πάλιν ἐφεξῆς εἰς τὴν αὐτὴν σύνοψιν ἱστοροῦνται τὰ ἐφεξῆς « Εἰς τὸ δεξιὸν μέρος (τοῦ Ναοῦ), ἐκεῖ ὅπου πρῶτα ἦτον τὸ καλύβιον τῆς ὁσίας, εἶναι ἕτερος ναὸς μικρὸς μὲ δύο βήματα, εἰς τὸν ὁποῖον κατοικοῦμεν τὴν σήμερον, δηλονότι κατὰ τὸ ζιη (7018 ἀπὸ κτίσεως κόσμου· ἢ τὸ 1510 μ. Χ.) ἡμεῖς οἱ ἐλάχιστοι ὅ,τε Ἡσαΐας καὶ Σωφρόνιος οἱ ῥακενδύται καὶ ἐρημῖται. Καὶ τὸ μὲν ἓν βῆμα ἀπὸ πολὺν καιρὸν πρότερον ἦτον κλεισμένον, καὶ κανεὶς δὲν τὸ ἤξευρε· πλὴν διὰ κἄποιαν χρείαν, εἰς καιρὸν ὁποῦ ἤθελον νὰ κτίσουν τὸ εἰρημένον κελλίον τῆς κατοικίας μας, ἔσοντας καὶ νὰ ἔκρουσαν μὲ τὴν σφύραν τὸν τοῖχον, ἀνοίχθη τὸ δεύτερον βῆμα, μέσα εἰς τὸ ὁποῖον εὑρέθη ἱστορία Τρίμορφον, καὶ σταυροπήγιον μὲ σημεῖον τοιοῦτον. « † † † *Ἰησοῦς Χριστός* ». καὶ ἔγραφε καὶ τὰ κάτωθεν· « *Σταυροπήγιον τοῦ ἀνακαινισθέντος θείου Ναοῦ, καὶ μετονομασθέντος ἐπ' ὀνόματι τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἀρχιεράρχου καὶ θαυματουργοῦ Νικολάου, ἐντὸς τῆς Μονῆς τοῦ Σπηλαίου τῶν Γαλατῶν, παρὰ Ἰωσὴφ ἱερομονάχου καθηγουμένου καὶ ἀρχιμανδρίτου τῆς αὐτῆς Μονῆς. Ἁγιασθὲν παρὰ τοῦ Ἱερωτάτου Κερνίτζης Ἰωάννου* ». Τοῦτο τὸ Σταυροπηγιακὸν οἰκοδόμημα ἐλέγετο πρῶτα τῶν ἁγίων καὶ καλλινίκων μαρτύρων Θεοδώρων, καὶ τῶν ὁσίων Πατέρων » κτλ. (α). Ἐκ τούτων τῶν λόγων τῆς Συνόψεως τοῦ ἀρχαίου Κτιτορικοῦ φαίνεται σαφῶς, ά) ὅτι οἱ ὅσιοι πατέρες Θεόδωρος καὶ Συμεὼν, οἱ τὴν ἁγίαν εἰκόνα μετὰ τῆς ὁσίας Εὐφροσύνης εὑρόντες, ἐγνώρισαν ἐν τῷ Σπηλαίῳ καὶ τὴν τοῦ ἁγίου Λουκᾶ λεγομένην ἱερουργικὴν τράπεζαν· β') ὅτι αὐτοῦ συνέπηξαν τὸν πρῶτον μικρὸν ναὸν, ἐπ' ὀνόματι τῶν ἁγίων Θεοδώρων (ἴσως διότι τῶν Πατέρων ὁ εἷς ἐλέγετο Θεόδωρος), καὶ ἐν αὐτῷ ἱερούργουν, καὶ αὐτοῦ τὴν ἁγίαν ἀπέθεντο εἰκόνα· γ') ὅτι παρὰ τούτῳ τῷ ναῷ εἶχε καὶ τὸ ἑαυτῆς καλύβιον, ἐν ᾧ κατεβίωσεν ἔγκλειστος, ἡ ὁσία Εὐφροσύνη· δ') ὅτι εἰς τὴν ἐπωνυμίαν τῶν ἁγίων Θεοδώρων (ἀφ' ὧν ἐπεφημίσθη τὸ πρῶτον ὁ ναὸς) προσέθηκαν ὕστερον καὶ τὴν ἐπωνυμίαν τῶν ἁγίων πατέρων οἱ τῶν πατέρων διάδοχοι, τιμῶντες τὴν ὁσίαν μνήμην τῶν πρώτων καθηγουμένων, καὶ κτιτόρων τῆς Μονῆς (Θεοδώρου καὶ Συμεὼν), ἐν οἷς καὶ ἡ ὁσία Εὐφροσύνη· έ) ὅτι μετὰ ταῦτα διὰ τὴν στενότητα τοῦ τόπου ἔκτισαν ἄλλον ναὸν κατωτέρω πλησιάζοντα καὶ ἴσως συνεχόμενον πρὸς τὸν πρῶτον, καὶ ὁ ναὸς οὗτος ὁ δεύτερος ὑπῆρχεν ὅπου τὰ νῦν ἐστι τὸ Διακονικὸν (ἐν τῷ θείῳ βήματι τῆς καθολικῆς Ἐκκλησίας)· φαίνονται δὲ καὶ τὴν σήμερον τὰ ἴχνη τῆς κόγχης τοῦ βήματος τοῦ δευτέρου τούτου·

(α) Βλ. Σύναξιν Κανόνων κτλ. σελ. 16 καὶ 25, Ἐνετίῃσιν 1706.

ναοῦ, ἢ παρεκκλησίου, πρὸς τὸ πέρας τοῦ Διακονικοῦ. Εἰς τίνος δὲ ἁγίου ὄνομα καθηγιάσθη ὁ δεύτερος ναὸς, τὸ μὲν ἀρχαῖον ὑπόμνημα τοῦ Ἠσαΐου σιωπᾷ, φαίνεται δὲ καὶ αὐτὸς ἐπ᾽ ὀνόματι τῶν ἁγίων Θεοδώρων καὶ τῶν ἁγίων πατέρων ἀνέκαθεν τιμώμενος· καὶ τοῦτο συμπεραίνεται ἐκ τῶν ἐφεξῆς· ϛʹ) ὅτι οἱ περὶ τὸν ἡγούμενον καὶ ἀρχιμανδρίτην Ἰωσὴφ ἀνακαινίσαντες τὸν πρῶτον, τὸν ἀνωτέρω ναὸν, μετωνόμασαν ἐπ᾽ ὀνόματι τοῦ ἁγίου Νικολάου, ὡς λέγει ἡ εὑρεθεῖσα ἐπιγραφὴ, καὶ διὰ μεσοτοίχου παντελῶς ἀπέκλεισαν ἀπὸ τοῦ δευτέρου (τοῦ κατωτέρου κτισθέντος)· καὶ εἰς τοῦτον λοιπὸν τὸν δεύτερον ἀπεκληρώθη ἡ τῶν ἁγίων Θεοδώρων καὶ πατέρων ἐπωνυμία· ζʹ) ὁ πρῶτος κτισθεὶς, καὶ ὕστερον ἀνακαινισθεὶς, καὶ ἐπ᾽ ὀνόματι τοῦ ἁγίου Νικολάου ἐπικληθεὶς ναὸς, διὰ τὸ μάλιστα τότε στενώτατον τοῦ τόπου καταλειφθεὶς ἀπεκλείσθη, καὶ διὰ τοῦ μακροῦ χρόνου ἐλησμονήθη· διὸ καὶ πολὺ ὕστερον, ἐπὶ Ἠσαΐου καὶ Σωφρονίου τῶν ῥακενδυτῶν, πάλιν ἀνευρέθη, βῆμά τε ἅγιον ἔχων ἴδιον, καὶ παρακειμένην τὴν λεγομένην ἱερουργικὴν τοῦ Ἀποστόλου τράπεζαν· ἀρθέντος δὲ τοῦ μεσοτοίχου, ὁ κάτω ναὸς ἐφάνη πάλιν κοινωνῶν πρὸς τὸν ἀνωτέρω. Διὸ καὶ ὁ Ἠσαΐας λέγει τὸν ναὸν ἔχοντα δύο βήματα· τὸ μὲν δηλονότι τοῦ κάτω ναοῦ· τὸ δὲ, μικρὸν ὑψηλότερον, ἀνῆκον εἰς τὸν ἄνω, τὸν πρῶτον ἐπ᾽ ὀνόματι τῶν ἁγίων Θεοδώρων καὶ ὕστερον τοῦ ἁγίου Νικολάου ἐπιφημισθέντα· ηʹ) ὅτι ἐπὶ τοῦ Ἠσαΐου (ὁπότε ὑπῆρχεν ἤδη τὸ καθολικὸν τῆς Ἐκκλησίας καθιδρυμένον) οὗτος ὁ κάτω μικρὸς ναὸς ἐπεῖχε τὸν τόπον ἀκριβῶς τοῦ σημερινοῦ Διακονικοῦ (πρὸς ὃ καὶ μεθηρμόσθη μετὰ ταῦτα συμπεριληφθεὶς εἰς τὸ ἅγιον βῆμα τοῦ πλατυτέρου κτισθέντος καθολικοῦ)· ὁ δὲ τούτου ἀνώτερος, ἐκεῖνος δὴ ὁ πρῶτος ἐπ᾽ ὀνόματι τῶν ἁγίων Θεοδώρων ὑπὸ τῶν ἁγίων πατέρων κτισθεὶς, καὶ μετὰ ταῦτα ἐπ᾽ ὀνόματι τοῦ ἁγίου Νικολάου ἀνακαινισθεὶς, καὶ ἐπὶ τοῦ Ἠσαΐου ἀνευρεθεὶς, παρ᾽ ᾧ καὶ τὸ καλύβιον ὑπῆρχε τῆς ὁσίας Εὐφροσύνης, ἐν ᾧ καὶ τὸ σχῆμα τῆς ἱερουργικῆς τοῦ Λουκᾶ τραπέζης ἔτι σώζεται, αὐτὸς οὗτος ὁ ναὸς ὑπάρχει τὸ νῦν καθ᾽ ἡμᾶς παρεκκλήσιον τῆς ὁσίας Εὐφροσύνης, μετὰ τοὺς Ἠσαΐου χρόνους (καθὼς φαίνεται) ἐπιφημισθεὶς εἰς τὸ ὄνομα τῆς Ὁσίας, ἥτις καὶ αὐτοῦ πλησίον ἐνησκεῖτο, καὶ συνάμα μετὰ τῶν ὁσίων ἡμῶν πατέρων τιμᾶται. Ταῦτα περὶ τοῦ Παρεκκλησίου τῆς ὁσίας Εὐφροσύνης, τὸ καὶ τῆς ἁγίας Κόρης ἐπιλεγόμενον.

§. καʹ. Ἐκ δὲ τούτου πάλιν προχωροῦντες μικρὸν πρὸς δυσμὰς καὶ πρὸς τὰ δεξιὰ εὑρίσκομεν ἄλλα παρεκκλήσια τρία, κείμενα σχεδὸν κατὰ σειράν· τιμῶνται δὲ, τὸ μὲν ἐπ᾽ ὀνόματι τῆς ἁγίας καὶ πανσόφου παρθενομάρτυρος Αἰκατερίνης· τὸ δὲ, τοῦ ἁγίου καὶ ἐνδόξου ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ· καὶ τὸ τρίτον τῶν παμμεγίστων ταξιαρχῶν Μιχαὴλ καὶ Γαβριὴλ, καὶ πασῶν τῶν ἐπουρανίων Δυνάμεων (διὰ τοῦτο καὶ τῶν Ἀσωμάτων συνήθως ἐπιλέγεται). Τούτων δὲ τῶν τριῶν παρεκκλησίων τὰ ἱερὰ βήματα περατοῦνται ἄνωθεν πρὸς αὐτὸν τοῦ καθολικοῦ Ναοῦ τὸν τοῖχον, ἐφ᾽ ὃν αἱ τρεῖς εἰρημέναι πύλαι τοῦ ἔσω Νάρθηκος, ἡ δὲ πρὸς δυσμὰς ἀποπεράτωσις τῶν παρεκκλησίων ἀντιστοιχεῖ πρὸς τὸ μέσον τοῦ ἔξω Νάρθηκος. Ἀπωτέρω δὲ καὶ πέριξ τῶν παρεκκλησίων τούτων εὑρίσκονται διάφορα εὐρύχωρα κελλία τῶν τε προηγουμένων, καὶ λοιπῶν προεστώτων τοῦ ἱεροῦ Μοναστηρίου, καὶ πλησίον παρακέλλια διὰ τοὺς αὐτῶν ὑπηρέτας, καί τινα δρύφακτα (τὰ κοινῶς ἡλιακὰ λεγόμενα) πρὸς ἀναψυχὴν τοῦ καύματος.

§. κβʹ. Ἐπιστρέφοντες δὲ πάλιν εἰς τὸ ἐπίπεδον τοῦ ἐπ᾽ ὀνόματι τῆς ὁσίας ἡμῶν μητρὸς Εὐφροσύνης παρεκκλησίου, κἀκεῖθεν ἀνερχόμενοι βαθμίδας ὀκτὼ, φθάνομεν εἰς τὸν πρόδομον τοῦ μεγάλου ξενῶνος (τοῦ καὶ χυδαιότερον ἐπιλεγομένου ἀρχονταρικίου). Τοῦτο τὸ οἰκοδόμημα κατεσκεύασται διωρισμένον ἐξεπίτηδες πρὸς ἄνετον ὑποδοχὴν καὶ φιλοξενίαν τῶν θεοφιλῶν προσκυνητῶν· καὶ ἔχει

πάντα τὰ στρώματα καὶ καθίσματα, ὅσα χρησιμεύουσι πρὸς ἀξιοπρεπεῖς ὑποδοχάς. Ἔστι δὲ καὶ εὐρυχωρότατον, καὶ παντοδαπῆς ἀπόψεως καὶ θεωρίας ἀνάμεστον, ἀναπαῦον καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα τῶν εὐλαβῶν προσκυνητῶν. Ἀπέναντι δὲ τούτου πρὸς βοῤῥᾶν εὑρίσκονται καὶ ἕτερα τρία δωμάτια διὰ τοὺς ὑπηρέτας αὐτῶν, καὶ ταῦτα κατάλληλα πρὸς τὴν τούτων ἀνάπαυσιν. Κατὰ δὲ τὰ δεξιὰ τοῦ ξενῶνος πρὸς δυσμὰς ᾠκοδόμηται καὶ δρύφακτον, ἢ ἡλιακὸν ἐξώστεγον, ἐκ τοῦ προδόμου τὴν εἴσοδον ἔχον, οὗτινος τὸ μὲν πλάτος ὀργυιὰ μία καὶ ἡμίσεια, τὸ δὲ μῆκος ὑπὲρ τὰς ὀκτώ. Καὶ πάλιν ἐκ τῆς ἔξωθεν τοῦ ξενῶνος παρόδου πρὸς ἀριστερὰν ἀνερχόμενοι βαθμίδας δεκαοκτὼ, φθάνομεν εἰς ἄλλον οἶκον, ὅπου πρότερον ἦσαν οἱ ἱεροὶ κώδωνες, ἢ τὸ κωδωνοστάσιον (καμπαναρεῖον), ἤδη δὲ κατέχουσι τὸν τόπον κελλία τῶν πατέρων. Καταβαίνοντες δὲ καὶ ἐντεῦθεν ἄλλην εὑρίσκομεν κλίμακα πρὸς ἀνατολὰς, ἄγουσαν εἰς ἄλλα τῶν πατέρων δωμάτια καλὰ καὶ μεγάλα, καὶ πρὸς ὑποδοχὰς ξένων ἐπισήμων ἐπιτήδεια. Πύργου θέαν παρέχουσι τὰ δωμάτια ταῦτα μετέωρα καὶ δίστεγα κτισθέντα. Παράκειται δὲ πρὸς αὐτὰ καὶ ἕτερος πύργος ὁμοίων εὐπρεπῶν δωματίων, ἔχων τὴν ἀνάβασιν ἐκ τοῦ μέρους τοῦ ξενῶνος.

§. κγ΄. Μετὰ ταῦτα καταβαίνοντες τὰς κλίμακας ὅθεν ἀνήλθομεν, καὶ παροδεύοντες αὖθις τὸ παρεκκλήσιον τῆς ὁσίας Εὐφροσύνης, κατερχόμεθα πάλιν εἰς τὸν ἔξω Νάρθηκα τοῦ Καθολικοῦ, καὶ διελθόντες εἰς τὸ παρακείμενον πρόστοον (ἔνθα τὰ καθίσματα) βλέπομεν δύω θύρας πρὸς τὰ δύω τοῦ προστόου πέρατα, τὴν μὲν πρὸς νότον ἐκ δεξιῶν, τὴν δὲ πρὸς ἀριστερὰν κατὰ μεσημβρίαν· ἄγουσι δὲ αἱ θύραι ἑκάτεραι εἰς σειρὰς κελλίων δρομικῶς ᾠκοδομημένων, καὶ προαύλιον ἐχόντων ἐκτεινόμενον ἑκατέρωθεν μαρμαρόστρωτον καὶ ἰσόπεδον τῷ προστόῳ. Κατὰ δὲ τὴν σειρὰν τὴν ἀριστερὰν ἔγγιστα τῆς θύρας τοῦ προστόου κρέμανται καὶ οἱ ἱεροὶ κώδωνες τοῦ Μοναστηρίου, διάτορον ἠχοῦντες, καὶ λίαν ἐξάκουστον, ὅταν σημαίνωσι τὰς τεταγμένας ὥρας τῶν προσευχῶν. Ἐπανερχόμενοι δὲ πάλιν διὰ τοῦ προστόου εἰς τὸν ἔξω Νάρθηκα, καὶ κάμπτοντες πρὸς ἀριστερὰν, εὑρίσκομεν ἐπίπεδον πλαγιάζον καὶ μικρόν τι κατωφερές· τὰ δ' ἄνω διὰ θόλου κυλινδροειδῶς ὠροφωμένον. Ἐπ' αὐτοῦ βαδίζοντες ὀργυιὰς περίπου δέκα φθάνομεν εἰς αἴθουσαν (σάλαν), ἥτις τὸ μὲν πρόσωπον ἔχει πρὸς δυσμὰς ἀνοικτὸν εἰς ὑποδοχὴν φωτὸς, καὶ διὰ θυρίδων ὑελίνων πεφραγμένον διὰ τὸ ψῦχος· τὸ δὲ πρὸς ἀνατολὰς μέρος τῆς αἰθούσης ἀποπερατοῦται πρὸς αὐτὸ τὸ σπήλαιον, ὅπου ῥέει ἀεννάως καὶ ἡ παραδόξως καθυποδειχθεῖσα πηγὴ, δι' ἧς ἀπεκαλύφθη εἰς τὴν ὁσίαν Κόρην ἡ πάνσεπτος εἰκὼν τῆς Θεοτόκου (καθὼς ἱστορεῖται ἐφεξῆς ἐν τῇ τῶν ἁγίων βιογραφίᾳ)· αὐτὸ δὲ τὸ πηγάζον ἱερὸν ὕδωρ ἔχει μὲν τὴν ἀρχὴν ὑποκάτωθεν τοῦ θείου βήματος τοῦ εὐαγοῦς ναοῦ· μετωχετεύθη δὲ πρὸς τοῦτο τὸ μέρος δι' ὑπογείων σωλήνων, ὅπως εὐκοπώτερον χρησιμεύῃ πρὸς τὰς χρείας τῶν πατέρων· ῥέει δὲ τὸ νᾶμα καθαρὸν καὶ διαυγὲς καὶ ποτιμώτατον, καὶ πάντοτε διαρκὲς καὶ ἄφθονον ἀναβρύον. Ἄνω δὲ τῆς καλιῤῥόης πηγῆς ἀνεστήλωται καὶ σεβασμία τῆς Θεοτόκου εἰκὼν πρὸς ἀνάμνησιν τῆς παραδόξου εὑρέσεως· καὶ ταύτης ἔμπροσθεν τῆς παρὰ τὴν πηγὴν ἁγίας εἰκόνος ἀείφωτος λάμπει λύχνος. Αὐτῆς δὲ τῆς αἰθούσης τὰ μὲν ἄνω θόλος ἔχει κυλινδροειδής· τὸ δὲ μῆκος ἀπὸ τῆς πηγῆς μέχρι τῶν φωτοφόρων θυρίδων ὑπερβαίνει τὰς δέκα ὀργυιὰς, τὸ δὲ πλάτος εἰς ὀργυιὰς ἐκτείνεται δύω. Ἐξ αὐτῆς δὲ πάλιν πρὸς βοῤῥᾶν βαδίζοντες διερχόμεθα καὶ ἄλλο χωρίον, καὶ τοῦτο πλαγιάζον καὶ ὕπτιον. Θόλος δὲ καὶ τοῦτο στεγάζει κυλινδρωτὸς, ἔχων τὸ μὲν μῆκος ὀργυιὰς δύω καὶ ἡμίσειαν, τὸ δὲ πλάτος μίαν καὶ μικρόν τι πρός· ἠρέμα δὲ καὶ δι' αὐτοῦ κατελθόντες καταντῶμεν εἰς τὸν τραπεζῶνα ἢ τραπεζεῖον (χυδαιότερον τραπεζαρεῖον), τὸ καὶ ἀριστήριον. Ἔχει δὲ καὶ τοῦτο πρὸς δυσμὰς μεγάλας θυρίδας φωταγωγοὺς,

ὑελοφράκτους διὰ τὴν ψύξιν τοῦ χειμῶνος· τὰ δὲ πρὸς ἀνατολὰς περατοῦνται πρὸς τὸ σπήλαιον, καὶ τὸν ὄροφον ἔχει θολοειδῆ, τὸ δὲ ἔδαφος πλακόστρωτον, καὶ μακρὸν μὲν ὑπὲρ τὰς δώδεκα ὀργυιάς, κατὰ δὲ τὸ πλάτος δύω καὶ ἡμίσειαν. Παράκειται δὲ πρὸς τὰ δυσμόθεν δεξιὰ τοῦ τραπεζῶνος καὶ ἀρτοθήκη, ταμεῖον μικρὸν, ἄρτους ἔχον ἀνελλειπεῖς, καὶ κοινῶς λεγόμενον ἀρτοφόριον. Ἐπὶ δὲ τοῦ πρὸς ἀριστερὰν τοίχου τοῦ τραπεζῶνος βλέπεις ἐζωγραφημένας κατὰ σειρὰν ἁγίας εἰκόνας· πρώτην μὲν τοῦ Ἰησοῦ Χριστοῦ, ἐφεξῆς δὲ τοῦ τιμίου Προδρόμου καὶ Βαπτιστοῦ, καὶ τῶν ἀοιδίμων τῆς πανσέπτου εἰκόνος εὑρετῶν Θεοδώρου τε καὶ Συμεὼν, καὶ τῆς ὁσίας Εὐφροσύνης· κατὰ δὲ τὸ μέσον αὐτῶν, μικρόν τι πρὸς τὰ ἄνω, καὶ τῆς Θεοτόκου ἱστόρηται εἰκὼν, ἀκριβῶς ἀντίτυπος τῆς ὑπὸ τοῦ Λουκᾶ ζωγραφηθείσης· ἀπωτέρω δὲ πάλιν φαίνεται ἡ ὁσία, βοσκοῦ φέρουσα τὸ σχῆμα· καταντικρὺ δὲ ταύτης ἡ πηγὴ, καὶ ὁ ποδηγέτης τράγος, καὶ τ᾽ ἄλλα τῆς ἱστορίας, καθ᾽ ἣν ἀπεκαλύφθη ἡ πάνσεπτος εἰκών.

§. κδ΄. Ἀπὸ δὲ τοῦ τραπεζῶνος ἐξελθόντες, πρὸς δυσμὰς βαδίζοντες, καταβαίνομεν διὰ κλίμακος εἰς δρομικὴν κελλίων σειράν· κἀκεῖθεν ἄλλη κλίμαξ, καὶ κατάβασις, καὶ κελλίων σειρά· μετὰ δὲ ταύτην εὑρίσκεις κλίμακα μεγάλην, λίθου πεποιημένην, ἥτις ἄγει κάτω εἰς τὸ οἰνοδοχεῖον καὶ τὸν ἔσχατον πυθμένα τοῦ Σπηλαίου. Ἐντεῦθεν δὲ πάλιν διὰ τῶν αὐτῶν ἀνόδων παλινδρομοῦντες πρὸς τὴν εἰρημένην καλλιρρόην πηγὴν, καὶ στρέψαντες αὐτῆς δεξιόθεν βαδίζομεν ὀργυιὰς περίπου ἕξ, καὶ φθάνομεν ὅπου τὸ μαγειρεῖον, καὶ τὸ ἀρτοποιεῖον, καὶ τρεῖς ἀλεύρου ἀποθῆκαι, καὶ κλίβανος, ἢ φοῦρνος μέγιστος εἰς ὄπτησιν ἄρτων, μακρὸς μὲν ὀργυιὰς δύω καὶ ἡμίσειαν, ὀλίγῳ δὲ μικρότερον ἔχων τὸ πλάτος, τὸ δὲ ὕψος ἔνδοθεν, ὅσον ἀνδρός· πλησίον δὲ τούτου παράκειται καὶ ἕτερον κλιβάνιον ἐπίτηδες κατεσκευασμένον, ὅπου μόνα ὀπτῶνται τὰ ἱερουργικὰ πρόσφορα· παράκειται δὲ καὶ τὸ ἑψητήριον, ὀσπρίων καὶ λαχάνων, ὡς ἐπὶ τὸ πλεῖστον, μαγειρεῖον ἄκνισσον ὄν. Ἀπωτέρω δὲ τῶν φούρνων ἀπόκεινται αἱ ξυλοθῆκαι, καὶ τ᾽ ἄλλα, τὰ χρήσιμα πρὸς τὴν τῶν σωμάτων διατροφήν. Τούτων δὲ πάντων πρὸς ἀνατολὰς τοῦ Σπηλαίου κειμένων αὐτοφυὴς ἐπίκειται στέγη τὸ Σπήλαιον αὐτὸ, πλατὺ κατ᾽ ἐκεῖνα τὰ μέρη κολπούμενον· ἔχει δὲ καὶ ἄνωθεν εὐρύστομον ὀπαίαν, ὡς καπνοδόχην, ἀναφυσῶσαν τὸν καπνὸν ἔξω τοῦ Σπηλαίου. Ἀποστρέφοντες δὲ πρὸς νότον εὑρίσκομεν ἄλλην εἴσοδον καὶ κλίμακα μακρὰν φέρουσαν εἰς οἴκημα χωριστὸν, ὅπου κεῖται καὶ τὸ ψυχοτροφεῖον, ἐν ᾧ τὰ πρὸς τροφὴν καὶ θεραπείαν ψυχῶν τεθησαύρισται, λέγω δὲ, ἡ βιβλιοθήκη· πλησίον δὲ ταύτης ᾠκοδόμηται δωμάτιον εὐπρεπὲς, εἰς μελέτην χρήσιμον, καὶ ἐφεξῆς τὸ σκευοφυλάκιον, καὶ ἄλλα τινὰ τῶν πατέρων κελλία. Ἐπιστρέψαντες δὲ διὰ τῆς αὐτῆς κλίμακος ἐξερχόμεθα καὶ αὖθις εἰς τὸ φέρον πρὸς τὸν Νάρθηκα κατωφερὲς ἔδαφος, καὶ κάμψαντες πρὸς ἀριστερὰν τοῦ Καθολικοῦ Ναοῦ, εὑρίσκομεν ἄλλην κλίμακα δωδεκάβαθμον, ἥτις ἄγει πρὸς τὸ παρεκκλήσιον, τὸ πάλαι μέν ποτε λεγόμενον καὶ ὂν Κοιμητήριον, νῦν δὲ τιμώμενον ἐπ᾽ ὀνόματι τῶν τριῶν Ἱεραρχῶν Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσορρήμονος· πλησιάζει δὲ τοῦτο πρὸς τὸν μέσον τοῦ Καθολικοῦ θεόδμητον θόλον, τὸν ἐπερειδόμενον εἰς τὸν πρὸς τ᾽ ἀριστερὰ καὶ βόρεια τοῖχον τοῦ Ναοῦ.

§. κέ. Εὑρίσκονται προσέτι σποράδην ἔνδοθεν τοῦ Σπηλαίου καὶ ἄλλαι οἰκοδομαὶ, οἷον σιτοδόχοι ἀποθῆκαι, καὶ ταμεῖα, καὶ ἄλλα διὰ τὴν κατασκευὴν ἄξια περιεργείας.

§. κϛ΄. Καθόλου δὲ τὸ κύτος τοῦ Μεγαλωνύμου Σπηλαίου, αὐτὸ καθ᾽ ἑαυτὸ χωρὶς τῶν οἰκοδομῶν θεωρούμενον, ὑπάρχει τριπλοῦν καὶ οἷον τριγλάφυρον, ἢ τρίκολπον, εἰς τρεῖς κόλπους ἢ πτυχὰς αὐτοφυῶς διῃρημένον, ὡς ἐκ τῆς κάτω βάσεως δηλονότι, καὶ τῶν δύω τῶν ἐκ πλαγίων ἀνωτέρω

βαθμηδὸν προβεβλημένων οἷον ἀκρωτηρίων· ὅθεν καὶ τρίστεγον ἢ τρίπατον ἂν λέγοιτο τὸ αὐτὸ, καθὼς εἴπομεν ἐν τοῖς ἔμπροσθεν (κεφ. Β. §. 6.). Καὶ τὸν μὲν κάτω κόλπον ἢ πυθμένα (ὅπου κατ' ἀρχὰς ἐνεφώλευεν ὁ μέγιστος ἐκεῖνος δράκων, περὶ οὗτινος ἱστόρηται ἐν τῇ τῶν πατέρων βιογραφίᾳ) τανῦν ἐπέχει ὁ οἰνὼν, ἡ οἰνοθήκη, ἐν ᾗ τὰ σκεύη τὰ οἰνοδόχα· ὑπάρχει δὲ λίαν εὐρύχωρον τὸ μέρος τοῦτο τοῦ κοιλώματος, καὶ κατάψυχρον, καὶ τὸν θόλον τῆς ὀροφῆς κάθυγρον ἔχει καὶ ὑδρογόνον· ὥστε πολλαχοῦ τῆς ὀροφῆς πυκναὶ ῥανίδες ὕδατος ἀνυγράζουσαι καὶ περὶ τὰ πλαγιάζοντα συῤῥέουσαι καταστάζουσιν ἐνδελεχῶς, καὶ συναγόμεναι εἰς ἓν, πηγὴν ἀποτελοῦσιν, ἥτις διὰ σωλήνων ὑπονόμων ἔξω τοῦ Σπηλαίου πρὸς βοῤῥᾶν ἐξερχομένη καθυπηρετεῖ ταῖς χρείαις τῶν βυρσέων καὶ σκυτοτόμων τοῦ ἱεροῦ Μοναστηρίου. Ὑπεράνω δὲ τοῦ πρώτου τούτου κόλπου ἐπίκειται καὶ δεύτερον εὐρυχωρότερον καὶ γλαφυρώτερον κοίλωμα διαιρούμενον μέχρι τινὸς ἀπὸ τοῦ πρώτου κόλπου διὰ τῆς μεταξὺ προβεβλημένης βάσεως, ἥτις ἐκ τῶν νοτίων τοῦ κύτους ἐκφυομένη πλευρῶν, ἔμφασιν ἀκρωτηρίου παρέχεται· καὶ ἔστι τὰ μὲν ὑποκάτω κοίλη, τὸν θόλον τοῦ κάτω πυθμένος ποιοῦσα, τὴν δ' ἐπάνωθεν ἐπιφάνειαν λεία καὶ ἐπίπεδος καὶ ὁμαλὴ ἐκ φύσεως κατεστρωμένη. Ὑπεράνω δὲ ταύτης ἐπινεύει τὸ δεύτερον προειρημένον κοίλωμα, θολοειδῆ καὶ τοῦτο τὴν στέγην ἔχον, καὶ οἷον σφαίρας ἡμίτομον αὐτοφυῶς ἐγκατεσκαμμένον. Τοῦτο τὸ χωρίον ὅλον ἐπέχει ὅ,τε καθολικὸς εὐαγέστατος Ναὸς καὶ ὁ ἔξω μαρμαρόστρωτος Νάρθηξ· καὶ φαίνεται ἄρα τοῦτο τὸ μετέωρον ἐπίπεδον μετὰ τοῦ κοιλώματος ὡς ἱερὰ περιωπὴ εἰς τὸ μέσον τοῦ Σπηλαίου, θείᾳ βουλῇ, κατ' αὐτὴν ἔτι τὴν πρώτην δημιουργίαν τῆς σπηλαιώδους πέτρας προπαρεσκευασμένη, ἐφ' ἧς τὸ ἱερὸν τῆς Παντανάσσης τέμενος ἔμελλε καθιδρύεσθαι. Ἀπὸ δὲ τῶν δύω τοῦ Νάρθηκος ἄκρων ἀνερχόμεθα εἰς τὰς ἀνωτέρω προγεγραμμένας οἰκοδομὰς, αἵτινες ἀναβαίνουσι λαβυρινθώδεις περὶ τὰ γύαλα τοῦ ἀνωτάτου θόλου πλευρώματα. Ἐσχάτη δὲ, τέλος, ἀνωτάτω τοῦ Σπηλαίου κοιλότης αὐτοφυὴς ἐμβαθύνεται πρὸς τ' ἀριστερὰ τοῦ θείου Ναοῦ, γλωσσοειδὲς ἐπίπεδον ἔχουσα καὶ αὐτὴ κατεστρωμένον, καὶ ἐκ τῶν βορειοτέρων τοῦ κύτους πλευρῶν ἀκρωτηριάζον. Ἐπ' αὐτοῦ δὲ κατεσκεύασται ἡ Βιβλιοθήκη καὶ τ' ἄλλα τὰ κατ' ἐκεῖνο τὸ μέρος οἰκοδομήματα στέγην ἔχοντα τὰ πλεῖστα τὸν ἀνωτάτω θόλον τοῦ ὁλοσχεροῦς κοιλώματος. Καὶ τὰ μὲν ἐντὸς τοῦ ἱεροῦ Σπηλαίου ὡς ἔπιπαν εἰπεῖν, τοιαῦτα.

ΚΕΦΑΛΑΙΟΝ Έ.

Περὶ τῶν ἐκτὸς καὶ πέριξ τοῦ Σπηλαίου.

§. ά. Ἐξερχόμενοι δὲ πρὸς νότον ἀπὸ τῆς σιδηρᾶς τοῦ ἱεροῦ Μοναστηρίου πύλης εὑρίσκομεν τὰ πρὸς τὸν πυλῶνα λιθόστρωτα, καὶ πετρίνων καθισμάτων εὔξεστον κύκλον, ἐφ' οὗ καθέζονται τὸ πρωὶ καὶ τὸ ἑσπέρας πολλάκις ἐξιόντες οἱ γηραιοί. Ἐφεξῆς δὲ μακρὰ καὶ πλατεῖα πρὸς νότον ἐκτείνεται λιθόστρωτος αὐλὴ, φέρουσα πρὸς τὴν ἔξω, τὴν ξυλίνην, πύλην τοῦ περιβόλου, ἢ τῆς ἐξωτάτω τοῦ Μοναστηρίου περιοχῆς· καὶ τὰ μὲν πρὸς δεξιὰν τῆς αὐλῆς ἀποπερατοῦνται πρὸς τὰς ἄκρας τοῦ τοίχου τῆς περιοχῆς, ἐξεχούσης ὅσον δύω πήχεις ὑπεράνω τοῦ ἐδάφους τῆς αὐλῆς. Ὑπάρχουσι δὲ πλακόστρωτα καὶ ταῦτα τοῦ τοίχου τὰ κρήδεμνα, κατὰ μῆκος ἐκτεταμένα· ὅθεν χρησιμεύουσι καὶ ὡς καθίσματα τερπνά· σκιάζονται δὲ καὶ ὑπὸ καλῶν ἀναδενδράδων ἄνωθεν ἐπεστεγασμένων· καὶ καταντικρὺ δὲ πρὸς δυσμὰς ἔχουσι καλλίστην ἄποψιν καὶ θεωρίαν ὅλων τῶν

ὑποκειμένων καταῤῥύτων αὐλώνων, καὶ δενδροφύτων κοιλάδων καὶ ὑψωμάτων. Πρὸς ἀριστερὰν δὲ τῆς αὐλῆς κατὰ μῆκος ᾠκοδόμηται τὸ κοινὸν ξενοδοχεῖον, καὶ συνήθως λεγόμενον παλάτιον, οἴκημα μέγα, πέντε κοιτῶνας ἔχον εὐρυχώρους, καὶ αἴθουσαν, καὶ προδόμους, καὶ ἐξώστεγα καὶ κατώγαιον. Εἰς τοῦτον τὸν ξενῶνα καταλύουσιν οἱ συνεχῶς παρεπιδημοῦντες ξένοι περιηγηταὶ, καὶ παροδῖται (ὁποιασδήποτ' ἂν ὦσι θρησκείας ἢ πατρίδος), καὶ φιλοξενοῦνται δι' ὅσων ἂν μένειν ἐθέλωσιν ἡμερῶν, πάσης ἀνέσεως ἀπολαύοντες καὶ τροφῆς αὐτοί τε καὶ τὰ ὑποζύγια, ἂν ἔχωσιν. Αὐτοῦ καὶ τὸ Σχολεῖον καθίδρυται τὸ ἑλληνικὸν εἰς ἐκπαίδευσιν τῶν νεωτέρων μοναχῶν, καὶ μάλιστα τῶν εἰς ἱερωσύνην διωρισμένων. Παράκειται δὲ πλησίον τοῦ ξενοδοχείου καὶ περίστοον, ἢ περίστυλον δωμάτιον, πολλὴν παρέχον τὴν ἐκ τῆς θέας εὐφροσύνην. Μεταξὺ δὲ τοῦ ξενοδοχείου καὶ τοῦ περιστύλου διέρχεται καταῤῥέων ῥύαξ ὕδατος, ἄνωθεν ἔχων τὴν ἀρχὴν ἀπὸ τοῦ Λαδοποτάμου κοινότερον λεγομένου (α). Τούτου δὲ τοῦ Λαδοποτάμου τὸ ῥεῖθρον πάλαι ποτὲ παρὰ τῶν πατέρων συνεργείᾳ τῆς Θεοτόκου (καθὼς λέγομεν ἐν τῷ οἰκείῳ τόπῳ) ἐπωφελέστατα μετοχετευθὲν, πολὺ καὶ ἄφθονον καταῤῥεῖ, καὶ ποτίζει μὲν ἀρδεῦον λιπαρῶς τοῦ ἱεροῦ Μοναστηρίου τοὺς κήπους, στρέφει δὲ τὸν ὑδρόμυλον τὸν ἐπάνωθεν τοῦ ξενοδοχείου κείμενον (ὅστις ἀλήθει τὰς εἰς τὸ Μοναστήριον χρειώδεις ἀλεύρους), κᾀκεῖθεν μετὰ τερπνοῦ κελαρυσμοῦ κυλιόμενον πρὸς τὸ κάταντες, μέρος μὲν διασκεδάζεται περὶ τὰς ῥίζας τῆς μονοπέτρας· μέρος δὲ παρεισδύον εἰς τὰ πορώδη πλάγια τῆς κλιτύος, καὶ δι' ὑπογείων διέρπον φλεβῶν, ἀνατέλλει πάλιν ἀπέναντι τοῦ Μοναστηρίου πρὸς τὰ πέρατα τῶν κήπων, κᾀκεῖ πηγὴν καλίῤῥοον ἀποτελεῖ, ἧς τινος τὸ ὕδωρ ὠφελεῖ μάλιστα τοὺς πάσχοντας ὑπὸ δυσουρίας· καὶ τοιοῦτος μὲν ὁ ῥύαξ ὁ καλός. Ἀπὸ δὲ τοῦ ξενοδόχου παλατίου κατ' εὐθεῖαν προϊόντες, ἀνερχόμεθα ἠρέμα εἰς τόπον σύνδενδρον καὶ κατάσκιον, ὅπου τὸ παρεκκλήσιον τῶν ἁγίων Πάντων, καὶ τὸ κοιμητήριον τῶν πατέρων. Πέριξ δὲ τούτου περιτρέχει θριγκὸς χλοηφόρου τοιχίου, καὶ ἐπ' αὐτοῦ λίθινα καθίσματα, ἐφ' ὧν πολλάκις οἱ πατέρες καθήμενοι περὶ δυσμὰς ἡλίου, πρὸς ἄνεσιν καὶ ἀναψυχὴν, συγχρωτίζονται καὶ τοῖς νεκροῖς ἀδελφοῖς διὰ τῆς τοῦ θανάτου μελέτης· καὶ πρὸς τὴν σιγηρὰν μονὴν τῶν ἀταράχων καὶ τελείων τούτων ἡσυχαστῶν, ὡς εἰς λιμένα γαλήνιον, ἀποβλέποντες, τὴν αἰώνιον ἀναπολοῦσιν ἀνάπαυσιν· μνημονεύουσι δὲ καὶ τὰς ἀρετὰς καὶ διδασκαλίας τῶν προοδοιπορησάντων μακαρίων αὐτῶν προαγωνιστῶν, οἵτινες κατὰ τὴν ὀλιγοχρόνιον τοῦ βίου τούτου πορείαν ἔγκαρπον ἐν τῇ μοναδικῇ πολιτείᾳ καὶ τελείαν ἔσχον τὴν εἰς Χριστὸν ἀνάλυσιν. Κάτωθεν δὲ τοῦ τοιχίου φαίνεται ῥέων βαθὺς καὶ τηλεβόας ὁ Βουραϊκὸς ποταμὸς, καὶ πέριξ κοιλάδες χλοάζουσαι, καὶ δένδρα ὑψίκομα, καὶ οἱ κῆποι τοῦ Μοναστηρίου. Ὑπ' αὐτὸ δὲ τὸ τοιχίον πρὸς δυσμὰς τοῦ Σπηλαίου γήλοφος ὑψοῦται πλατυνόμενος πεδινὸς, ὁ λεγόμενος Πανηγυρίστρα, διότι πάλαι κατ' αὐτὸν ἐμπορικὴ συνίστατο πανήγυρις πολλῶν πολλαχόθεν συνερχομένων ἐμπόρων, οἵτινες ἐρχόμενοι εἰς προσκύνησιν τοῦ ἱεροῦ Μοναστηρίου κατὰ τὴν ιε΄. Αὐγούστου (ὁπότε καὶ ἡ μνήμη τῆς Θεοτόκου πανηγυρίζεται κατὰ τὴν

(α) Τοῦτο καὶ Ῥαδοπόταμον παρά τισι λέγεται. Συνηθέστατα δὲ καὶ ἴσως ὀρθότερον διὰ τοῦ Λ. Τὸ δὲ Λαδοπόταμον ἂν μὴ συνεφθάρη ἐκ τοῦ Λάδων ποταμὸς, μεταφερθέντος τοῦ ὀνόματος καὶ εἰς τοῦτον τὸν ποταμὸν ἐκ τοῦ κυρίου Λάδωνος (καλλίστου ποταμοῦ τῆς Ἀρκαδίας, εἰσβάλλοντος εἰς τὸν Ἀλφειόν. Παυσαν. Η. 25 καὶ Ε. 8), φαίνεται ἐξ ἅπαντος πεπλασμένον ἐκ τοῦ ἐλάδιον, διὰ τὸ λεῖον καὶ λιπαρὸν τοῦ ποταμοῦ τούτου, ὅστις ἐν τοῖς ὁμαλοῖς χωρίοις προῤῥέει γαληνὸς καὶ λεῖος ὡς ἐλάδιον. Ἔστι δὲ ἴσως ὁ Κερυνίτης τῶν παλαιῶν, ὡς λέγομεν ἐφεξῆς, Μέρ. Β. κεφ. Ζ. θαύμ. δ.

Μονὴν), ἔπειτα μετὰ τὴν ἑορτὴν καταβαίνοντες ἐκεῖ πλησίον συνεκρότουν καὶ πανήγυριν ἐμπορικήν· συνήρχοντο δὲ καὶ τῶν ἑτεροδόξων πολλοί· ἐκ δὲ τούτου συνέβαινον καὶ καταχρήσεις· καὶ ἄλλως δὲ ἄτοπον ἐφαίνετο τὸ περὶ τὰς ὠνὰς καὶ πράσεις καπηλικὸν ἐνεργούμενον, ἂν καὶ μακρὰν τῶν ἱερῶν τῆς Μονῆς περιβόλων, ἀλλ᾽ ὅμως ὑπ᾽ ὄψιν τῶν μοναχῶν· διὰ ταῦτα κατ᾽ αἴτησιν καὶ σπουδὴν τῶν σεβασμίων πατέρων ἔκπαλαι μετετέθη ἡ πανήγυρις αὕτη εἰς τὴν πόλιν τῶν Καλαβρύτων, ὅπου καὶ τὴν σήμερον συναθροίζεται. Ἐπὶ δὲ τῆς Πανηγυρίστρας ἀνάκεινται καὶ ναΐδρια δύο, τὸ μὲν ἐπ᾽ ὀνόματι τῆς παναγίας καὶ ζωαρχικῆς Τριάδος τιμώμενον, τὸ δὲ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ Μεγάλου· καὶ μετόχιον μικρὸν, ἢ μᾶλλον ἡσυχαστήριον, ἔχον δύο κελλία, καὶ πέριξ δύω κήπους καὶ ἀμπελῶνας καὶ ῥοδῶνας· παράκεινται δὲ καὶ δένδρα καρποφόρα, καρύαι, καὶ κέρασοι καὶ συκαῖ, καὶ ἀμυγδαλαῖ, καὶ μηλέαι καὶ τὰ τοιαῦτα· καὶ κυπάρισσοι δὲ ἀειθαλεῖς καὶ πίτυς καὶ κέδροι καὶ τερέβινθοι καὶ δρῦς. Ἄνωθεν δὲ πάλιν τοῦ κοιμητηρίου μικρὸν πρὸς τὸ νοτιώτερον ἀνελθοῦσιν, ἄλσος ἐλατῶν ἀναβαίνει μακρὸν (ὅθεν καὶ τὸ χωρίον λέγεται κοινότερον Σταυροέλατος)· καὶ παρ᾽ αὐτῷ Μετόχιον καὶ ἀμπελὼν, καὶ Ναὸς τοῦ Εὐαγγελισμοῦ· τοῦτον ὁ Αἰγύπτιος κατέκαυσεν, ὁπότε ματαίως ἐπεστράτευσε κατὰ τοῦ Σπηλαίου,

§. ϛ΄. Πρὸς δὲ τὸ βόρειον μέρος τοῦ ἱεροῦ Μοναστηρίου διὰ τῆς ἔξω τῆς αὐλείου πύλης ἐξερχομένων, πύργος κεῖται στεῤῥὸς καὶ παλαιὸς, καὶ πλησίον ἐκπηδᾷ ῥοχθίζων ὕδατος ὁλκὸς, ὁ συναγόμενος ἐκ τῶν ἐν τῇ κατωτάτῃ τοῦ Σπηλαίου κοιλότητι κατὰ τὸν οἰνῶνα σταλακτῶν λιβάδων (καθὼς προείπομεν). Ἀπωτέρω δὲ τούτου μεγάλη δεξαμενὴ, ἐν ᾗ βυρσεύονται τὰ δέρματα πρὸς κατασκευὴν σανδάλων καὶ ὑποδημάτων τῶν μοναχῶν. Ἀσκοῦσι δὲ καὶ τὴν σκυτοτομικὴν ἐν τῷ Μοναστηρίῳ, καὶ ῥαπτικὴν δὲ προσέτι καὶ χαλκευτικὴν καὶ σχοινοποιΐαν, καὶ σάκκων ἢ κιλικίων ὑφαντικὴν, καὶ εἴ τις ἄλλη τέχνη παρέχει τὰ πρὸς τὰς ἀναγκαίας χρείας τῆς Μονῆς καὶ τῶν πατέρων· καὶ πολλοὶ τούτων εὐχαρίστως ἐν αὐταῖς κοπιῶσιν « ἐργαζόμενοι ταῖς ἰδίαις χερσί ». Μικρὸν δ᾽ ἀπωτέρω τῆς δεξαμενῆς ἀναβλύζει πηγὴ, κάλλιστον ὕδωρ, ὀλίγον ὅμως· διὸ καὶ ταμιεύουσι τοῦτο, κεκλεισμένον κατέχοντες τὸ ἔλυτρον, ὅπως συναγόμενον τὸ ὕδωρ ἐπαρκῇ πρὸς ὑπηρεσίαν τῶν ἱπποκόμων, καὶ τῶν ἄλλων τῶν ἐκεῖ πέριξ τὰς διατριβὰς ἐχόντων ὑπηρετῶν. Πλησίον δὲ τῆς πηγῆς παλαιὰ πλάτανος ἀμφιλαφής· καὶ περαιτέρω, μέγας χορτών· καὶ ἐπέκεινα, τὸ χειμερινὸν ἱπποστάσιον (τὸ κοινῶς, σταῦλος), ὑπὲρ τὰ τεσσαράκοντα ζῶα χωροῦν· ἡ δὲ στέγη, θόλος κυλινδρωτός· τούτου δὲ σύνεγγυς καὶ οἴκημα τῶν ἱπποκόμων διπλοῦν τετοιχισμένον, τὰ μὲν ἔμπροσθεν ἔχον εὐάερα καὶ ψυχεινὰ διὰ τὸ θέρος, τὰ δ᾽ ἔσωθεν ἀλεεινὰ καὶ θερμότερα διὰ τὸν χειμῶνα· ἀπέναντι δὲ τούτου πρὸς ἀνατολὰς κεῖται σταῦλος ἄλλος καλοκαιρινός· ἐπέκεινα δὲ τούτου, χαλκεῖον, ὅπου κατασκευάζονται τὰ πρὸς ὑπηρεσίαν τοῦ Μοναστηρίου χρειώδη χαλκώματα καὶ σιδηρικά· καὶ ὕπερθεν τούτου καταγώγια δύω πρὸς κατοικίαν τῶν ἐργατῶν· τὸ μὲν, χειμέριον· τὸ δὲ, θερινόν. Διὰ τοῦ τελευταίου τούτου διέρχεται καὶ δίοδος εἰς Ἐκκλησίαν φέρουσα, τὴν ἐπ᾽ ὀνόματι τοῦ ἁγίου Νικολάου, τοῦ Μύρων τῆς Λυκίας Ἐπισκόπου, τιμωμένην· κεῖται δὲ αὕτη σύνεγγυς, αὐτόκτιστον ἔχουσα τὸ ἥμισυ τὸ πρὸς ἀνατολὰς, ἐντὸς μικροῦ τινος σπηλαίου. Ἀπέναντι δὲ τοῦ παρεκκλησίου τούτου, στάδιον ἓν περίπου μεθ᾽ ἡμίσεως ἄνω πρὸς βοῤῥᾶν ἀνερχομένοις, κεῖται σπήλαιον ἄλλο, μικρὸν ἄντρον καὶ τοῦτο, αὐτόγλυφον, καὶ Ναὸς ἅγιος ἐν αὐτῷ τιμώμενος ἐπ᾽ ὀνόματι τοῦ ἁγίου ἐνδόξου καὶ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου. Ἀσκητήριον δὲ τὸ σπήλαιον τοῦτο λέγει παλαιὰ παράδοσις, ἐν ᾧ τὴν ἀρετὴν ἠσκοῦντο πατέρες ἀρχαῖοι, φιλέρημοι καὶ ἡσυχασταί· τοῦτο δὲ κηρύττει καὶ τὸ χωρίον αὐτὸ πανέρημον ὄν. Τραχεῖα πρὸς τοῦτο

φέρει καὶ δύσβατος ἄνοδος, εἰκών τις οὖσα καὶ ὑπογραμμὸς τῆ Εὐαγγελικῆς ἐκείνης ὁδοῦ, « τῆς στενῆς καὶ τεθλιμμένης ». Ὅταν οὖν φθάσῃς εἰς τοὺς πρόποδας τῆς σπηλαίας, κλίμακας εὑρίσκεις ἀλλεπαλλήλους τέσσαρας, δι' ὧν ἀναβαίνουσιν εἰς τὴν Ἐκκλησίαν· καὶ αἱ μὲν πρῶται τρεῖς ἀπό τε ξύλων καὶ σανίδων ἐτεκτονήθησαν. ἡ δὲ τετάρτη κατεσκάφη λαξευτὴ κατ' αὐτὴν τὴν πέτραν τοῦ σπηλαίου· καὶ ἔχουσιν ἡ μὲν πρώτη κλίμαξ βαθμίδας δεκαπέντε, ἡ δὲ δευτέρα δεκατρεῖς, καὶ ἡ τρίτη ὀκτὼ, ἡ δὲ, τέλος, τετάρτη καὶ κορυφαία βαθμίδας ἔχει λαξευτὰς εἰκοσιπέντε· πᾶσαι βαθμίδες ἑξήκοντα καὶ μία· καὶ τοιαύτη μὲν ἡ ἄνοδος φρίκην εἰς τοὺς ἀσυνειθίστους ἐμποιοῦσα καὶ κίνδυνον διὰ τὸ ἄποπτον ὕψος, ἰλιγγιώντων τῶν ἀναβαινόντων, ὅταν ἐπιβλέπωσι πρὸς τὰ κάτω πανταχόθεν ἀπόκρημνα βάραθρα. Ἡ δὲ Ἐκκλησία παλαιὰ καὶ τετράγωνος, ὀργυιὰς δύο καὶ ἡμίσειαν κατὰ μῆκος καὶ πλάτος ἔχουσα. Ὅλου δὲ τοῦ ἄντρου τὸ μῆκος μὲν ὀργυιαὶ εἰκοσιμία καὶ ἡμίσεια, τὸ δὲ πλάτος δύο καὶ ἡμίσεια· ἔχει δὲ καὶ ὕδωρ ὀλίγον ὑποκάτωθεν τῆς ἁγίας Προσκομιδῆς ἀνυγράζον, πρὸς ζωάρκειαν ἀνθρώπων εὐαρίθμων μόλις ἀρκοῦν· καὶ τοῦτο κατὰ θείαν, οἶμαι, κηδεμονίαν ἀναβλύσαν διὰ τοὺς ἐν αὐτῷ τότε ἀσκουμένους ἁγίους ἐκείνους ἡσυχαστάς.

§. γ'. Κάτω δὲ κατὰ κάθετον εἰς τοὺς πρόποδας ταύτης τῆς σπηλαίας ἔστι καὶ ἄλλη σπηλαία παρομοίως αὐτοφυὴς, πέντε περίπου ὀργυιὰς ἐμβαθυνομένη. Ἐν ταύτῃ κατῴκουν κατὰ τὴν προλαβοῦσαν ἑλληνικὴν ἐπανάστασιν πρόσφυγες πολλοὶ (μηκέτι τοῦ Μοναστηρίου χωροῦντος διὰ τὸ πλῆθος τῶν συῤῥυέντων)· καὶ κανόνιον εἶχον τηλεβόλον, δι' οὗ ἐκανονοβόλησαν εὐθαρσῶς τὸ παρὰ τὰς ὄχθας τοῦ Βουραϊκοῦ πλησιάσαν πολυάριθμον τοῦ Ἰβραΐμου ἱππικὸν, ὁπότ' ἐπῆλθεν ὁ βάρβαρος οὗτος πειρώμενος τὸ ἱερὸν Σπήλαιον ἐξ ἐφόδου λαβεῖν (ὡς λέγομεν ἐφεξῆς).

§. δ'. Ἀπέναντι δὲ πάλιν τοῦ προειρημένου μετεώρου σπηλαίου καὶ τοῦ κατ' αὐτὸ Ναοῦ τοῦ Εὐαγγελιστοῦ, δύω στάδια περίπου πρὸς νότον ἀπιοῦσι, παρ' αὐτὴν τὴν κορυφὴν τοῦ μεγάλου Σπηλαίου καὶ κατ' εὐθεῖαν ἐπάνω τοῦ ἱεροῦ Μοναστηρίου ᾠκοδόμηται καὶ ἕτερον παρεκκλήσιον τιμώμενον ἐπ' ὀνόματι τῆς ἐνδόξου Ἀναλήψεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· κύκλῳ δὲ τοῦτο περιβάλλει τεῖχος καὶ πύργος ὀχυρὸς, κτισθεὶς ὑπὸ τῶν πατέρων κατὰ τὰ μέσα τῆς ἑλληνικῆς ἐπαναστάσεως· καλὸν δὲ καὶ χρήσιμον τὸ φρούριον διὰ τὸ περίοπτον· ὀχυρῶς δὲ καὶ τὴν ἐκ τοῦ στομίου προέχουσαν στέγην τῶν οἰκοδομῶν προφυλάττει, ἄνωθεν ἐφεδρεῦον καὶ μακρὰν ἀπεῖργον, ἄν τις τῶν πολεμίων ἢ λίθους, ἢ καύσιμον ὕλην συμφορήσας κατακυλίῃ πρὸς βλάβην τῶν οἰκοδομῶν (α). Ἀπωτέρω δὲ καὶ ἕτερος πύργος, καὶ ὀχυρὸν κανονοστάσιον, ἓν καὶ μόνον ἔχον κανόνιον. Ἐτηλεβόλησαν δὲ καὶ δι' αὐτοῦ οἱ πολεμισταὶ τὸν ἀναβάντα πεζὸν τοῦ Ἰβραΐμου στρατὸν (καθὼς καὶ τοὺς ἱππεῖς αὐτοῦ διὰ τοῦ προῤῥηθέντος τῆς κάτω σπηλαίας τηλεβόλου). Κατεβρόντησε δὲ τὸν Αἰγύπτιον Κεφρῆνα, καὶ ἑκατέρωθεν ἀπεδίωξε κατησχυμένον αὐτὴ ἡ παγκρατὴς τοῦ Μεγάλου Σπηλαίου Προστάτις καὶ Δέσποινα, καθὼς λέγομεν πλατύτερον

(α) Εἰς τὸν ἐν τῷ πύργῳ τούτῳ ναὸν ἐπιγέγραπται τὸ ἐφεξῆς τετράστιχον ἐπίγραμμα·

« Τόν δε καθιδρύσαντο Θεῷ περικαλλέα νηὸν,
Αἰγυπτίων ὁλοὸν σμῆνος ἀπωσάμενοι
Οἰόβιοι μεγάλου Σπηλαίου· καμμονίην δὲ
Αὐτὴ Σπηλαῖτις παμβασίλεια δίδου. »

ἐν τῷ οἰκείῳ τόπῳ (α). Καὶ τοιαῦτα μὲν ὑπάρχουσι τὰ ἐκτὸς τοῦ ἱεροῦ Σπηλαίου καὶ τῆς κατ' αὐτὸ περιοχῆς.

§. ἑ. Αὐτῆς δὲ, τέλος, τῆς περιοχῆς ὁ ἐξώτατος περίβολος τεῖχος ὑπάρχει μακρὸν εὐθὺς ἀπὸ τῆς σιδηρᾶς πύλης ἀρχόμενον, καὶ περικλεῖον μάλιστα τὰ πρὸς δυσμὰς καὶ τὰ βορειότερα τοῦ ἱεροῦ Σπηλαίου· τὰ δὲ πρὸς νότον καὶ πρὸς ἀνατολὰς αὐτὴ περιβέβληκεν ἡ μονόπετρα, αὐτοφυῶς ὠχυρωμένη. Ἔχει δὲ τὸ τεῖχος πύλας ὅλας τρεῖς, δύω μὲν, τὰς νεωτέρας, καὶ τρίτην τὴν ἀφ' ἧς ἄρχεται (καθὼς εἴπομεν), μᾶλλον δὲ πρώτην καὶ κυρίαν, αὐτὴν δηλονότι τὴν σιδηρᾶν, ἥτις ἔκπαλαι πρὸς τὸ νότιον σκέλος τοῦ στομίου κατεσκευάσθη πρὸς νότον ἄνεμον βλέπουσα (βλ. κεφ. β. §. β.)· δι' αὐτῆς εἰσέρχονται εἰς τὴν Μονὴν καὶ οἱ εὐλαβεῖς προσκυνηταί. Ὑπεράνω τῆς μεγάλης ταύτης πύλης εἰς κοίλωμα τετράπλευρον ἐγγέγραπται καλλίστη εἰκὼν ἡ ἐφεξῆς. Ἐν τῷ μέσῳ κάθηται ἐπὶ θρόνου ἡ παντάνασσα Θεοτόκος, φέρουσα τὸν μονογενῆ αὐτῆς υἱὸν καὶ Θεὸν ἐν ἀγκάλῃ τῇ δεξιᾷ· γύρωθεν δὲ παρίστανται δώδεκα προφῆται εἰς ἀλλεπάλληλα κυκλοτερῆ διαγράμματα ἀνιστορημένοι, οἱ ἐφεξῆς· δεξιόθεν μὲν ἄνω πάντων ὁ Δαβίδ, εἶτα Μιχαίας, Ἱερεμίας, Γεδεὼν (διὰ τὸν πόκον), Ἡσαΐας, καὶ (κάτω πρὸς τὴν εἴσοδον τῆς πύλης) Μωϋσῆς ὁ θεόπτης· ἐξ ἀριστερῶν δὲ Σολομὼν, Ἀγγαῖος, Δανιὴλ, Ἰεζεκιὴλ, Ἀββακοὺμ, καὶ ἔσχατος Ἀαρὼν ὁ ἀρχιερεὺς, ἀντικρὺ τοῦ Μωϋσέως. Ἕκαστος τῶν προφητῶν φέρει βιβλίου εἰλητάριον, καὶ ἐν αὐτῷ τὴν εἰς τὴν Θεοτόκον προφητείαν αὐτοῦ· κατακόρυφα δὲ πάντων τῶν προφητῶν καὶ τῆς εἰκόνος κάθηται ἐπὶ θρόνου ὁ Ἰησοῦς Χριστός. Ἔξω δὲ πάλιν τῶν κυκλοτερῶν διαγραμμάτων ἐν οἷς οἱ προφῆται, καὶ παρ' αὐτὰς τὰς ἑκατέρωθεν ἄκρας τοῦ τετραπλεύρου, παρίστανται δεξιόθεν μὲν ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος, καὶ ἀνωτέρω, ὁ ἀρχάγγελος Μιχαήλ· ἀριστερόθεν δὲ Παῦλος ὁ Ἀπόστολος, καὶ ἀνωτέρω, ὁ ἀρχάγγελος Γαβριήλ. Πρὸς δὲ τὰς ἄνω γωνίας τοῦ τετραπλεύρου καθιστόρηται ἡ Ἐδὲμ, καὶ τὸ ξύλον τῆς γνώσεως· καὶ ἄγγελος ἐν φλογίνῃ ῥομφαίᾳ διώκων ἔξω τῆς πύλης τοῦ παραδείσου τοὺς προπάτορας τοὺς παραπεσόντας! Τοιαύτη τις συντόμως ἡ εἰκών· ἔχει δὲ καὶ ἐπιγραφὴν ἐπὶ τῆς βάσεως τὴν ἐφεξῆς· « Δαπάνῃ τοῦ πανοσιωτάτου προηγουμένου κυρίου Γερμανοῦ τοῦ Περλέγκα, εἰς μνήμην αὐτοῦ καὶ τῆς ψυχῆς σωτηρίαν. — Ἐπὶ τῆς ἡγουμενείας τοῦ κυρίου Ἱεροθέου » (τῷ ͵αωλθ'). Ἔξω δὲ τοῦ τετραπλεύρου ἐμβαδοῦ τῆς εἰκόνος κεῖται μάρμαρον τετράγωνον φέρον καὶ ἄλλην παλαιὰν ἐπιγραφὴν, ἣν σημειοῦμεν ἐν τῷ ἐφεξῆς κεφαλαίῳ §. γ'. Καὶ ταῦτα μὲν ἐπὶ τῆς πύλης τῆς σιδηρᾶς. Τὰς δὲ λοιπὰς δύω πύλας ἔχει τὸ τεῖχος ἀμφοτέρας, πρὸς δυσμὰς ἀφορώσας, σιδήρου καὶ ταύτας ἐλάσμασιν ἁδροῖς πεπυκασμένας καὶ τεθωρακισμένας κατὰ τὴν ἐπιφάνειαν· ἄγουσι δὲ καὶ αὗται διὰ τοῦ στομίου εἰς τὰ ἔσω τοῦ Σπηλαίου· καὶ ἡ μὲν κατὰ τὸ μέσον τῆς περιοχῆς ἠνεῳγμένη ὑπηρετεῖ μάλιστα τὰ πρὸς τὴν χρείαν τῆς κατὰ τὸν ἔσχατον τοῦ Σπηλαίου πυθμένα κατεσκευασμένης οἰνοθήκης (καθὼς προείπομεν)· ἡ δὲ, κατωτέρω παρὰ τὸν παλαιὸν λεγόμενον ἠνέῳκται Πύργον εἰς ἄλλας χρείας ὑπηρετοῦσα. Ἐξέχουσι δὲ καὶ αἱ δύω αὗται πύλαι ὑψηλότεραι τοῦ ἐδάφους, ἔχουσαι καὶ κλίμακας ἐκ πέτρας πεποιημένας, δι' ὧν ἀναβαίνουσι καὶ καταβαίνουσιν οἱ ἐξιόντες.

§. ς'. Καὶ τὸ μὲν Μέγα καὶ θεόκτιστον Σπήλαιον μετὰ τῆς ἐν αὐτῷ ἱερᾶς Μονῆς καὶ τὰ κατ' αὐτὴν, τοιαῦτα· Ἤδη δὲ λέγομεν καὶ τὰ περὶ τῶν μακαρίων αὐτῆς κτιτόρων.

(α) Βλ. Μέρ. Β. κεφ. Ζ, θαῦμ. θ.

ΚΕΦΑΛΑΙΟΝ ς΄.

Περὶ τῶν ἀοιδίμων κτιτόρων τῆς Μονῆς.

§. ά. Πρῶτοι δομήτορες τοῦ ἱεροῦ Μοναστηρίου γεγόνασι κυρίως αὐτοὶ οἱ ὅσιοι πατέρες ἡμῶν Συμεὼν καὶ Θεόδωρος, οἱ μετὰ τῆς ἁγίας Εὐφροσύνης εὑρόντες τὴν ὑπερευλογημένην εἰκόνα τῆς Θεοτόκου, καθὼς ἐν τῇ τούτων βιογραφίᾳ καθεξῆς ἱστοροῦμεν.

Μικρὸν ναΐδιον ᾠκοδόμησαν πρῶτον οἱ τρισμάκαρες ἐκεῖνοι πατέρες (ὡς τὸ τοῦ Ἡσαΐου ὑπόμνημα δηλοῖ), αὐτὸ δηλαδὴ τὸ σήμερον ἐπωνυμούμενον παρεκκλήσιον τῆς ἁγίας Εὐφροσύνης, καθὼς προείπομεν (κεφ. δ. §. κ. βλ. καὶ Μερ. Β. κεφ. ε. §. ζ.), καὶ ὀλίγοι τὸ πρῶτον ἦσαν οἱ τῶν πατέρων θιασῶται καὶ ἡσυχασταί, μικρῶν τινων κελλίων ἔνδον ἐνασκούμενοι ἐν τῷ Σπηλαίῳ τῷ ἁγίῳ. Μετὰ ταῦτα πληθυνόντων τῶν μαθητῶν, καὶ τοῦ κατ' ἀρχὰς ἡσυχαστηρίου λαμβάνοντος ἤδη μορφὴν εὐανδροῦντος μοναστηρίου, μείζων κατεσκευάσθη Ναός, ὅπου καὶ τὸ σήμερον Καθολικόν· ἀλλὰ τίς ὁ πρῶτος τοῦ μεγάλου τούτου Ναοῦ καθιδρυτὴς καὶ συνίστωρ; ἄδηλον. Εἰκάζεται δὲ πιθανώτατα, ὅτι τὸ πρῶτον ἐκτίσθη ὑπ' αὐτῶν τῶν ἐνασκουμένων ἐν τῷ μοναστηρίῳ πατέρων, οἵτινες ἐπὶ μᾶλλον πληθυνόμενοι, χρείαν εἶχον καὶ Ἐκκλησίας εὐρυχωροτέρας, μετέπειτα δὲ καὶ ὑπὸ τῶν Αὐτοκρατόρων κατὰ καιροὺς ἀνεκαινίσθη. Τὸ ῥηθὲν τοῦ Ἡσαΐου ὑπόμνημα, τὸ ἐκ τοῦ πρωτοτύπου συγγράμματος τῆς τῶν ἁγίων βιογραφίας συνοψισθέν, ἁπλῶς ἀναφέρει τὸν μέγαν τοῦτον Ναὸν ὑπάρχοντα τότε κατ' αὐτοὺς (τῷ ‚ζιη. ἤτοι τῷ 1510 μ. Χ.)· λέγει δὲ ταῦτα ἐπὶ λέξεως τὸ ὑπόμνημα (κατὰ τὴν χυδαιολεκτικὴν μετάφρασιν). « Τὸ δὲ σχῆμα τοῦ Μοναστηρίου εἶναι τοιοῦτον. Ὁ μὲν Ναὸς εἶναι σύμμετρος καὶ καλώτατος· δὲν εἶναι ὅμως εἰς τὸ μέσον τοῦ Σπηλαίου· ἀλλὰ πλέον σιμὰ εἰς τὸ νότιον μέρος, ἐκεῖ ὅπου εὑρέθη καὶ ἡ ἁγία εἰκών, καὶ ἔχει καὶ πρόναον, τὸν ἁπλῶς λεγόμενον Νάρθηκα, ἰσόμετρον τοῦ Ναοῦ· καὶ εἰς μὲν τὸ ἀριστερὸν μέρος εἶναι τὸ κοιμητήριον κατὰ τὴν τάξιν τοῦ Ναοῦ· εἰς δὲ τὸ δεξιὸν μέρος, ἐκεῖ ὅπου πρῶτα ἦτον καμωμένον καὶ τὸ καλύβιον τῆς ὁσίας, εἶναι ἕτερος ναὸς μικρὸς μὲ δύω βήματα κτλ. ».

§. β΄. Τοιοῦτον διαγράφουσιν τὸν ναὸν οἱ περὶ τὸν Ἡσαΐαν τῷ 1510 μ. Χ. Καὶ οὗτος λοιπὸν ὁ κατὰ τοὺς Ἡσαΐου χρόνους σωζόμενος ὑπῆρχεν αὐτὸς ἐκεῖνος, ὃν ὁ ἀοίδιμος Αὐτοκράτωρ Ἀνδρόνικος ὁ Γέρων (ἐν ἔτει ‚ςφηγ΄, τῷ 1285 μ. Χ.) ἐκ βάθρων ἀνῳκοδόμησεν, ἢ ἀνεκαίνισε, λαμπρότερον ἀνεγείρας, καὶ διὰ χρυσοβούλλου λόγου τιμήσας βασιλικῶς (διότι ὁ μεταξὺ τούτου καὶ τῶν Ἡσαΐου χρόνων περὶ τὸ 1400 γενόμενος ἐμπρησμὸς ὀλίγον, ἢ οὐδόλως ἔβλαψε τὸν ναὸν αὐτόν, ὡς λέγομεν ἐφεξῆς) (α). Ὅτι δὲ καὶ πρότερον καὶ ὕστερον τοῦ Ἀνδρονίκου καὶ ἄλλοι τῶν εὐσεβῶν αὐτοκρατόρων καὶ διὰ χρυσοβούλλων ἐτίμησαν, καὶ βασιλικοῖς ἐπροίκισαν ἀφιερώμασι τὴν ἱερὰν τοῦ Μεγασπηλαίου Μονὴν φαίνονται ἐκ τῶν ἐφεξῆς. Σώζεται τὴν σήμερον ἐν τῷ Μοναστηρίῳ χρυσόβουλλον τοῦ ἀοιδίμου Αὐτοκράτορος Ἰωάννου τοῦ Κατακουζηνοῦ ἐν ἔτει ‚ςωνς΄ (τῷ 1348 μ. Χ.), ὅπερ καὶ τύποις ἐκδίδομεν ἐφεξῆς ἐν τῷ παρόντι πονήματι. Ἐν τούτῳ γοῦν τῷ χρυσο-

(α) Ἐπὶ τούτου τοῦ Αὐτοκράτορος, Ἀνδρονίκου τοῦ γέροντος βασιλεύοντος, συνετέθησαν καὶ οἱ δύω εἰς τοὺς ὁσίους πατέρας (Συμεὼν καὶ Θεόδωρον) κανόνες· ἐν οἷς μνημονεύεται τοῦ Ἀνδρονίκου τ' ὄνομα ὡς ζῶντος (ᾠδ. η. βλ. ἐφεξῆς Μέρ. γ. τὴν Ἀκολουθ. τῶν Πατέρ.)

Σελ. 30.


οι κτίτορες του ἱερού Μοναστηρίου.
ὁ Αὐτ. Ἰωάν. ὁ Κατ.
ὁ Αὐτ. Ἀνδρόνικος
ὁ Γέρων.
ὁ Αὐτ. Ἀνδρον. ὁ Νέος.

βούλλῳ μνημονεύονται καὶ ἄλλα δύω χρυσόβουλλα· τὸ μὲν, τοῦ ἀοιδίμου πάππου αὐτοῦ καὶ βασιλέως (οὗτος δὲ ἦν ὁ προειρημένος Αὐτοκράτωρ Ἀνδρόνικος ὁ Γέρων), ἕτερον δὲ, τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ δεσπότου καὶ βασιλέως (οὗτος δὲ ἦν ἴσως ὁ Αὐτοκράτωρ Ἀνδρόνικος ὁ νεώτερος). Ἀλλὰ τὰ δύω ταῦτα τὰ μνημονευόμενα χρυσόβουλλα οὐχ εὑρίσκονται πλέον ἐν τῇ Μονῇ (λέγομεν δὲ περὶ τούτων ἰδίως ἐν τοῖς ἐφεξῆς). Ἀλλ' οὐδὲ τῶν Ἀνδρονίκου προγενεστέρων Αὐτοκρατόρων χρυσόβουλλα σώζονται· διότι ταῦτα πάντα, καθὼς καὶ τῶν ἀρχαίων Πατριαρχῶν τὰ σιγίλλια γράμματα κατέφαγεν ὁ κατὰ τὸ 1640 γενόμενος ἐμπρησμὸς, ὁπότε καὶ ὁ Ναὸς καὶ τὸ σκευοφυλάκιον καὶ ὅλον τὸ Μοναστήριον ἀπετεφρώθη, ὡς λέγομεν παρακατιόντες. Ὅτι δὲ ἦσαν καὶ πρὸ τοῦ Ἀνδρονίκου καὶ χρυσόβουλλα καὶ σιγίλλια πατριαρχικὰ φαίνεται λαμπρῶς ἐκ τοῦ κατὰ τὸ 1641 (δύω περίπου χρόνους μετὰ τὸν ἐμπρησμὸν) ἐκδοθέντος σιγιλλίου τοῦ Πατριάρχου Παρθενίου, ὅπου μνημονεύεται ῥητῶς « ἡ τῶν παλαιγενῶν γραμμάτων χρυσοβούλλων τε καὶ πατριαρχικῶν σιγιλλίων ὑπὸ τοῦ ἐμπρησμοῦ ἀνάλωσις καὶ διαφθορά ». (ἐκδίδομεν δὲ ἐν τῷ παρόντι καὶ τοῦτο τὸ τοῦ Παρθενίου μετὰ καὶ τῶν ἄλλων νεωτέρων Πατριαρχικῶν σιγιλλίων). Τότε δὲ ἐπὶ τοῦ ἀοιδίμου Παρθενίου πατριαρχεύοντος ἐσῴζοντο αὐτό τε τοῦ Ἰωάννου τὸ χρυσόβουλλον, καὶ τὰ ἐν αὐτῷ μνημονευόμενα τῶν δύω τούτου προκατόχων Αὐτοκρατόρων. Πῶς δὲ ταῦτα διεσώθησαν ἐκ τῆς πυρκαϊᾶς; πάντως κατὰ νεῦσιν θείας χάριτος. Ἠνώχλουν τότε τὸ Μοναστήριον πλεονέκται σφετεριζόμενοι κτῆμα τῆς Μονῆς μνημονευόμενον ἐν τοῖς χρυσοβούλλοις τούτοις· ὅθεν οἱ μονάζοντες λαβόντες τὰ γράμματα παρέστησαν εἰς τὸ κριτήριον πρὸς ἀπόδειξιν τῶν δικαίων τῆς Μονῆς. Ἐν δὲ τούτῳ τῷ μεταξὺ συνέβη ὁ ἐμπρησμὸς, καὶ τὰ τρία χρυσόβουλλα διεσώθησαν ἔξω τυχόντα τοῦ παμφάγου πυρός· ἀλλὰ τὰ δύω τούτων ἔμελλον εἰς ἄλλο δεινότερον ἐμπεσεῖν, διὸ καὶ ἠφανίσθησαν (τοὐλάχιστον μέχρι σήμερον). Κατὰ τὸ 1693 κατέσχον πάλιν τὴν Πάτραν μετὰ τῆς Ἀχαΐας καὶ τὴν Ναυπλίαν οἱ Ἐνετοὶ πολέμῳ λαβόντες ἀπὸ τῶν προκατασχόντων Τούρκων. Τότε καὶ οἱ Μεγασπηλαιῶται προσῆλθον πρὸς τὸν ἐν τῇ Πάτρᾳ καθεδρεύοντα δυνάστην τῆς Ἀχαΐας τὸν Ἐνετὸν παριστῶντες τῶν Μοναστηριακῶν κτημάτων τὰς ἀποδείξεις, αὐτὰ τὰ χρυσόβουλλα. Ἐκεῖνος δὲ συνεβούλευσεν αὐτοῖς ἵνα καὶ παρὰ τῆς Ἐνετῶν ἐξουσίας λάβωσι νεώτερα χρυσόβουλλα τῶν παλαιῶν κυρωτικά· καὶ οἱ πατέρες ἔμελλον. Καὶ τέλος, κατὰ τὸ αψιγ' ἀπέστειλαν εἰς Ἐνετίαν τὸν ἀπὸ Μυρέων Ζαχχαῖον φέροντα τὰ χρυσόβουλλα τῶν Αὐτοκρατόρων· καὶ παρέδωκεν αὐτὰ εἰς τὸν Γραμματέα τῆς Ἐπικρατείας ὁ Ζαχχαῖος ζητῶν τὴν ἐπικύρωσιν· κἀκεῖνοι ὑπέσχοντο· ἀλλ' ὁ χρόνος παρήρχετο, καὶ ἡ ὑπόσχεσις ἔμενεν ἀτέλεστος· διότι οἱ Ἐνετοὶ πάντοτε τὸν πόλεμον τῶν Τούρκων βλέποντες κραταιὸν, καὶ τὴν ἧτταν ἑαυτῶν ἄδραστον καὶ σχεδὸν βεβαίαν ὑποπτεύοντες, ὀλίγον ἐφρόντιζον περὶ τῶν τότε ὑπηκόων αὐτῶν, τῶν Πελοποννησίων, ὡς προσκαίρους καὶ παροδικοὺς ἑαυτοὺς θεωροῦντες. Ἤδη δὲ περὶ τὰ τέλη τοῦ αψιδ' ἐκραγέντος λαμπρῶς τοῦ πολέμου τῶν Τούρκων τοῦ πρὸς τοὺς Ἐνετοὺς, φοβηθεὶς ὁ Ζαχχαῖος μήπως πάλιν οἱ Τοῦρκοι κυριεύσωσι τὴν Πελοπόννησον, καὶ νομίσας ἀναγκαίαν εἰς τὸ Μοναστήριον τὴν ἑαυτοῦ παρουσίαν, σπεύσας τάχιον κατῆλθε, καταλιπὼν εἰς τὴν Γραμματείαν τῶν Ἐνετῶν τὰ χρυσόβουλλα. Καὶ ἑάλω ὑπὸ τῶν Τούρκων ἡ Πελοπόννησος· καὶ ἔφυγον οἱ Ἐνετοὶ τῷ αψιέ. Ἀφ' οὗ δὲ τὰ πράγματα κατεστάθησαν, ἀπήτουν οἱ Μοναχοὶ διὰ γραμμάτων τ' ἀρχαῖα χρυσόβουλλα τοῦ Μεγασπηλαίου σχετλιάζοντες καὶ παρακαλοῦντες, ἀλλ' ὁ εἰσακούων οὐδείς. Ὁ δὲ Ζαχχαῖος ὁ ἀπὸ Μυρέων ἐτελεύτησεν ἐν τῷ μεταξύ. Παρεκάλουν λοιπὸν οἱ Πατέρες τοὺς ἐν Ἐνετίᾳ ὁμογενεῖς ἵνα διενεργήσωσι τὴν ἀνάληψιν τῶν χρυσοβούλλων· καὶ

μόλις κατὰ τὸ αψκδ' μετὰ μυρίας δεήσεις καὶ χρόνους ὅλους ἐννέα μετὰ τὴν ἐκ τῆς Πελοποννήσου φυγὴν τῶν Ἑνετῶν ἀπεδόθη πρός τινα τῶν ἐκεῖ ὁμογενῶν μόνον τὸ νῦν σωζόμενον χρυσόβουλλον τοῦ Αὐτοκράτορος Ἰωάννου (καὶ τοῦτο χωρὶς τῆς συνήθως ἐν τοῖς χρυσοβούλλοις λόγοις προσηρτημένης χρυσῆς σφραγῖδος τοῦ Αὐτοκράτορος!)· τὰ δ' ἐν αὐτῷ μνημονευόμενα ἀρχαιότερα (τοῦ τε Ἀνδρονίκου τοῦ Γέροντος καὶ τὸ τοῦ νεωτέρου) κατεκρατήθησαν, ἴσως ὡς ἱστορικὰ καὶ ἀρχαιολογικὰ κοσμήματα ἢ λάφυρα ἀναίμακτα (ὁποῖα καὶ ἄλλα πολλὰ ἥρπασαν ἐκ τῆς Ἑλλάδος οἱ Ἑνετοὶ, μὴ φοβούμενοι Νέμεσιν παρὰ πόδας αὐτοῖς ἐπακολουθοῦσαν) πρὸς κόσμον τῶν Ἑνετικῶν Ἀρχείων· (καὶ ἴσως ἐκεῖ σώζονται μέχρι καὶ τῆς σήμερον). Δηλοῖ δὲ ταῦτα πάντα ἔγγραφον σημείωμα τῶν πατέρων σωζόμενον ἐν τοῖς ὑπομνήμασι τοῦ ἱεροῦ Μοναστηρίου.

§. γ'. Ὅσον λοιπὸν ἐκ τῶν εἰρημένων χρυσοβούλλων καταφαίνεται, πρῶτος ἐκ τῶν Αὐτοκρατόρων συνίστωρ ἢ ἀνακαινιστὴς τοῦ θείου Ναοῦ καὶ τοῦ Μοναστηρίου προικοδότης φαίνεται ὁ ἀοίδιμος Ἀνδρόνικος ὁ Γέρων, καὶ μετὰ τοῦτον Ἰωάννης ὁ Κατακουζηνός· ἀρχαιότερα δὲ τῶν εὐσεβεστάτων Αὐτοκρατόρων περὶ τὴν Μονὴν τον Σπηλαίου φιλοτιμήματα καὶ χρυσόβουλλοι λόγοι, εἴτινες καὶ ἦσαν, καὶ τίνων, οὐκ ἔχομεν λέγειν, ἀπολεσθέντων τῶν κειμηλίων τῆς Μονῆς ἐν τῷ μεγίστῳ ἐμπρησμῷ τοῦ ἱεροῦ Μοναστηρίου. Συνέβη δὲ οὗτος τῷ 1640 καθὼς δηλοῦσι τὰ ὑπομνήματα, καὶ ἡ ἐπάνω τῆς ἀπὸ τοῦ Νάρθηκος μεγάλης πύλης τοῦ Ναοῦ ἔσωθεν σωζομένη καὶ τὴν σήμερον ἐπιγραφή. Ἔχει δὲ αὕτη οὕτω. « Ἐν ἔτει αχμ' (1640) ἐγένετο ἐμπρησμὸς, Θεοῦ παραχωρήσει, ἐν τῇ παρούσῃ σεβασμίᾳ καὶ βασιλικῇ μονῇ τοῦ θείου και ἱεροῦ Σπηλαίου, καὶ ἠφανίσθη ἅπασα ὑπὸ τοῦ πυρὸς, σωθείσης μόνης τῆς σεβασμίας εἰκόνος τῆς Ὑπεραγίας Θεοτόκου, τῆς ἱστορηθείσης ὑπὸ τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ. Τὸ δὲ αχμά (1641) ἔτος ἀνηγέρθη ἐκ βάθρων, καὶ ᾠκοδομήθη ἐξ ἰδίων ἀναλωμάτων, ἡγουμενεύοντος τοῦ κυρίου Συμεών. Τὰ δὲ νῦν ἀνιστορήθη καὶ ὁ θεῖος Ναὸς αὐτῆς οὗτος, τῇ βοηθείᾳ τῆς Θεοτόκου, ἡγουμενεύοντος τοῦ κυρίου Ἀνθίμου· ἔτει ἀπὸ τῆς ἐνσάρκου Οἰκονομίας αχνγ' (1653), ἐν μηνὶ Δεκεμβρίῳ. Ἰνδικτιῶνος ζ. χειρὶ Μανουὴλ ἱερέως τοῦ Ἀνδρόνου ἐκ πόλεως Ναυπλίου ».

Καὶ ἄλλη δὲ ἐπιγραφὴ ἐπάνω τῆς σιδηρᾶς πύλης ἐπὶ μαρμάρου λέγει ταῦτα·

« Ἔτος ζρμή—ἀπὸ Χριστοῦ αχμ'. εἰς τὰς δ'. τοῦ Σεπτεμβρίου μηνὸς, ἐκάη τὸ μέγα Σπήλαιον· ὥστε δὲν ἔμεινε λίθος ἐπὶ λίθον. Καὶ τὸν Μάρτιον μῆνα ἐβάλαμεν θεμέλιον ζρμθ'. ἀπὸ Χριστοῦ 1641, διὰ συνδρομῆς καὶ ἐπιμελείας Συμεὼν Ἱερομονάχου τοῦ Καθηγουμένου εἰς ἀνέγερσιν ἐκ βάθρων τοῦ θείου Ναοῦ καὶ τῆς Μονῆς » (α).

(α) Τὰ δ' αὐτὰ πλατύτερον ἱστοροῦνται καὶ ἔν τινι ὑπομνήματι μετὰ ταῦτα γεγραμμένῳ· λέγει δὲ καὶ τὸ ὑπόμνημα ταῦτα. « Ἔτει ἀπὸ τῆς ἐνσάρκου Οἰκονομίας τοῦ Χριστοῦ 1640. ἐν μηνὶ Σεπτεμβρίῳ ἡμέρᾳ δ'. ἔγεινεν ὁ ἐμπρησμὸς τοῦ Μοναστηρίου μας, τοῦ Μεγάλου Σπηλαίου· ὥστε ὁποῦ δὲν ἔμεινε τίποτες, οὐδὲ καὶ πέτρα εἰς ἄλλην πέτραν, ὥρᾳ πρώτῃ τῆς νυκτὸς, ἡγουμενεύοντος τοῦ πανοσιωτάτου Καθηγουμένου κυρίου Συμεὼν, ἀπὸ χωρίου Βάλισας, τὸ ἐπίκλην Κροκιδᾶ. Καὶ ἐκάμαμεν εἰς τὸ Τρανὸν ἀμπέλι μῆνας ἕξ, καὶ εἰς τὸ ἀγροῦρι, εἰς τὸν ἅγιον Νικόλαον, μῆνας τέσσαρας μὲ στενοχωρίαν μεγάλην. Ἐκάησαν καὶ δύω Καλόγηροι, ὁποῦ εὑρέθησαν μέσα, ὧν τὰ ὀνόματα, ὁ ἕνας Συμεὼν ἀπὸ χωρίον Ἀγρίδι, καὶ ὁ ἄλλος Συμεὼν ἀπὸ Τζερνατᾶ· ἦσαν καὶ Τοῦρκοι τότε ἑβδομήκοντα δύω, καὶ ἐπῆραν τὸ χρυσίον καὶ τὸ ἀργύριον ὅλον, καὶ ὅ,τι ἄλλο ἐδυνάσθησαν καὶ ἐπρόφθασαν· ἐπειδὴ ἡμεῖς εἴμεσθα φευγάτοι καὶ κρυμμένοι διὰ τὸν φόβον αὐτῶν ». Ταῦτα λέγει τὸ ὑπόμνημα. Οὗτοι δὲ οἱ ἀλιτήριοι ἦσαν ὑπηρέται τῆς ἐν Πελοποννήσῳ τότε καὶ ἀλλαχοῦ, καὶ κατὰ τὴν Ἀχαΐαν

Κατὰ ταῦτα λοιπὸν ὁ σημερινὸς Καθολικὸς Ναὸς ὑπάρχει αὐτὸς ὁ ἐπὶ τοῦ Συμεὼν ἐκ βάθρων ἀνοικοδομηθείς· πλατύτερος δὲ οὗτος ἀνηγέρθη καὶ μείζων παρὰ τὸν ὑπὸ τοῦ ἀοιδίμου Αὐτοκράτορος Ἀνδρονίκου κτισθέντα καὶ καέντα· διότι ἐκεῖνος μὲν (ὡς ἔγραψαν οἱ περὶ τὸν Ἡσαίαν ἱστοροῦντες οἷος ἐπ' αὐτῶν ἐσῴζετο), εἶχε πρὸς ἀριστερὰν τὸ κοιμητήριον τῶν πατέρων, πρὸς δεξιὰν δὲ τὸ παρεκκλήσιον (βλ. κεφ. δ. §. κ.)· ὁ δὲ καθ' ἡμᾶς, ὃν Συμεὼν ὁ Κροκιδᾶς ἀνῳκοδόμησε, πολὺ μείζων ἀνηγέρθη, συμπεριληφθέντων ἐν αὐτῷ καὶ τοῦ κοιμητηρίου καὶ τοῦ παρεκκλησίου τῶν πατέρων, καὶ κάλλιστον ἀπέβη τῆς Παντανάσσης ἀνάκτορον (αὐτῆς συνεργούσης), οἷον ἐν τοῖς προλαβοῦσι διεγράψαμεν. Ἐπὶ τούτου τοῦ ἀειμνήστου Συμεῶνος ἐκτίσθη καὶ ὁ ἐσώτερος τοῖχος, καὶ τὰ πλεῖστα τῶν κελλίων, καὶ πᾶσα ἡ μέχρι τῆς καλλιῤῥόης πηγῆ οἰκοδομὴ τοῦ Μοναστηρίου· ὡσαύτως καὶ τὰ περὶ τὸν Ναὸν παρεκκλήσια.

§. δ'. **Κατὰ δὲ τὸ αφνζ'.** ἔτος, Ἰωαννικίου ἡγουμενεύοντος, ἐκτίσθη τὸ ἔξω τεῖχος τοῦ περιβόλου, τρέχον ἀπὸ νότου πρὸς βοῤῥᾶν καὶ διαζωννύον κατὰ μῆκος ἅπασαν τὴν πρὸς δυσμὰς τοῦ Μοναστηρίου περιοχήν. Ὑπάρχει δὲ τὸ ὕψος τοῦ τείχους ὀργυιῶν περίπου εἴκοσιν· ἐν αὐτῷ δὲ κεῖνται καὶ αἱ δύω πύλαι (περὶ ὧν προείπομεν) αἱ πρὸς δυσμάς, καὶ πύργος ὀχυρὸς πλησίον τῆς μεγάλης καὶ κυρίας πύλης, τῆς σιδηρᾶς, τῆς πρὸς νότον ἀφορώσης. Ἀντικρὺ δὲ ταύτης ἐπὶ τοῦ πύργου κεῖται μάρμαρον ἔχον ἐπίγραμμα τὸ ἐφεξῆς·

δυναστευούσης τουρκικῆς ἐξουσίας (οἱ δὲ Ἑνετοὶ πάλιν ἐπελθόντες ὕστερον ἔλαβον τὰ περὶ τὴν Πάτραν τῷ 1699) εἰς δημοσίαν ἀποστελλόμενοι ὑπηρεσίαν (ὡς ἱστορεῖ πάλιν τὸ Ἑνετίῃσιν 1765, τυπωθὲν Προσκυνητήριον σελ. 27)· διῆλθον δὲ καὶ διὰ τοῦ Μεγάλου Σπηλαίου, καὶ ἠθέλησαν εἰσελθεῖν βιαζόμενοι δῆθεν ὑπὸ τοῦ καταλαβόντος ὄμβρου· οἱ δὲ προεστῶτες καὶ τῶν ἄλλων οἱ πλεῖστοι ἔτυχον ἀπόντες ἐκ τοῦ Μοναστηρίου εἰς τὸν τρυγητόν. Ὅσοι δὲ παρῆσαν Μοναχοί, δειλοί τινες καὶ ὀλίγοι, κατιδόντες τοὺς ἀσεβεῖς ὁπλίτας ἐκρύβησαν, οὐδ' ἤνοιξαν τὰς πύλας· ἐκεῖνοι δὲ περιελθόντες διέῤῥηξαν ἄλλο παλαιὸν θυρίδιον, ἐπάνωθεν τῆς μεγάλης πύλης τότε κείμενον (περὶ οὗ λέγομεν ἀνωτέρω), καὶ εἰσπεσόντες, ἀπῆλθον διὰ τοῦ ἱεροῦ Νάρθηκος εἰς τὸ μαγειρεῖον, ὅπου ξύλων εὑρόντες πλῆθος, ἀνῆψαν μεγάλην πυράν, ἥτις περιχυθεῖσα, καὶ τῶν ξυλοθηκῶν ἐπιλαβομένη, περιήπτετο καὶ τῶν πλησίον ξυλίνων οἰκοδομῶν· οἱ δὲ μιαροὶ ἐκεῖνοι βλέποντες τὴν πυρκαϊὰν αἰρομένην ἀνεχώρουν, καὶ φεύγοντες ἐξῆλθον διὰ τῆς θυρίδος ὅθεν καὶ πρῶτον εἰσέφρησαν, διαρπάσαντες πρῶτον τὰ χρυσᾶ καὶ ἀργυρᾶ σκεύη τοῦ θείου Ναοῦ (ὡς λέγει τὸ ὑπόμνημα)· διέῤῥηξαν δὲ (καθὼς φαίνεται) καὶ τούτου τὰς θύρας βιαίως (καὶ τίς οἶδεν ἂν μὴ ἐξεπίτηδες ἀνῆψαν τὴν πυρκαϊάν). Οἱ δὲ κατάκλειστοι μοναχοὶ πνιγόμενοι ὑπὸ τοῦ καπνοῦ ἐξεπήδων ἄλλος ἄλλοθεν καὶ συνέτρεχον· ἀλλ' ἡ φλὸξ ἐνέμετο ἤδη τά τε ἄλλα καὶ τὸν Ναὸν ἐκ τοῦ σύνεγγυς εἰσρυεῖσα. Καὶ μόλις εἰσπηδήσαντες διέσῳσαν τὴν ἁγίαν καὶ ἀποστολικὴν εἰκόνα, σῶαν ἐκ τοῦ πυρὸς τῇ χάριτι τῆς Παντανάσσης διαμείνασαν. Λέγονται δὲ καὶ ἄλλαι τινὲς πυρκαϊαὶ συμβᾶσαι τὸ παλαιὸν εἰς τὸ Μοναστήριον· καὶ πρώτη μὲν ὑπῆρξεν ἡ περὶ τὰ μέσα τοῦ ἐννάτου αἰῶνος ὑπὸ τῶν Εἰκονομάχων δολίως ῥαδιουργηθεῖσα εἰς πυρπόλησιν τοῦ θείου ναοῦ· λέγομεν δὲ περὶ αὐτῆς καὶ ἐφεξῆς (Μέρ. β. κεφ. Ζ. θαυμ. 6). Δευτέρα δὲ πυρκαϊὰ συνέβη κατὰ τὸ Μοναστήριον περὶ τὸ 1400, ὁπότε (καθὼς ἔχομεν ἐκ παραδόσεως) ὁ μὲν ναὸς καὶ τὰ πλεῖστα τῶν ἱερῶν κειμηλίων διεσῴθησαν· κατεφλέχθησαν δὲ τὰ λοιπὰ τῆς Μονῆς οἰκοδομήματα. Ταύτης δὲ τῆς πυρπολήσεως ἡ αἰτία ἄγνωστος· διότι (καθὼς προείπομεν) τὰ παλαιὰ τῆς Μονῆς ὑπομνήματα κατέφαγε πάντα ὁ τρίτος καὶ ἔσχατος ἐμπρησμὸς οὗτος ὁ κατὰ τὸ 1640 γενόμενος ὑπὸ τῶν ἀπίστων, πολὺ τῶν ἄλλων δύω τῶν προτέρων φοβερώτερος καὶ πανώλεθρος.

« Σπηλαίῳ υἱὸν τέκε μήτηρ παρθένος, ἁγνῆς
Μητρὸς Σπηλαίῳ δ' εἰκόνα δῶκε πάϊς,
Ἣν Λουκᾶς γράψεν θεῖος· τῆς νῦν, ξένε, τείχεα
Ἀμφεδόμησαν ἱροὶ μυστιπόλοι γε Μονῆς,
Ἰωαννίκιος σὺν Ἰωσὴφ, ἅμα Ἰωνᾶ,
Ὧν μέτα Καλλίνικος, ἠδὲ φύλαξ ἱερῶν
Ζαχαρίας, ἡγουμενέοντος Ἰωανικίου,
Θοῦς γε, κόρη, τάξον τάξεσι μακαρίων. —
Δομήτορες δὲ, Κώνστας καὶ Ἰωάννης.
ἐν ἔτει αψνζ. Αὐγούστου δ'.

Τὸ πάλαι ὑπῆρχε καί τις ἄλλη θύρα μικρὰ ἠνεῳγμένη ἄνωθεν τῆς μεγάλης πύλης τῆς σιδηρᾶς (ὅπου τὰ νῦν ὑπάρχει τὸ λεγόμενον καστέλλιον), ἥτις ἔφερεν ἐκ πλαγίων πρὸς τὸ παρεκκλήσιον τῆς ἁγίας Εὐφροσύνης. Διὰ ταύτης τῆς θύρας εἰσῆλθον εἰς τὸ Μοναστήριον καὶ οἱ τὸν ἐμπρησμὸν καταπράξαντες ἀσεβεῖς (ὡς προείπομεν). Ταύτην δὲ τὴν πάροδον ἀπέκλεισε τειχίσας ἔτι κατὰ τὸ αψ' (1700) ὁ Μυρέων Ζαχαρίας μονάζων ἐν τῷ ἱερῷ Σπηλαίῳ· καὶ πολλὴν ἐκ τούτου τὴν ἀσφάλειαν περιεποίησεν εἰς τὸ ἱερὸν Μοναστήριον. Ἀλλὰ καὶ ἐφεξῆς μετὰ τοῦτον, καὶ μετὰ τοὺς ἱδρυσαμένους τὸ ἔξω τεῖχος, καὶ ἄλλοι κατὰ καιροὺς ἡγεμονεύοντες μετὰ τῶν προηγουμένων καὶ προεστώτων οὐ διέλιπον μέχρι σήμερον κοσμοῦντες τὸ ἱερὸν Μοναστήριον, καὶ κοινῇ, καὶ ἰδίᾳ δὲ πολλάκις δαπάνῃ, ἀφ' ὧν ἕκαστος εἶχε πατρῴων χρημάτων, μεθ' ὧν ἦλθον εἰς τὴν Μονὴν ὑπουργοῦντες τῷ Θεῷ.

§. έ. Κτήματα δὲ ἀρχαῖα ἐκ τῶν βασιλικῶν καὶ ἄλλων ἀφιερωμάτων τὸ μὲν πάλαι εἶχε πολλὰ τὸ ἱερὸν Μοναστήριον, ἃ δὴ καὶ καταλέγονται ἐν τῷ ἐκδεδομένῳ χρυσοβούλλῳ τοῦ ἀοιδίμου Αὐτοκράτορος Ἰωάννου· ἀλλὰ τούτων ἀφήρπασαν τὰ πλεῖστα αἱ συχναὶ τῆς Πελοποννήσου ἁλώσεις καὶ μεταβολαί, καὶ τῶν κρατούντων ἡ πλεονεξία. Σῴζονται δὲ καὶ τὴν σήμερον κτήματα τοῦ Μοναστηρίου κατὰ τὴν Πελοπόννησον τέσσαρα τὰ καλούμενα μετόχια. Α'.) τὸ κείμενον κατὰ τὴν Ἀχαΐαν ἐν αὐτῇ τῇ χώρᾳ τῆς ἀρχαίας Ἑλίκης (πόλεως λαμπρᾶς, πρόπαλαι καταποντισθείσης). Αὕτη ἡ τοῦ Μετοχίου χώρα τὰ νῦν καλεῖται Τρουπεῖα ἢ Τρουπία (α), καὶ αὐτοῦ κεῖται

(α) Τὰ Τρουπία φαίνονται παρὰ τὸ Τρούπα ἢ Τρύπα παρωνομασμένα, διὰ τὸ πολύτρυπον τοῦ παρακειμένου βουνοῦ. Ἐπὶ τούτου εὑρίσκονται τρύπαι καὶ ἄλλαι καὶ τὸ παρὰ τοῖς ἀρχαίοις φημιζόμενον *Σπήλαιον τοῦ Βουραϊκοῦ Ἡρακλέους* (Παυσαν. Ζ. κε. 6), ἄντρον οὔτε μέγα οὔτε βαθύ· σῴζει δὲ καὶ μέχρι σήμερον μαντείου μορφήν. Ἔχει δὲ καὶ δεύτερον κοίλωμα κείμενον ἐπάνωθεν, ὅπου κλίμαξ φέρει δυσανάβατος· ἐν δὲ τούτῳ φαίνεται Ναοῦ σχῆμα χριστιανικοῦ, καὶ ἐπὶ τοῦ τοίχου ζωγραφιῶν ὀλίγα ἴχνη παλαιῶν. Γειτονεύει δὲ πρὸς τὴν Ἑλίκην ἡ Βούρα, δύω σχεδὸν ὥρας ἀπέχουσα· *Διακοπτὸν* τὴν Βοῦραν ἡ χυδαία λαλιὰ συνηθέστερον τὴν σήμερον ὀνομάζει (ὡς διακεκομμένον τὸ χωρίον ἔτι καὶ τὴν σήμερον ἀπὸ τοῦ παλαιοῦ ἐκείνου σεισμοῦ περὶ οὗ λέγομεν εὐθύς). Αὐτῆς δὲ τῆς Ἑλίκης σῴζονται καὶ νῦν ἀμαυρά τινα ἐρείπια· καὶ αὐτὸ τὸ ὄνομα Ἰωνικώτερον σχηματισθὲν Ἑλίκεια (ὡς Λαοδίκη καὶ Λαοδίκεια κτλ.) διετηρήθη κεχυδαϊσμένον εἰς τὸ Λίκεινα (Ἑλίκεινα)· ὅθεν λέγουσι καὶ κοῖλόν τινα τόπον ἐκεῖ πλησίον κείμενον *τῆς Λίκεινας τὸ Λαγκάδιον*. Κατεποντίσθη δὲ ἡ Ἑλίκη πρὸ τῶν Λευκτρικῶν (ἤτοι πρὸ τῆς ρβ. ὀλυμπιάδος, ἢ πρὸ τοῦ 368 ἔτους π. Χ,)· καὶ οἱ μὲν πλεῖστοι τῶν συγγραφέων λέγουσι συγχρόνως καὶ τὴν Βοῦραν ἀφανισθεῖσαν, « ἀλλ' ἐκείνη μὲν ἡ Ἑλίκη

καλὸν καὶ εὐρύχωρον οἴκημα, καὶ μικρότερον ἄλλο, καὶ ναὸς τιμώμενος ἐπ' ὀνόματι τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου, καὶ ἄλλος τῆς ἁγίας Εἰρήνης, καὶ τρίτος τῆς ἁγίας Βαρβάρας, καὶ τέταρτος ἐπ' ὀνόματι τῶν ἁγίων Τρύφωνος τοῦ μεγαλομάρτυρος, καὶ Παρθενίου ἐπισκόπου Λαμψάκων. Αὐτοῦ καὶ οἱ πλεῖστοι τῆς Μονῆς ἀμπελῶνες, ἢ σταφιδῶνες, καὶ ἐλαιῶνες, καὶ κῆποι παντοῖοι, και ἄλλαι φυτεῖαι μέχρι πρὸς τὴν παραλίαν ἐκτεινόμεναι· Β'.) μετόχιον μετὰ τῆς κατ' αὐτὸ περιοχῆς τῆς ἐπιλεγομένης τοῦ ἁγίου Νικολάου (ἀπὸ τῆς ἐν αὐτῇ Ἐκκλησίας)· κεῖται δὲ κατὰ τὰ λεγόμενα μαῦρα βουνὰ, χώραν τῆς Ἤλιδος· πρὸς τοῦτο δὲ γειτονεύει Γ'.) μετόχιον τὸ Βουπράσιον (τοῦτο καὶ Ἀλῆ Τσελεπῆ καλεῖται βαρβαρικώτερον ὡς ἐκ τοῦ πρώτου κτίτορος τούρκου, παρ' οὗ τινος ἠγόρασεν ἡ Μονὴ τὸ ὑποστατικόν)· ἐν δὲ τῷ Βουπρασίῳ καὶ ναὸς τοῦ ἁγίου Γεωργίου·' Δ'.) ἡ λεγομένη Σάλμενα, μετόχιον καὶ αὕτη, καὶ χώρα κειμένη κατὰ τὴν Ἀρκαδίαν πλησίον τῶν Καλαβρύτων, ὀλιγώτερον μιᾶς ὥρας ἀπέχοντα, καὶ Ναὸς ἅγιος ἐν αὐτῇ τιμώμενος ἐπ' ὀνόματι τῶν πανευφήμων Ἀποστόλων Πέτρου καὶ Παύλου, τὸ δὲ πρότερον (πρὸ τῆς ἀνακαινίσεως) ἐπεφημίζετο ἐπ' ὀνόματι τῶν ἁγίων καὶ ἰσαποστόλων βασιλέων Κωνσταντίνου καὶ Ἑλένης. Ἔχει δὲ καὶ ἄλλα κτήματα μικρότερα τὸ Μοναστήριον, οἷον, τὰ πλησίον τῶν Τρουπείων τέσσαρα μικρὰ μετοχίδια, τὸ λεγόμενον Σταυρία (καὶ Ναὸς ἐν αὐτοῖς τῆς ἁγίας Μαρίνης), καὶ τὰ Νεάματα (καὶ Ναὸς τοῦ ἁγίου Δημητρίου) καὶ τὴν Βοίναιναν (καὶ Ναὸς τοῦ ἁγίου Ἀθανασίου), καὶ τὸ Καλαμάκιον (καὶ Ναὸς τοῦ Παντοκράτορος). Απωτέρω δὲ πάλιν οὐ μακρὰν τοῦ ἱεροῦ Μοναστηρίου κεῖται τὸ λεγόμενον Μέγα ἀμπέλιον, καὶ Ναὸς ἐν αὐτῷ τοῦ ἁγίου Ἀθανασίου. Παρεξῆς δὲ, αἱ Φυτεῖαι, καὶ Ναὸς τοῦ ἁγίου Γεωργίου· καὶ παρὰ τὰς Φυτείας ἐλαιὼν, καὶ ληνὸς, καὶ οἰκίαι, καὶ Ναὸς τοῦ ἁγίου Νικολάου. Εἰς ταῦτα προστεθείσθωσαν, κεφάλαιον καὶ κορωνὶς ὅλων τῶν τοῦ Μοναστηρίου κτημάτων καὶ θησαυρὸς ἔνδοξος, τὰ ὀλίγα καὶ μικρὰ ἀλλ' ἀνεκτίμητα χωράφια τῆς ἁγίας Κόρης Εὐφροσύνης, κείμενα κατὰ τὸν Γαλατᾶν (τὴν Ζαχλοροῦν), καὶ διαφυλάττοντα τὴν ἐπωνυμίαν τῆς ἁγίας μέχρι καὶ τῆς σήμερον ἡμέρας. Ταῦτα μένουσιν ὑποστατικὰ τοῦ Μεγάλου Σπηλαίου κατὰ τὴν Πελοπόννησον· τὰ μὲν ἐξ ὑπαρχῆς κτηθέντα καὶ φυτευθέντα, τὰ δὲ καὶ ἀπὸ πολλῶν καταδρομῶν ἀνακαινισθέντα καὶ μέχρι σήμερον συντηρούμενα διὰ τοῦ μεγίστου καὶ σεμνοτάτου τῶν ἀνθρωπίνων δικαιωμάτων, λέγω δὲ τῶν ὁσίων καὶ συνεχῶν ἱδρώτων καὶ κόπων τῶν φιλεργοτάτων μοναχῶν.

ὑπὸ κύματος (τῆς θαλάσσης πλημμυρισάσης), ἡ δὲ Βοῦρα ὑπὸ χάσματος (γῆς) ἠφανίσθη » (Στράβ. α, 54. Ἀριστοτ. περὶ Κόσμου κεφ. δ. Φιλόστρ. Ἡρωϊκ. σελ. 719)· ὁ δὲ Διόδωρος (ιε, 364) εἶπεν ἀμφοτέρας ὑπὸ θαλάσσης καταποντισθείσας· οὕτω καὶ Καλλισθένης (παρὰ Σενέκᾳ. Φυσικ. ζητήμ. ς, 23.)· ἀλλ' ὁ Ἀχαιὸς Πολύβιος ἀριθμῶν τὰς πόλεις τῆς Ἀχαΐας, « Ἃς (λέγει) ἔτι καὶ νῦν συμβαίνει διαμένειν, πλὴν Ὠλένου καὶ Ἑλίκης, τῆς πρὸ τῶν Λευκτρικῶν ὑπὸ θαλάσσης καταποθείσης »· ὁ Πολύβιος ἔγραφε κατὰ τὴν ρνη. ὀλυμπ. (τῷ 144 π. Χ.) ἤγουν 224 ἔτη μετὰ τὰ Λευκτρικά· καὶ ἕως τότε ὑπῆρχε λοιπὸν ἡ Βοῦρα, ὑπῆρχε δὲ καὶ τρεῖς αἰῶνας ὕστερον ἐπὶ Παυσανίου (τῷ 180 μ. Χ.). Ἀλλὰ τὴν φαινομένην τῶν ἱστορικῶν ταύτην διαμάχην διαλλάττει πάλιν αὐτὸς ὁ Παυσανίας « Ὅτε δὲ (λέγει) Ἑλίκην ἐποίησεν ἄδηλον ἐξ ἀνθρώπων ὁ Θεὸς, τότε καὶ τὴν Βοῦραν σεισμὸς ἐπέλαβεν ἰσχυρὸς — ὁπόσοι δὲ τηνικαῦτα ἀποδημοῦντες — ἔτυχον — μόνοι τε οὗτοι Βουραίων ἐλείφθησαν, καὶ αὐτοὶ τῆς Βούρας ἐγένοντο οἰκισταί » (Παυσ. Ζ, κεφ. 25)· ἠφανίσθη λοιπὸν μετὰ τῆς Ἑλίκης καὶ ἡ Βοῦρα πρὸ τῶν Λευκτρικῶν· ἀλλ' αὕτη πάλιν ἀνεκτίσθη, καὶ ἔκτοτε μέχρι σήμερον οἰκεῖται, κἂν αἱ μετὰ τὸν Παυσανίαν καὶ ἐφεξῆς ἐπιδρομαὶ τῶν ἐθνῶν μετέβαλον καὶ τὴν μορφὴν αὐτῆς καὶ (παρὰ γοῦν τοῖς πλείοσι) καὶ τὸ ὄνομα.

Τὰ δὲ κατὰ τὴν Δαπάταν καὶ τὸ παρὰ τὸ Αἴγιον (Βοστίτζαν) καὶ τὸ περὶ τὸν Δρόγκον μετόχια τοῦ Μοναστηρίου παλαιὰ, καὶ τὸ τῆς Ἀβυσσαίνης, καὶ τὸ τῆς Προυσσαίνης, καὶ τὰ λοιπὰ μεγάλα χωρία τὰ ἐν τῷ χρυσοβούλλῳ μνημονευόμενα χεῖρες ἥρπασαν ἱερόσυλοι δυναστείας παρανόμου.

§. ϛ΄. Τῶν δὲ παλαιῶν κειμηλίων, ἱερῶν τε σκευῶν καὶ ἁγίων λειψάνων, τὰ μὲν κράτιστα καὶ μέγιστα διέφθειρεν ὁ τῆς Μονῆς ἐμπρησμός· ὀλίγα δὲ τούτων ἐσώθησαν ἔξω καὶ ταῦτα, κατὰ θείαν εὐδοκίαν, ἐν τοῖς Μετοχίοις τυχόντα. Προσετέθησαν δὲ καὶ ἄλλα τινὰ ἐφεξῆς· ὡσαύτως καὶ ἱερῶν ἀμφίων πολυτίμους στολὰς, ἔχομεν μετρίας καὶ τὰς ἀναγκαίας· μετρίαν δὲ καὶ τὴν Βιβλιοθήκην καὶ μικρὰν ὡς πρὸς τὴν πρὸ τῆς πυρκαϊᾶς πλουσίαν συνηγμένην· ὅθεν καὶ μάλιστα φροντίζουσιν οἱ πατέρες ὅπως καὶ ταύτην ἐπαυξήσωσι μετὰ τῆς Σχολῆς.

§. ζ΄. Οἴκους δὲ κατὰ πόλεις (Μετόχια καὶ τούτους ὀνομαζομένους συνηθέστερον) ἔχει τὸ ἱερὸν Μοναστήριον καὶ ἐντὸς καὶ ἔξω τῆς Πελοποννήσου παρα τῶν χριστιανῶν ἔκπαλαι καθιερωμένους. Τοιοῦτον οἶκον ἔχει ἐν Αἰγίῳ, καὶ ἄλλον ἐν Παλαιαῖς Πάτραις, καὶ ἐν Τριπόλει, καὶ Ἄργει, καὶ Κορίνθῳ, καὶ Καλαβρύτοις, καὶ ἐν Καλάμαις· καὶ ἐν Μάνῃ δὲ τὸ μοναστήριον τῆς Μεταμορφώσεως· καὶ ἐκτὸς δὲ τῆς Πελοποννήσου, ἐν Ἀθήναις, καὶ Λεβαδείᾳ, καὶ Θεσσαλονίκῃ, καὶ ἐν Σμύρνῃ, καὶ, τέλος, ἐν Κωνσταντινουπόλει τὸ λεγόμενον Βλαχικὸν παλάτιον (Βλαχ-Σαράγι), καὶ προσέτι τὸ κατὰ τὴν Ἀντιγόνην νῆσον μοναστήριον τοῦ ἁγίου Γεωργίου, τὸ τοῦ Καρίπη ἐπιλεγόμενον.

§. ή. Αὕτη συντόμως ἡ τοπογραφία τοῦ ἱεροῦ καὶ μεγαλωνύμου Σπηλαίου, τοῦ ὄρους τοῦ ἁγίου, ἐν ᾧ ἔθετο τὸ σκήνωμα τῆς παναγίας καὶ κεχαριτωμένης αὐτῆς μορφῆς ἡ Παντάνασσα Δέσποινα, κῆπον τοῦτον ἀναδείξασα τῶν πνευματικῶν αὐτῆς χαρίτων καὶ δωρεῶν. Ἐν Σπηλαίῳ τῷ τῆς Βηθλεὲμ ἔτεκε τὸν μονογενῆ Υἱὸν αὐτῆς καὶ Θεὸν τοῦ παντὸς, καὶ ἐν Σπηλαίῳ τῷ τῆς Ἀρκαδίας ἀπεθησαύρισε τὴν ἀρχέτυπον καὶ παντευλόγητον εἰκόνα της προσκυνητῆς αὐτῆς μορφῆς, πηγὰς ἐλέους ἐκπέμπουσα τοῖς μετὰ πίστεως προσιοῦσι. Καὶ προσέρχονται τὰ πλήθη τῶν πιστῶν « ὡς νεφέλαι καὶ περιστεραὶ » (καθὼς εἶπεν Ἡσαΐας) κατά τε τὴν δημοτελῆ πανήγυριν, καὶ ἄλλοτε πολλάκις συῤῥέοντα πανταχόθεν, καὶ μιμούμενα περιστερὰς μετὰ τῶν νεοσσῶν προσιούσας· ὥστε γίνεται καὶ πρὸς τοὺς συνερχομένους εὐλαβεῖς προσκυνητὰς τοῦ ἱεροῦ σκηνώματος ὅ,τι ἔλεγεν ὁ μακάριος Θεοδώρητος περὶ πάντων καθόλου τῶν πιστῶν τῶν ἐν ταῖς πανηγύρεσι συντρεχόντων εἰς τὴν τοῦ Θεοῦ Ἐκκλησίαν. « Εἰ δέ τις (λέγει) ἀκριβῶς βούλεται νοῆσαι τὸ χωρίον· (τὸ, Τίνες οἶδε ὡς νεφέλαι πέτανται, καὶ ὡσεὶ περιστεραὶ μετὰ νεοσσῶν; Ἡσαΐ. ξ.) ἐν ταῖς δημοτελέσιν ἑορταῖς, ἢ ταῖς δεσποτικαῖς, ἢ ταῖς τῶν ἁγίων μαρτύρων, θεασάσθω τὰ πλήθη συῤῥέοντα, καὶ τὰς μὲν (μητέρας), τὰς θυγατέρας ἐν ταῖς ἀγκάλαις φερούσας, καὶ ταῖς χερσὶν ὁδηγούσας· τοὺς δὲ (πατέρας), μετὰ τῶν υἱῶν βαδίζοντας· καὶ ὄψεται ἀληθῶς πνευματικὰς περιστερὰς μετὰ τῶν νεοττῶν πετομένας καὶ πρὸς τὴν νέαν παραγινομένας Σιὼν » (α).

Γένοιτο δὲ διὰ πρεσβειῶν τῆς παναχράντου Θεοτόκου, ὅπως ἀείποτε τῶν πρὸς σωτηρίαν αἰτημάτων παρὰ Κυρίου τυγχάνωσι καὶ οἱ ἔξωθεν εἰς τὴν Μονὴν ἐρχόμενοι, καὶ οἱ ἐντὸς ἐνασκούμενοι πιστοὶ τῆς Παναγίας Τριάδος λάτρεις καὶ προσκυνηταὶ, καὶ τῆς μελλούσης βασιλείας ἀξιωθῶσιν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας· ἀμήν.

(α) Θεοδώρ. εἰς Ἡσαΐ. ξ. τόμ. Β. σελ. 185. ἐκδ. Εὐγ.

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ.

Βίος καὶ πολιτεία τῶν ὁσίων καὶ θαυματουργῶν πατέρων ἡμῶν Συμεὼν καὶ Θεοδώρου, καὶ τῆς ὁσίας Εὐφροσύνης, τῶν τὴν ἁγίαν καὶ θεομητορικὴν εἰκόνα εὑρόντων, καὶ ὅπως ταύτην ἀνεῦρον, καὶ περὶ αὐτῆς τῆς ἁγίας εἰκόνος, ὅπως ὑπὸ τοῦ θείου Ἀποςόλου καὶ Εὐαγγελιςοῦ Λουκᾶ ἀνιςορήθη, καὶ ποία ταύτης ἡ μορφὴ, καί τινων ὀλίγων ἐκ τῶν δι' αὐτῆς θαυμάτων ψυχωφελὴς διήγησις.

ΚΕΦΑΛΑΙΟΝ ΠΡΩΤΟΝ.

Περὶ τῆς γεννήσεως καὶ ἀνατροφῆς τῶν ὁσίων ἡμῶν πατέρων, καὶ ὅπως ἐμόνασαν.

§. ά. ΟΙ τρισόλβιοι καὶ θεοφόροι πατέρες ἡμῶν Συμεὼν καὶ Θεόδωρος ἦσαν ἀδελφοὶ κατὰ σάρκα, γεννηθέντες περὶ τὰς ἀρχὰς τοῦ δ', αἰῶνος (310—320) ἐν τῇ μεγαλοπόλει Θεσσαλονίκῃ τῆς Μακεδονίας, ἀπὸ γονέων λαμπρῶν μὲν κατὰ τὸ γένος καὶ τὴν τοῦ πλούτου πολυτέλειαν, λαμπροτέρων δὲ κατὰ τὴν ψυχὴν καὶ τὸν ἀκήρατον ὄλβον τῶν ἀρετῶν. Διότι διῆγον οὗτοι τὸν βίον « περιπατοῦντες ἀξίως τοῦ Θεοῦ τοῦ καλοῦντος ἡμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν », καὶ κατὰ πάντα πολιτευόμενοι ὡς ἄξιοι ἀπόγονοι τῶν Θεσσαλονικέων ἐκείνων, ὧν τὴν ἀρετὴν καὶ τὴν εὐσέβειαν αὐτὸς διέγραψεν ὁ οὐρανοβάμων Ἀπόστολος, γράφων πρὸς αὐτοὺς ταῦτα. « Εὐχαριστοῦμεν τῷ Θεῷ ἀδιαλείπτως, ὅτι παραλαβόντες λόγον ἀκοῆς παρ' ἡμῶν τοῦ Θεοῦ, ἐδέξασθε οὐ λόγον ἀνθρώπων, ἀλλὰ καθὼς ἐστὶν ἀληθῶς, λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιςεύουσι ». Τοιοῦτοι δὲ ὄντες οἱ μακάριοι γονεῖς ἠξιώθησαν παρὰ Κυρίου καὶ τοιούτων κεχαριτωμένων παιδίων, ἅτινα ἐκ τῆς βρεφικῆς αὐτῶν ἡλικίας ἀνέτρεφον ἐν φόβῳ Θεοῦ, καὶ μετὰ πάσης ἐπιμελείας, ἐκπαιδεύοντες τὰ ἱερὰ γράμματα, καὶ τὴν ἰδίαν ἑαυτῶν ζωὴν ἀρετῆς παράδειγμα πρὸς μίμησιν αὐτοῖς προτιθέντες. Καὶ

προέκοπτον ἀμφότεροι ὅ,τε Συμεὼν καὶ ὁ Θεόδωρος αὐξάνοντες καὶ προβαίνοντες θαυμασίως εἰς τὴν πρώτην στοιχείωσιν τῶν ἀρετῶν τῆς θεοσεβείας· ὥστε καὶ ἐξ αὐτῶν ἔτι τῶν ἁπαλῶν ὀνύχων ἐδείκνυον, ὁποῖοι κατὰ τὸ τέλειον τῆς ἡλικίας γενήσονται. Καὶ καθὼς τὰ γενναῖα βλαστήματα, ὅταν ἐκ τῆς πρώτης αὐξήσεως ἀναβαίνωσιν εὐθυτενῆ καὶ ῥαδινά, προδεικνύουσιν εἰς τοὺς γεωργοὺς τὴν μέλλουσαν αὐτῶν καλλονὴν καὶ εὐκαρπίαν, παρομοίως καὶ οὗτοι ἐκ τῆς πρώτης καὶ νεαρᾶς αὐτῶν βλάστης προεμήνυον, ὅτι ἔσονται ὡς τὸ ἀειθαλὲς ἐκεῖνο τοῦ ψαλμῳδοῦ δένδρον, « τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων· ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται ». Καὶ ἔμελλεν ἄρα πληροῦσθαι καὶ ἐν αὐτοῖς τὸ θεῖον ἐκεῖνο ῥητὸν, ὅτι « Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται ».

§. β΄. Ἄρτι λοιπὸν τὴν παιδικὴν παραλλάσσοντες ἡλικίαν, καὶ βρίθοντες ἀπό τε τῶν φυσικῶν τοῦ νοὸς πλεονεκτημάτων καὶ τῶν ἐκ τῆς χρηστῆς ἀνατροφῆς θεαρέστων ἠθῶν, πλήρεις δὲ καὶ χάριτος τοῦ παναγίου Πνεύματος, ἔτεινον πρὸς ὃ προωρίσθησαν ὑψίκομον μέγεθος· καὶ οὔτε πρὸς πλοῦτον καὶ δόξαν ἀπέβλεψαν, οὔτε πρὸς ἄλλο τι τῶν γηΐνων· ἀλλὰ πάντων ἀποστάντες, πρὸς ὅσα πλουτοῦσα νεότης ἐπτόηται, φιλοδοξίας, ἀπολαύσεων, κυνηγεσίων, καλλωπισμάτων, παντοίας τοῦ ἁβροδιαίτου βίου ματαιοσπουδίας καὶ ῥεούσης τρυφῆς, εὐθὺς ὅλοι ἐδόθησαν εἰς τὴν κτῆσιν τοῦ ἀθανάτου πλούτου τῆς ἀρετῆς. Καὶ δὴ πρῶτον μὲν ἐσπούδασαν τὰ βιωφελῆ τῆς ἔξω σοφίας παιδεύματα, διακούσαντες εἰς τὰς ἐν Θεσσαλονίκῃ σχολὰς γραμματικὴν καὶ ῥητορικὴν καὶ ποιητικὴν καὶ τῶν φιλοσοφικῶν μαθημάτων τὰς ἐπιστήμας· ἐξαιρέτως δὲ ἐπαιδεύθησαν τὰς αἰωνίους καὶ ἀναλλοιώτους ἀληθείας τῆς θείας σοφίας καὶ τὰ τελειότατα τῆς Ἐκκλησιαστικῆς παιδείας διδάγματα, θεολογίαν τε λέγω καὶ τὴν ἀπὸ τῶν θείων Γραφῶν ζωηφόρον καὶ φωτοπάροχον γνῶσιν, « αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ ». Καὶ ὅσον ηὔξανον εἰς τὴν ἐπίδοσιν καὶ κατανόησιν τῆς ἔσω καὶ ἔξω φιλοσοφίας, τοσούτῳ προέκοπτον εἰς τὴν αὔξησιν τῶν ἀρετῶν, καὶ τὴν τελειότητα τῆς εὐσεβείας, σύμμαχον ἔχοντες τὴν ἐγκράτειαν, καὶ τὸ ἄτυφον καὶ ἄπλαστον ἦθος μετὰ τῆς ἐνοικούσης χάριτος τοῦ Θεοῦ. Καὶ ἄλλοτε μὲν, ὡς ἄλλοι τινὲς ὑψιπέται ἀετοὶ, ἀνυψοῦντο μετέωροι εἰς τὴν μυστικὴν θεωρίαν τῶν πνευματικῶν νοημάτων τῶν θεοπνεύστων Γραφῶν, ἄλλοτε δὲ πάλιν, ὡς φιλεργοὶ μέλισσαι, διήρχοντο τῶν πρακτικῶν ἀρετῶν τοὺς λειμῶνας, εὑρίσκοντες τὴν ἔμπρακτον τοῦ θείου νόμου μελέτην γλυκυτέραν ὑπὲρ μέλι καὶ κηρίον ἐν τῷ λάρυγγι αὐτῶν· καὶ οὕτω διῆγον τὴν μακαρίαν αὐτῶν νεότητα, βίου καὶ λόγου τὴν ἁρμονίαν ὡς ἐν ὀργάνῳ μουσικῷ συνηχοῦντες, καὶ τὴν πρᾶξιν μετὰ τῆς θεωρίας ἀδιαλείπτως ἀσκοῦντες. Καὶ μᾶλλον κατὰ ψυχὴν παρὰ κατὰ τὸ σῶμα ζῆν ἐπεπόθουν, ἕνα καὶ μόνον ζῆλον καὶ σκοπὸν ἔχοντες, καὶ εἰς ἓν καὶ τὸ αὐτὸ τέλος ἀποβλέποντες, πῶς ἀρέσαντες τῷ Χριστῷ κερδήσωσι τὸν Χριστόν! Τοῦτον ἠγάπων, τοῦτον ἐπόθουν, πρὸς τοῦτον ἀκαταπαύστως ἀπέβλεπον, καὶ νῦν μὲν ἔψαλλον μετὰ τοῦ θεοπάτορος, « Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; »· ἄλλοτε δὲ πάλιν « Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι, καὶ καταπαύσω; ». Κατάπαυσις γάρ ἐστιν ἀληθὴς καὶ ἀνάπαυσις εὐφρόσυνος ἡ ἀπόλαυσις τοῦ ἄκρου τῶν ἐφετῶν, πρὸς ἣν καταντῶσιν ὅσοι τὴν πρᾶξιν καὶ θεωρίαν ὡς πτέρυγας φοροῦντες περιστερᾶς, ἀνίπτανται καθαροὶ καὶ ἄσπιλοι ἀπὸ τῆς ἰλύος τοῦ κόσμου τούτου.

§. γ΄. Καὶ λοιπὸν ἀκμάζοντες ἤδη τὴν τοῦ σώματος ἡλικίαν, ἀκμάζοντες δὲ πολὺ πλέον τῷ πνεύματι καὶ τῇ κατὰ Θεὸν σοφίᾳ τε καὶ φρονήσει, καὶ πάντων τῶν ὄντων τὸ ἄστατον καὶ πρόσ-

καιρον μελετῶντες, ᾐσθάνοντο, ὡς ἐκ θείας ἐμπνεύσεως, ἀμφότεροι πολλὴν κλίσιν πρὸς τὴν μοναδικὴν μακαρίαν ζωὴν, ὡς ἀνωτάτην φιλοσοφίαν, ἀπὸ τῶν κοσμικῶν θορύβων ἀπάγουσαν, καὶ μᾶλλον ἀπερίσπαστον καὶ ἀτάραχον, καὶ διὰ τῆς ἡσυχίας εἰς τὴν θεωρίαν τοῦ ὄντως Ὄντος ἀναβιβάζουσαν. Ἐκήρυττε δὲ τότε ἡ φήμη τὴν ἄσκησιν καὶ ἄλλων μὲν ἀλλαχοῦ μοναστῶν, μάλιστα δὲ τῶν κατὰ τὰ μέρη τῆς Ἀλεξανδρείας καὶ τῆς Αἰγύπτου καὶ τῆς Παλαιστίνης ἐν ἐρήμοις ἀσκουμένων ἁγίων Ἀναχωρητῶν. Διότι κατὰ τὴν Αἴγυπτον πρῶτον, ἔτι περὶ τὰ μέσα τοῦ πρώτου αἰῶνος μετὰ Χριστὸν, Μάρκου τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ τὸν θεῖον λόγον κηρύξαντος, καὶ κατὰ τοὺς ἐφεξῆς χρόνους πολλοὶ πιστεύσαντες εἰς Χριστὸν διῆγον εἰς τὰς ἐρήμους, τὸν ζηλωτὴν Ἠλιοῦ, καὶ τὸν ἐν πνεύματι καὶ δυνάμει Ἠλιοῦ ἐπελθόντα μακάριον Πρόδρομον ἐνθέως μιμούμενοι· καὶ διέτριβον, ὡς εἶπεν ὁ Προφήτης, « ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ », Θεῷ λειτουργοῦντες καὶ Θεῷ γινωσκόμενοι· καὶ τούτων λοιπὸν τῶν ἰσαγγέλων ὁσίων τὸ παράδειγμα ἐξέκαιεν ἐν ταῖς καρδίαις τῶν δύω αὐταδέλφων τὸν ἐμπνευσθέντα τῆς θείας ἀγάπης οὐράνιον ἔρωτα. Ἀλλὰ καὶ ἐν τοῖς θείοις Εὐαγγελίοις ἀνεγίνωσκον μετ' ἐπιστασίας νῦν μὲν τὸ « πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι », νῦν δὲ τὸ « καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς (ἔμειναν δηλονότι ἐν ἀγαμίᾳ καὶ παρθενίᾳ) διὰ τὴν βασιλείαν τῶν οὐρανῶν (α), καὶ τὴν κοινὴν τῶν Ἀποστόλων ἀνεπόλουν φωνὴν, οἵτινες διὰ τοῦ κορυφαίου Πέτρου πρὸς τὸν διδάσκαλον ἔκραζον· « Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι ». Ταύτας δὲ καὶ τὰς τοιαύτας ἐμμελετῶντες θείας φωνὰς ὥρμησαν οἱ μακάριοι πρὸς τὴν ἀκριβεστάτην ἐκπλήρωσιν τῶν ἐντολῶν τῆς Εὐαγγελικῆς τελειότητος, καὶ κλῆρον ἑαυτοῖς ἔλαβον τὴν ἄχραντον καὶ ἀμίαντον παρθενίαν, τὴν σύνοικον τῶν Ἀγγέλων καὶ τῶν μακαρίων ψυχῶν. Καὶ δὴ λαβόντες εἰς τοὺς ἑαυτῶν ὤμους καρτερικῶς καὶ ἀνδρειοφρόνως τὸν Εὐαγγελικὸν τοῦ Χριστοῦ ζυγὸν, ὑπερεῖδον μὲν δόξης καὶ πλούτου παντοδαποῦ, ὑπερεῖδον δὲ συγγενῶν καὶ φίλων καὶ οἰκετῶν καὶ μεγάλων κτημάτων καὶ ἀπολαύσεων, καὶ πάντων τῶν ὀνείρων τῆς ματαιότητος, ὅσα τοῖς ἀνθρώποις ἐστὶ περισπούδαστα, καὶ ἀφ' ὧν καὶ βραχεῖάν τινες ἔχοντες μερίδα, φυσῶσι καὶ πνέουσι μεγάλα, καταλαζονευόμενοι τῶν ὑποδεεστέρων. Ἀλλ' οἱ μὲν τοιοῦτοι κύπτοντες ὡς βοσκήματα πρὸς τὴν γῆν, καὶ μηδέποτε τὰ ὄμματα τῆς διανοίας ὑψοῦντες πρὸς οὐρανὸν καὶ τὴν αἰωνίαν τοῦ ἀνθρώπου πατρίδα, διάγουσιν ἐκδεδιῃτημένοι δοῦλοι τῶν ἀλόγων παθῶν, καὶ συχνάκις τοὺς θείους παραβαίνουσι νόμους ἐν οἷς ἐγεννήθησαν καὶ ἐτράφησαν, ἕως οὗ θνήσκουσι, τέλος, θάνατον διπλοῦν, τὸν πρόσκαιρον τοῦ σώματος, καὶ τὸν ἀθάνατον τῆς ψυχῆς· πολλάκις δὲ καὶ κατεῖδον τὸν δύστηνον αὐτὸν βίον ἐν ἀπορίᾳ δύοντα, γυμνὸν τῆς προτέρας εὐπραγίας ἐκείνης, ἣν ἐνόμιζον ὅτι εἶχον παρ' ἑαυτοῖς ἀσφαλῶς κατεσφρα-

(α) « Εἰσὶ γάρ, φησιν, εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν »· τίνες οὗτοι, ἀλλ' ἢ οἱ γενναῖοι ἀπόστολοι, καὶ [οἱ] μονάζοντες, καὶ οἱ καθεξῆς παρθένοι; Ἰωάννης μὲν καὶ Ἰάκωβος υἱοὶ Ζεβεδαίου μείναντες ἐν παρθενίᾳ, ... καὶ θαυμασίως τὸ κλέος τοῦ στεφάνου τούτου τοῦ ἀγῶνος ἀπενεγκάμενοι· μετ' αὐτοὺς δὲ, ὅσαι μυριάδες ἐν τῷ κόσμῳ μονάζοντες καὶ ἀπὸ μοναστηρίων (ἴσ. μοναστριῶν) καὶ παρθένων τουτὶ τοῦ ἀγῶνος τὸ κλέος ἀπηνέγκαντο· οἵτινες σώμασι γυναικῶν οὐκ ἐμίγησαν, ἀλλ' ἤθλησαν ἐν ἀγῶνι τελειοτάτῳ, ὡς καὶ Ἠλίας ἐν [τῇ] παλαιᾷ Διαθήκῃ εὑρίσκεται, καὶ Παῦλος λέγων (Α. Κορινθ. ζ. 8) *Λέγω δὲ τοῖς ἀγάμοις, ὅτι καλὸν αὐτοῖς, ἐὰν μείνωσιν οὕτως, ὡς κἀγώ* ». Ἐπιφαν. αἱρέσ. νη. σελ. 491. Colon.

γισμένην. Ἀλλ᾽ οὐχ᾽ οὕτως οἱ θεσπέσιοι τῆς ἀρετῆς καὶ ὁσιότητος ἀσκηταὶ, Συμεὼν καὶ Θεόδωρος· ἀλλὰ πᾶσαν τὴν τοῦ βίου πλάνην κατανοήσαντες καὶ πρὸς τὴν μόνην ἀληθινὴν καὶ αἰώνιον ζωὴν ἀποβλέψαντες ἐφόρεσαν τὸ σχῆμα τῆς μοναδικῆς πολιτείας, καὶ ἀνεχώρησαν εἰς ἀβάτους ἐρήμους, ἀποφυγόντες θορύβους πολιτικοὺς, ὄχλον ἀγοραῖον, ἀρχοντικὸν τύφον, κόρον τρυφῆς, τὸν ἀηδίας καὶ νόσων πατέρα, τὰ δικαστήρια, τοὺς συκοφάντας, τοὺς μετὰ πλεονεξίας πωλοῦντας καὶ ἀγοράζοντας, τοὺς ὀμνύοντας, τοὺς ψευδομένους, πᾶσαν τὴν τοῦ βίου κακίαν καὶ μοχθηρίαν, ὅσην ὁ κόσμος οὗτος εἰς τὰς πολυανθρώπους πόλεις μάλιστα ἐπισύρεται· καὶ διέτριβον μόνοι, καθαρεύοντες τοὺς ὀφθαλμοὺς, καθαρεύοντες τὰ ὦτα, καθαρεύοντες τὴν γλῶσσαν, καὶ πρὸ πάντων τὴν καρδίαν κεκαθαρμένοι. Ἀνέβησαν δὲ πρῶτον ἐνασκούμενοι εἰς τὰ ὄρη, ὡς εὔθετα μάλιστα πρὸς ὑψηλὰς θεωρίας, καὶ ἀνέκαθεν φανέντα χωρία θεοφιλῆ· διότι καὶ Θεὸς ἐδόξασεν αὐτὰ πάλαι, τῆς φοβερᾶς αὐτοῦ καταξιώσας ἐπιφανείας (ὡς τὸ Σίναιον καὶ Χωρὴβ), καὶ αὐτὸς ὁ θεάνθρωπος Κύριος ἡμῶν καὶ Δεσπότης κατὰ τὴν ἐπὶ γῆς αὐτοῦ πολιτείαν ηὐλόγει τὰ ὄρη συχνάκις, ἀνερχόμενος εἰς αὐτὰ καὶ προσευχόμενος κατ᾽ ἰδίαν· καὶ αὐτὴν δὲ τὴν δόξαν τῆς θείας αὐτοῦ μορφῆς ἐπ᾽ ὄρους Θαβὼρ ἐφανέρωσεν εἰς τοὺς Ἀποστόλους. Ὅθεν καὶ Μωσῆς ὁ θεόπτης, καὶ Ἠλίας ὁ ζηλωτὴς, καὶ ὁ Ἐλισσαῖος καὶ ἄλλοι υἱοὶ τῶν προφητῶν, καὶ αὐτὸς ὁ ἐκ παιδὸς ἐν τοῖς ἐρήμοις διατρίβων Βαπτιστὴς τοῦ Κυρίου, καὶ οἱ τούτων ἐφεξῆς ὀπαδοὶ, ὀρεσίτροφοι πολλάκις διῆγον «τὰ ἄνω ζητοῦντες», καὶ «ἐγγίζοντες ὄρεσιν αἰωνίοις». Τούτους δὲ καὶ οἱ ὅσιοι πατέρες μιμούμενοι τὴν ἐν ὄρεσιν ἐδίωκον ἡσυχίαν, ἀφορῶντες εἰς ἐκεῖνο τὸ νοητὸν ὄρος τοῦ Κυρίου, ὅπου, τέλος, ἀναβαίνει καὶ ἵσταται «πᾶς ἀθῷος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ». Καὶ πρῶτον μὲν ἀνῆλθον οἱ μακάριοι εἰς τὸν Ὄλυμπον, ὅπου καὶ διέτριψαν χρόνον ἱκανὸν, ἐκεῖθεν δὲ μετέβησαν εἰς τὴν Ὄσσαν, κἀκεῖθεν εἰς τὸ Πήλιον «ὑστερούμενοι (κατὰ τὸν Ἀπόστολον), θλιβόμενοι, κακουχούμενοι, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς»· καὶ τρέχοντες διὰ τῆς ὑπομονῆς τὸν καλὸν, ὃν ἀνέλαβον, ἀγῶνα τῆς ἰσαγγέλου πολιτείας.

§. δ΄. Οὕτω δὲ διάγοντες, καὶ τὸν βίον εἰς προσευχὴν καὶ μελέτην τῶν θείων λόγων, καὶ εἰς ἐργασίαν (ἀφ᾽ ἧς ἐτρέφοντο «ἐργαζόμενοι ταῖς ἰδίαις χερσὶν»), καὶ εἰς μικρὰν τοῦ σώματος ἀνάπαυσιν ἔχοντες διαμεμερισμένον, ναὸς τοῦ ἁγίου Πνεύματος ἀπέβησαν καθαρώτατος, καὶ Θεοῦ ἐνδιαίτημα, καθὼς αὐτὸ τὸ ἀψευδέστατον στόμα τοῦ Κυρίου καθυπέσχετο παντὶ τῷ εἰς αὐτὸν πιστεύοντι καὶ τὰς εὐαγγελικὰς ἐντολὰς ἐκπληροῦντι, λέγον, ὅτι «Ἐγὼ καὶ ὁ Πατήρ μου ἐλευσόμεθα καὶ μονὴν παρ᾽ αὐτῷ ποιήσομεν». Καὶ διῆγον λοιπὸν οἱ μακάριοι ἐπὶ γῆς, ὡς ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἀδιαλείπτως ἐμφορούμενοι τῶν κατὰ νοῦν καὶ γνῶσιν ὑψηλοτάτων θεωριῶν, καὶ ἀποβλέποντες πρὸς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν. Πολλὴν δὲ καὶ πρὸς τὴν ἄχραντον τοῦ Κυρίου μητέρα καὶ Θεοτόκον εἶχον εὐλάβειαν, καὶ ταύτην συνεχῶς ὕμνοις ὁσίοις ἐγέραιρον, καὶ πιστῶς ἐμακάριζον, καθὼς αὐτὴ προεῖπεν ἡ Μητροπάρθενος «ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί»· καὶ πρέσβυν αὐτὴν ἐπεκαλοῦντο καὶ μεσίτριαν ὑπὲρ ἑαυτῶν τε καὶ τοῦ κόσμου παντὸς πρὸς τὸν μονογενῆ αὐτῆς υἱὸν καὶ Θεόν.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ τῆς εἰς τὸν Ἄθωνα καὶ τὴν Ἱερουσαλὴμ καὶ ἄλλους τόπους ἱερᾶς περιηγήσεως τῶν πατέρων.

§. ά. Ἤδη δὲ χρόνους ἱκανοὺς ἐν τοῖς εἰρημένοις ὄρεσιν ἐνασκηθέντες εἰς τοὺς ἀγῶνας τῆς ἀρετῆς μετέβησαν καὶ εἰς τὸ τοῦ Ἄθωνος ἁγιώνυμον ὄρος, ὅπου κἀκεῖ τότε διέλαμπον ἄνδρες ἐρημικοὶ καὶ ἡσυχασταί, τῆς μελλούσης τῶν ἐκεῖ μοναστηρίων εὐλογίας πρόδρομοι. Ἤλλασσον δὲ τόπους ἐκ τόπων οἱ μακάριοι, τῷ καθοδηγοῦντι πνεύματι πειθόμενοι, καὶ πανταχόθεν μὲν αὐτοὶ συναθροίζοντες εἴτι χρήσιμον εἰς τὴν κατὰ Θεὸν πολιτείαν, γινόμενοι δὲ καὶ πρὸς τοὺς ἄλλους μοναδικῆς τελειότητος ἔμψυχον παράδειγμα. Πρᾶξιν γὰρ καὶ θεωρίαν γεγυμνασμένοι, εἶχον καὶ τῶν ἀρετῶν τὴν παρακολουθοῦσαν πληθὺν, πίστιν, ἀγάπην, ἐλπίδα, γνησίαν ἐν δόγμασιν εὐσέβειαν, ἁγνισμὸν ψυχῆς καὶ σώματος, δάκρυα διηνεκῆ, προσευχὴν ἀκατάπαυστον, νηστείαν καὶ ἀγρυπνίαν ἀκάματον, χαμευνίαν καὶ τὴν ἄλλην σκληραγωγίαν πάθη κατευνάζουσαν, ἀκτημοσύνην καὶ ταπείνωσιν εἰς ἄκρον ἐλάσασαν, συμπαθῆ φιλανθρωπίαν ὁποία μάλιστα Θεῷ τὸν ἄνθρωπον ἐξομοιοῖ, ζῆλον ἔνθεον πρὸς ἔλεγχον καὶ ἐπιστροφὴν τῶν κατὰ τῆς εὐσεβείας λυσσώντων, καὶ ἐπὶ πᾶσιν ἀδιάκοπον τῶν θείων Γραφῶν τὴν ἀνάγνωσιν καὶ μελέτην, ἣν ἡ τοῦ θείου ἔρωτος ἄσβεστος λαμπὰς ἔμπυρον ἀνέφλεγε καὶ διακαῆ, κατὰ τὸν εἰπόντα προφήτην· « καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ ».

§. β΄. Οὕτω δὲ καιομένους ὑπὸ τοῦ θείου πόθου καὶ ἄλλος ἐπῆλθεν εἰς αὐτοὺς ἔνθεος λογισμὸς, ὅπως ἀπέλθωσιν εἰς προσκύνησιν καὶ τῶν θεοβαδίστων τόπων τῆς τε Ἱερουσαλὴμ, καὶ τοῦ ὄρους Σινᾶ. Εἰς ἐκείνην μὲν τὴν μητέρα πασῶν τῶν Ἐκκλησιῶν, ἵνα καταφιλήσωσι τοὺς τρισολβίους ἐκείνους τόπους, ἐφ᾽ ὧν σωματικῶς περιεπάτησαν οἱ θεανδρικοὶ καὶ ἄχραντοι πόδες τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰς δὲ τὸ Σίναιον, ὅπως θεωρήσωσι τὰς πανσέπτους ἐκείνας ἐρήμους, ἐν αἷς ὁ Θεὸς Μωϋσεῖ τῷ θεράποντι λαμπρῶς ἐπεφάνη, καὶ τὰς πλάκας ἔδωκε τῆς παγκοσμίου Νομοθεσίας· πρὸς δὲ τούτοις ἐπεθύμουν ἵνα καὶ αὐτόπται γένωνται καὶ αὐτήκοοι τῆς συνομιλίας καὶ συναναστροφῆς ἐκείνων μάλιστα τῶν ἁγίων ἀνδρῶν, οἵτινες, ὡς προείπομεν, διέτριβον ἐν τοῖς ὄρεσιν ἐνασκούμενοι κατά τε τὴν Παλαιστίνην, καὶ ἐν Συρίᾳ, καὶ εἰς τὰς ἐρήμους τοῦ Σινᾶ, καὶ τῆς Ἀλεξανδρείας, καὶ Θηβαΐδος, καὶ τῶν ἐκεῖσε χωρῶν.

§. γ΄. Πολλοὺς δὲ καθ᾽ ὁδὸν καὶ ἄλλους ἱεροὺς ἀσκητὰς καὶ διδασκάλους τῆς ἀρετῆς ἐπεσκέφθησαν κατὰ τόπους· πολλῶν ἱερῶν σκηνωμάτων καὶ τῶν ἐν αὐτοῖς τεθησαυρισμένων ἁγίων κειμηλίων τῆς χάριτος ἀπήλαυσαν· πολλὰ ἐκοπίασαν, καὶ πολλάκις ἐκακοπάθησαν, καὶ πολλαχῶς ὠφελήθησαν καὶ ὠφέλησαν, ἕως, τέλος, Θεοῦ συναιρουμένου, ἔφθασαν εἰς τὴν ἁγίαν γῆν. Καὶ χαίροντες, καὶ πάντα ποιοῦντες εἰς δόξαν Θεοῦ, προσεκύνησαν τὴν ἁγίαν Βηθλεὲμ, ἐν ᾗ ὁ Χριστὸς ἐγεννήθη· ἐσεβάσθησαν τὸν Ἰορδάνην, ἐν ᾧ ἐβαπτίσθη· ἐθαύμασαν τὴν ἔρημον, ὅπου μετὰ τὸ βάπτισμα ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα νῆστις διετέλεσεν· ἐτίμησαν τὸ Θαβώριον ὄρος, ὅπου πανενδόξως μετεμορφώθη· κατεφίλησαν τὴν ἁγίαν Σιὼν, ἐν ᾗ τὸν μυστικὸν ἐτέλεσε δεῖπνον, καὶ ὅπου τὸ Πνεῦμα τὸ ἅγιον κατῆλθεν ἐπὶ τοὺς Ἀποστόλους, κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ἐν εἴδει πυρίνων γλωσσῶν· προσεκύνησαν καὶ τὸν Γολγοθᾶν, ἐφ᾽ οὗ ὁ Κύριος ἐσταυρώθη·

καὶ τὸν Ζωοδόχον τάφον, ὅπου σωματικῶς ἐνταφιασθεὶς τριήμερος ἀνέστη· καὶ τὸ ὄρος τῶν Ἐλαιῶν, ὅθεν εἰς οὐρανοὺς πρὸς τὸν ἀρχίφωτον ἀνελήφθη πατέρα· κατησπάσθησαν δὲ καὶ τὸν ἐν Γεθσημανῇ τῆς ζωηφόρου Θεομήτορος τάφον, ὅθεν ζῶσα πρὸς τὸν υἱὸν αὐτῆς ἐνδόξως μετέστη, καὶ ἁπλῶς εἰπεῖν ἁπαξάπαντας τοὺς ἁγίους τόπους τῆς νέας Σιὼν ἐθεώρησαν, ἐν οἷς ἐτελεσιουργήθησαν τὰ μυστήρια τῆς παγκοσμίου σωτηρίας. Μετὰ δὲ τούτους ἀπελθόντες προσεκύνησαν καὶ τοὺς ἱεροὺς τόπους τοῦ Θεοβαδίστου ὄρους Σινᾶ, ὅπου Μωϋσεῖ τῷ θεόπτῃ « ἐλάλησε Κύριος ἐνώπιος ἐνωπίῳ, ὡς εἴτις λαλήσαι πρὸς τὸν ἑαυτοῦ φίλον »· κατεφίλησαν τὴν ἁγίαν ἐκείνην κορυφὴν, ὅπου, νηστεύσας ὁ θεόπτης νυχθήμερα τεσσαράκοντα, τὸν θεόγραφον νόμον ἔλαβε· κατησπάσθησαν τὴν ἁγίαν γῆν τῆς μυστηριώδους ἐκείνης βάτου, ἥτις ἐκαίετο καὶ οὐ κατεκαίετο, τὸ μέγα τῆς θείας οἰκονομίας μυστήριον προτυποῦσα· καὶ τὸ Χωρὴβ δὲ κατεῖδον, ὅπου καὶ Μωσῆς πάλιν, καὶ ὁ προφήτης Ἠλίας ὕστερον θείας ἐπιφανείας κατηξιώθησαν· καὶ ὅσα ἄλλα πανσέβαστα μνημεῖα καὶ δείγματα τῶν ἐν ἐκείνῳ τῷ τόπῳ γενομένων θεοφανειῶν. Πληρώσαντες δὲ καὶ ταύτην τὴν φιλόθεον αὐτῶν ἔφεσιν ἀπῆλθον καὶ εἰς τὰς πέριξ ἐρήμους αὐτοῦ τε τοῦ Σινᾶ, καὶ τῆς Ἀλεξανδρείας, καὶ τῆς Νητρίας καὶ Θηβαΐδος, ἔνθα συνωμίλουν μετὰ τῶν ἐκεῖσε τότε ἐνασχουμένων ἰσαγγέλων ἐρημιτῶν. Καὶ συνασχούμενοι μετ' αὐτῶν, καὶ συμμελετῶντες πνευματικῶς ἠγάλλοντο καὶ ἔχαιρον, δοξάζοντες τὸν Θεὸν, ὅστις ποιεῖ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν, καὶ ἠξίωσεν αὐτοὺς καὶ ταύτης τῆς χάριτος! ὥστε καὶ τὸ ὑπόλοιπον τῆς μακαρίας αὐτῶν ζωῆς ἤθελον ἐκεῖ διαπεράσαι· θεία δὲ ὅμως νεῦσις ἦγε πάλιν αὐτοὺς εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλήμ. Ὑπῆρχε δὲ τότε τῆς τῶν Ἱεροσολύμων Ἐκκλησίας πρόεδρος θεοπρόβλητος καὶ πνευματικὸς πηδαλιοῦχος Μάξιμος ὁ ἱερώτατος (α)· ὅστις, ὡς εἶδε πάλιν αὐτοὺς ἐπανελθόντας, ὑπεδέξατο μετὰ πολλῆς τιμῆς, κατά τινα περὶ αὐτῶν προγεγονυῖαν εἰς αὐτὸν θείαν ἀποκάλυψιν, καὶ τούτους τοῦ θείου βαθμοῦ τῆς ἱερωσύνης κατηξίωσε, καὶ κατεῖχε φιλοστόργως παρ' ἑαυτῷ, ὡς ἐγκόλπια πνευματικὰ καὶ σκεύη τίμια τοῦ Χριστοῦ διατηρῶν, καὶ περιμένων τί ἄρα τὸ θεῖον ἐν αὐτοῖς εὐδοκήσει πρὸς σωτηρίαν πολλῶν.

§. δ'. Ἐνδημοῦντες λοιπὸν εἰς τὴν ἁγίαν Ἱερουσαλὴμ οἱ μακάριοι εἶδον ἑκάτερος κατὰ μέρος μίαν καὶ τὴν αὐτὴν ὀπτασίαν κατ' ὄναρ φανερωθεῖσαν, τὴν ἐφεξῆς. Ἐφάνησαν αὐτοῖς τρεῖς τινες ἄνδρες, γηραλαῖοι τὸ εἶδος, ἱεροπρεπεῖς τὴν στολὴν, σεβάσμιοι τῇ καταστάσει τοῦ σχήματος, καὶ θεοειδεῖς διὰ τὴν ἐπανθοῦσαν εἰς τὰ πρόσωπα μάλιστα θαυμασίαν χάριν τε καὶ σεμνότητα. Καταπλαγέντες δὲ πρὸς τὴν ὄψιν οἱ ἀδελφοὶ καθορῶσιν εὐθὺς καὶ ἄλλο θέαμα κρεῖττον ἢ κατὰ ἄνθρωπον. Ἐπιφαίνεται πάγκαλος καὶ ἡλιόμορφος ἄνασσα αἴγλην οὐράνιον περιεστεμμένη· παρέστησαν δὲ παρ' αὐτὴν εὐθὺς προσελθόντες καὶ οἱ τρεῖς ἐκεῖνοι γεραροὶ ἄνδρες, οἱ πρότερον ἐπιφανέντες. Καὶ ἡ πάμφωτος βασιλὶς εὐμενῶς πρὸς τοὺς δύω τεθαμβημένους ἀδελφοὺς ἀποβλέψασα θαῤῥεῖν τε ἐκέλευε, καὶ ἱλαρῷ τῷ προσώπῳ ἔλεγε πρὸς αὐτοὺς τοιαῦτα. « Χαίρετε ἐν Κυρίῳ πιστοὶ δοῦλοι τοῦ υἱοῦ μου καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ, οὗ τινος τὸν σταυρὸν ἐπ' ὤμων ἀράμενοι τῆς φωνῆς αὐτοῦ ἀκούετε, καὶ τὸ θέλημα ποιεῖτε προθύμως καὶ ἀξίως τῆς αἰωνίου ζωῆς καὶ βασιλείας. Ἄγετε δὴ καὶ τοῦ λοιποῦ τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίζεσθε, καὶ τὸν δρόμον τῶν τριῶν

(α) Μάξιμος ὁ Γ. ὁ Ἱεροσολύμων, ἐπατριάρχευσε τῷ 333, μέχρι τῶν 348 μετὰ Χριστόν· τοῦτον διεδέξατο ὁ ἁγιώτατος Κύριλλος.

τούτων » (καὶ ἅμα τοὺς μετ' αὐτῆς τρεῖς σεβασμίους ἄνδρας ἐδείκνυεν) « ὁλοψύχως βαδίζετε, ἐργαζόμενοι καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα τοῦ υἱοῦ καὶ Θεοῦ μου, καὶ μάλιστα κατὰ τὰς χώρας τῆς Ἀχαίας, ὅπου καὶ οὗτοι τὸ τοῦ Χριστοῦ γεώργιον εὐαγγελικῶς ἐφύτευσαν καὶ ἐπότισαν καὶ ἐκαλλιέργησαν. Εἰσὶ δὲ τούτων ὅδε μὲν, Παῦλος ὁ Ἀπόστολος, οὗτος δὲ, Ἀνδρέας ὁ πρωτόκλητος, ὁ δὲ τρίτος ἐκεῖνος, Λουκᾶς ὁ Εὐαγγελιστής. Ἐξέλθετε λοιπὸν ἐκ τῶν Ἱεροσολύμων καὶ ὑπάγετε εἰς τὴν Πελοπόννησον, καὶ καθ' ὁδὸν μὲν κηρύττετε τὸν λόγον τῆς ἀληθείας, ἐπιστρέφοντες ἐκ πλάνης ἁμαρτωλοὺς, μέχρις ἂν καταντήσητε καὶ εἰς τὰ ἐνδότερα τῆς Ἀχαίας, ὅπου καὶ ἡ χάρις μου καθοδηγήσει ὑμᾶς διὰ τοῦ θείου θελήματος. Ἐκεῖσε δὲ φθάσαντες εὑρήσετε τὸν τύπον τῆς ἐμῆς μορφῆς, κατ' εὐδοκίαν τοῦ υἱοῦ μου καὶ Θεοῦ ἐξεικονισθείσης ὑπὸ τοῦ θεηγόρου τούτου καὶ Εὐαγγελιστοῦ Λουκᾶ· τὰ δὲ πρὸς εὕρεσιν τῆς εἰκόνος ἅπαντα ὑμῖν ἀποκαλυφθήσεται, ὅταν καταντήσητε εἰς τὸν τόπον ἐκεῖνον· καὶ ἄπιτε ἐν εἰρήνῃ ». Ταῦτα εἰποῦσα ἡ Παντάνασσα Δέσποινα ἀνῆλθεν εἰς οὐρανὸν μετὰ τῶν τριῶν Ἀποστόλων, καὶ οἱ ὅσιοι ἐθεώρουν τὴν ἄνοδον. Ἐξεγερθέντες δὲ τοῦ ὕπνου ἔκθαμβοι καὶ ἐννεοὶ διὰ τὴν ὀπτασίαν, διηγεῖται ταύτην πρῶτος ὁ Συμεὼν πρὸς τὸν Θεόδωρον, διηγεῖται δὲ μετέπειτα καὶ οὗτος πρὸς ἐκεῖνον ταὐτά· καὶ χωρίς τινος δισταγμοῦ πληροφορηθέντες τὴν θείαν εὐδοκίαν, εἶπον πρὸς ἀλλήλους, « τὸ θέλημα τοῦ Κυρίου γενέσθω καὶ τῆς αὐτὸν ἀφθόρως τεκούσης Παρθενομήτορος ». Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ διηγήσαντο πάντα πρὸς τὸν ἱερώτατον Μάξιμον. Οὗτος δὲ δοξάσας τὸν Θεὸν, τὸν ποιοῦντα μεγάλα καὶ θαυμαστὰ, καὶ νουθετήσας αὐτοὺς καὶ παρακαλέσας χριστομιμήτως, ἵνα πάντοτε διατελῶσι πρόθυμοι καὶ εὐπειθεῖς εἰς τὰ τοῦ Κυρίου θελήματα, ἐξαπέστειλεν ἐκ τῶν Ἱεροσολύμων μετὰ θερμῶν δακρύων καὶ ἐγκαρδίων εὐχῶν· Ἐπέδωκε δὲ τούτοις καὶ ἐπιστολὰς πρὸς τὸν τότε Πάπαν τῆς Ῥώμης (Ἰούλιος οὗτος ἦν), ὡς λέγει ἡ παλαιὰ τῶν ἁγίων βιογραφία, ἣν Ἡσαΐας συνώψισεν, καὶ ταύτας ἀπέστειλαν εἰς τὴν Ῥώμην ἐκ τῆς Ἑλλάδος.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ τῆς τῶν ὁσίων ἐξ Ἱεροσολύμων ἀναχωρήσεως, καὶ τῆς εἰς τὴν Ἑλλάδα ἐπιστροφῆς.

§. α. Ἀναχωρήσαντες δὲ ἐκ τῶν Ἱεροσολύμων οἱ θεοφόροι πατέρες διήρχοντο πᾶσαν πόλιν καὶ χώραν ἀποστολικῶς διδάσκοντες τοὺς χριστιανοὺς, ἵνα φυλάττωσιν ἀκέραιον καὶ ἀπαρασάλευτον τὴν Εὐαγγελικὴν διδασκαλίαν, καὶ τὰ τῆς πίστεως δόγματα, κατὰ τὰς ἀποστολικὰς διατάξεις καὶ παραδόσεις· ἀποστρέφωνται δὲ πάλιν τὰς θεοστυγεῖς καινοτομίας καὶ νεοφανεῖς αἱρέσεις τῶν θεηλάτων Ἀρειανῶν, καὶ ὅσαι ἄλλαι τούτων παραφυάδες ἐτάραττον τότε τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, ψυχώλεθρα βλαστήσασαι σπέρματα τοῦ ἀπ' ἀρχῆς ἀνθρωποκτόνου καὶ μισοκάλου διαβόλου. Ἐπλήρουν δὲ τὸ κήρυγμα οἱ μακάριοι οὐχ ὡς ὁ λόγος τρέχων ταχέως χωρεῖ, ἀλλὰ μετὰ πόνων καὶ κινδύνων πολλῶν, καὶ μετὰ πάσης τῆς ἀποστολικῆς διαγωγῆς καὶ κακουχίας, ἔχοντες ἐπακολουθοῦντα καὶ τὰ τῶν θαυμάτων σημεῖα, δι' ὧν ὁ Κύριος ἐβεβαίου καὶ ἐν αὐτοῖς τοῦ θείου λόγου τὴν ἀσφάλειαν. Καὶ πολλοὺς μὲν ἔσωζον ἐκ νόσων παντοίων, πολλοὺς δὲ ἐκ τῆς ψυχοφθόρου πλάνης τῶν αἱρετικῶν· ποικίλους δὲ πειρασμοὺς ἐκαρτέρουν καὶ θλίψεις ἀλληπαλλήλους, καθὼς

ὅ,τε ὁ Κύριος ἡμῶν προεῖπε πᾶσι τοῖς αὐτοῦ πιστοῖς μαθηταῖς, ὅτι « Ἐν τῷ κόσμῳ τούτῳ θλίψιν ἕξετε », καὶ αὐτοὶ τῶν Ἀποστόλων οἱ πρόκριτοι ἐν πνεύματι ἁγίῳ διετράνωσαν. Λέγουσι δὲ καὶ κηρύττουσιν, ὁ μὲν Ἀδελφόθεος ὅτι, « *Μακάριος ἀνὴρ, ὃς ὑπομένει πειρασμόν· ὅτι δόκιμος γενόμενος λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν* ». ὁ δὲ οὐρανοβάμων Παῦλος ὅτι, « *Πάντες οἱ θέλοντες ἐν Χριστῷ Ἰησοῦ εὐσεβῶς ζῇν διωχθήσονται* ». καὶ πάλιν, « *Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· εἰ δὲ χωρίς ἐστε παιδείας, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί* »· πρὸς δὲ τούτοις καὶ Πέτρος ὁ κορυφαῖος. « *Ἀγαπητοὶ μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει πρὸς πειρασμὸν ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν συμβαίνοντος· ἀλλά, καθὼς κοινωνεῖτε τοῖς τοῦ Χριστοῦ παθήμασι, χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι· εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι· ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ Θεοῦ πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύεται* ».

§. β΄. Περάσαντες λοιπὸν οἱ ἰσαπόστολοι πατέρες χώρας πολλὰς καὶ μακράς, διαβάντες δὲ καὶ διὰ τῶν Μακεδονικῶν ὁροθεσίων, καὶ τοὺς ἐν τῷ Ἄθῳ ἀδελφοὺς πάλιν ἐπισκεψάμενοι, ἦλθον εἰς Θεσσαλονίκην τὴν κατὰ σάρκα πατρίδα, κἀκεῖ τὸν θεῖον λόγον κηρύξαντες μετὰ πολλῆς τῆς καρποφορίας, ἔπειτα διήρχοντο τὰς χώρας τῆς Θεσσαλίας στηρίζοντες ἐν τῇ πίστει τοὺς ἀδελφούς. Ὡς δὲ ἔφθασαν εἰς τὰς Θερμοπύλας τῆς Θεσσαλίας, ἀνέβησαν εἰς τὸ ὄρος τῆς Οἴτης, ὅπου τινὰς ἡμέρας ἡσύχασαν αἰνοῦντες καὶ εὐλογοῦντες ἀείποτε τὸν Θεόν, καὶ τὴν θεομήτορα Θεοτόκον· καὶ πάλιν καταβάντες ἐκεῖθεν διῆλθον ἀποστολικῶς τὰς πόλεις καὶ χώρας τῆς Ἀκαρνανίας καὶ Αἰτωλίας καὶ τῆς Λοκρίδος, αἵτινες ἀπέναντι τῆς Πελοποννήσου κεῖνται πρὸς βορρᾶν ἄνεμον· καὶ διαπλεύσαντες τὸν μεταξὺ Λοκρίδος καὶ Πελοποννήσου δωδεκαμίλιον περίπου πορθμὸν κατέλαβον τὰ ὅρια τῆς Ἀχαΐας. Καὶ πρῶτον ἦλθον εἰς τὸ Αἴγιον, μίαν τῶν καὶ τότε διασήμων τῆς Ἀχαΐας πόλεων (Βοστίτσαν αὐτὴν ὠνόμασεν ἰταλίζουσα ἡ χυδαία λαλιά). Ἐπειδὴ δὲ προεῖπεν εἰς αὐτοὺς ἐν Ἱεροσολύμοις ὁ θεῖος χρησμός, ἵνα πορευθέντες ἀπέλθωσιν εἰς τὰ ἐνδότερα τῆς Ἀχαΐας, ἀνεχώρησαν ἀπὸ τοῦ Αἰγίου· καὶ ὁδοιπορήσαντες κατὰ Μεσημβρίαν ἕως τεσσάρων σχεδὸν ὡρῶν διάστημα, ἔφθασαν πρὸς ἑσπέραν εἰς τόπον παραποτάμιον (ὅπου τὰ νῦν εὑρίσκεται χωρίον τοῦ Σελινουντίου δήμου Κλαπατζούνα χυδαιότερον ἐπιλεγόμενον), κἀκεῖ ἔμειναν παρὰ τὰς ὄχθας καὶ αὐτὰς τὰς πηγὰς τοῦ Σελινοῦντος, ἢ Σελίνου ποταμοῦ (τοῦ νῦν κεχυδαϊσμένου τῆς Βοχούστης).

§. γ΄. Αὐτοῦ τοίνυν διανυκτερεύοντες, πολλοὺς καθ' ἑαυτοὺς ἀνέστρεφον λογισμούς· τοῦτο μέν, ὅτι ἠγνόουν πρὸς ποῖον τῆς Ἀχαΐας μέρος εὐθυποροῦντες (κατὰ τὴν γενομένην εἰς αὐτοὺς ἀποκάλυψιν) εὑρήσουσιν ἐναποκείμενον τὸν ὑπεσχημένον ἱερὸν θησαυρόν· τοῦτο δέ, πῶς ἄρά γε καὶ διὰ ποίων γνωρίσουσι σημείων, ὅτι τοῦτ' αὐτό ἐστιν ἐκεῖνο τὸ προκαταγγελθὲν θεομητορικὸν ἔκτυπον. Οὕτω λοιπὸν οἱ ἅγιοι μεριμνῶντες προσηύχοντο πρὸς Θεόν, καὶ τὴν Θεοτόκον δακρυρρooῦντες ἱκέτευον, καὶ τοὺς προοφθέντας εἰς αὐτοὺς ἐν Ἱεροσολύμοις τρεῖς ἁγίους Ἀποστόλους παρεκάλουν, ἵνα καὶ δι' αὐτῶν εὐπρόσδεκτος γένηται ἡ πρὸς Θεὸν αὐτῶν δέησις· οὕτω δὲ διακείμενοι, μικρὸν ἀφύπνωσαν. Καὶ ἰδοὺ περὶ μέσην νύκτα κατ' ὄναρ πάλιν ἐνεφανίσθησαν εἰς αὐτοὺς ὅ,τε μέγας Ἀπόστολος τῶν ἐθνῶν, καὶ ὁ πρωτόκλητος Ἀνδρέας, καὶ ὁ ἱερώτατος Εὐαγγελιστὴς Λουκᾶς· οἵτινες αὐτοὺς ἱλαρῷ τῷ προσώπῳ παραμυθούμενοι, « Τί λυπεῖσθε; (ἔλεγον) « αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε καὶ εὑρήσετε· κρούετε καὶ ἀνοιγήσεται· πᾶς γὰρ ὁ ζητῶν, εὑρίσκει »· ὡς ὁ Κύριος ἡμῶν καὶ διδάσκαλος ἀψευδῶς ἐπηγγείλατο. Τί λοιπὸν ἀδημονεῖτε; τί δὲ καὶ διστάζετε; ἀπέλθετε πρὸς ἀνατολὰς περιπατοῦντες ἕως ὥρας δύω πρὸς τὰς

ὄχθας τοῦ Βουραϊκοῦ ποταμοῦ, κἀκεῖ συναντήσετε κόρην παρθένον, τοὔνομα Εὐφροσύνην, δούλην καὶ αὐτὴν τοῦ διδασκάλου καὶ Θεοῦ ἡμῶν ἡμῶν Ἰησοῦ Χριστοῦ, ἥτις, ὡς ἄλλοτε αἱ θυγατέρες τοῦ Ῥαγουὴλ, ποιμαίνει τὰς αἶγας τοῦ πατρὸς αὐτῆς, οἰκοῦντος ἐν κώμῃ καλουμένῃ τῶν Γαλατῶν· αὕτη καθοδηγήσει ὑμᾶς πρὸς τὴν εὕρεσιν τῆς Θεομητορικῆς εἰκόνος, περὶ ἧς ἐν Ἱεροσολύμοις ἐνδημοῦντες ἐδιδάχθητε. Ἀλλ᾽ ὑπάγετε, καὶ χαίρετε ἐν Κυρίῳ ». Καὶ οἱ μὲν Ἀπόστολοι τοσαῦτα εἰπόντες ἐγένοντο ἄφαντοι· ὁ δὲ τόπος τῆς τούτων ἐπιφανείας ἀπέβη ὕστερον ἐπισημότατος, ὡς λέγομεν ἐφεξῆς (α).

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Περὶ τῆς ὁσίας Εὐφροσύνης, καὶ ὅπως αὐτῇ συνήντησαν οἱ πατέρες, καὶ δι᾽ αὐτῆς ὡδηγήθησαν εἰς εὕρεσιν τῆς ἁγίας εἰκόνος.

§. α΄. Οἱ δὲ ἅγιοι ἐξαναστάντες τοῦ ὕπνου πλήρεις χαρᾶς καὶ πάσης πληροφορίας ἐδόξασαν τὸν Θεόν· καὶ εὐθυδρομοῦντες, ὡς διετάχθησαν, τὸν Βουραϊκὸν κατέλαβον ποταμὸν, καὶ βλέπουσι μακρόθεν τὴν, περὶ ἧς προακηκόασιν, ἁγίαν κόρην καθημένην ἐπὶ πέτρας, ἀντικρὺ παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ· ἥτις, ὡς ἐπλησίασαν οἱ γέροντες, ἐμβλέψασα προσεκτικῶς εἰς αὐτοὺς ἠγαλλιάσατο τῷ πνεύματι, καὶ πάραυτα δραμοῦσα μεθ᾽ ὅσης τῆς εὐλαβείας προσεκύνησε· καὶ αὐτοὶ εἶπον αὐτῇ, « χαῖρε ἐν Κυρίῳ, » κατὰ τὸ σύνηθες· ἡ δὲ ὁσία Εὐφροσύνη χαρμοσύνως εἰς αὐτοὺς ἀπιδοῦσα, « χαίρετε (λέγει) και ὑμεῖς ἐν Κυρίῳ, δοῦλοι καὶ ἐργάται τοῦ ἀμπελῶνος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, Συμεὼν καὶ Θεόδωρε »· καὶ οἱ ἅγιοι, ὡς ἤκουσαν αὐτὴν ἀποκαλοῦσαν αὐτοὺς ἐξ ὀνόματος, ἐθαύμασαν, καὶ ἔστησαν διστάζοντες διὰ τὸ τῆς κλήσεως ἀπροσδόκητον. Ἡ δὲ ὁσία Κόρη κατιδοῦσα τούτους πεφροντισμένους καὶ σιωπῶντας, καὶ συνεικάσασα τοὺς αὐτῶν διαλογισμοὺς, ἅμα τε διετύπωσεν εἰς ἑαυτὴν τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ τὸ σημεῖον, τὸ κατὰ τοῦ διαβόλου ἀπροσμάχητον ὅπλον, καὶ κλίνασα τὰ γόνατα κάτωθεν τῆς πέτρας, ἐφ᾽ ἧς ἐκάθητο πρότερον, ὑψώσασα δὲ καὶ τὰς χεῖρας πρὸς οὐρανὸν ἐνώπιον αὐτῶν εὐχομένη ἔλεγε τοιαῦτα. « Ὦ Θεοτόκε παρθένε, ἡ ὑπὲρ λόγον καὶ ἔννοιαν ἀειπάρθενος Μήτηρ τοῦ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ μου, ἡ ἀέναος τῆς ζωῆς καὶ τῶν θαυμάτων πηγὴ, ἥτις ἠξίωσας καὶ ἐμὲ τὴν ταπεινὴν καὶ ἀναξίαν σου δούλην ὑπηρετῆσαι τῇ θεομητορικῇ σου θελήσει, θαυμάστωσον ἐπ᾽ ἐμοὶ τῇ ἁμαρτωλῷ τὰ ἐλέη σου· διότι ὡς μήτηρ τοῦ Παντοδυνάμου Δημιουργοῦ καὶ Σωτῆρος τῶν ὅλων, πάντα δι᾽ αὐτοῦ δύνασαι πρὸς σωτηρίαν τῶν ἀνθρώπων ». Ταῦτα εἰποῦσα, καὶ χαράξασα τὸ σημεῖον τοῦ σταυροῦ κατὰ γῆς διὰ τῆς ποιμαντικῆς αὐτῆς ῥάβδου ἔπληξε τὸ ἔδαφος, καὶ ἐῤῥάγη μὲν ἡ πέτρα διχῶς, ἡ δὲ γῆ κάτωθεν ἀνέβλυσεν ὕδωρ πολὺ, ποτιμώτατον καὶ γλυκύτατον· καὶ βρύει τὸ νάμα μέχρι τοῦ νῦν, οὐ μακρὰν τῆς κώμης τῶν Γαλατῶν, παρ᾽ αὐτὰ τὰ χωράφια τῆς Ὁσίας (περὶ ὧν προείπομεν Χωρογραφ. κεφ.

(α) Αὐτοῦ (πλησίον τοῦ χωρίου τῆς Κλαπατσούνας) εὑρίσκεται ἡ περίφημος ἐκείνη παμπάλαιος πλάτανος, καὶ ἡ ἐν αὐτῇ παραδόξως ἐντετυπωμένη εἰκὼν τῆς Θεομήτορος, ἀκριβέστατον ἀντίτυπον οὖσα τῆς Ἀποστολικῆς, ὡς λέγομεν ἐφεξῆς ἐν τοῖς περὶ τῶν θαυμάτων τῆς ἁγίας εἰκόνος· κεφ. ζ. θαύματ. ϐ.

ἐ. §. δ΄)· καὶ ἡ πηγὴ καλεῖται τῆς ἁγίας Κόρης ἄχρι καὶ τῆς σήμερον ἡμέρας. Ταῦτα βλέποντες οἱ πατέρες ἐθαύμασαν, ὡς εἰκός, καὶ προσεκύνησαν τὸν Θεὸν, καὶ τὴν πανάχραντον Θεοτόκον ἐδόξασαν, εἶτα λέγουσι πρὸς τὴν Κόρην. « Ὦ θύγατερ, τί σοι ἐστὶν ὄνομα; πόθεν δὲ καὶ ἐγνώρισας ἡμᾶς καὶ ἐκάλεσας ἐξ ὀνόματος; ποῦ δὲ καὶ ὁ θεομητορικὸς ἀπόκειται θησαυρὸς, εἴ τινα οἶδας ἁγίαν εἰκόνα τῆς Θεοτόκου ζωγραφηθεῖσαν ὑπὸ τοῦ θείου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ; » ἡ δὲ ὁσία Κόρη ταπεινῶς καὶ ἀνυπερθέτως ὑπολαβοῦσα τὸν λόγον πρὸς ἀπόκρισιν, οὕτω τῆς διηγήσεως ἤρξατο.

§. ϛ΄. Ἐγὼ μὲν, ὁσιώτατοι πατέρες, ὀνομάζομαι Εὐφροσύνη· γνωρίζω δὲ τὴν σεπτὴν τῆς Θεομήτορος εἰκόνα, καὶ ποῦ κεῖται θεόθεν τεθησαυρισμένη· ὅπως δὲ αὕτη μοι ἀπεκαλύφθη, καὶ πῶς ὡδηγήθην εἰς εὕρεσιν αὐτῆς, πῶς δὲ καὶ τὰ καθ' ὑμᾶς ἐδιδάχθην γνωρίσαι, ποῖοί τινές ἐστε, καὶ ποῖα τὰ ὀνόματα ὑμῶν, ἀκούσατε. Βλέπετε τοῦτο τὸ μικρὸν αἰπόλιον τῶν αἰγιδίων τοῦ πατρός μου; τοῦτο βόσκουσα συνήθως εἰς τὰ περίχωρα τῆς πατρίδος μου (Γαλάται αὕτη ὀνομάζεται), ἀπηρχόμην πολλάκις καὶ πρὸς τὸ μέρος ἐκείνης τῆς ὑψικόμου πέτρας » (καὶ ἐδείκνυεν εἰς αὐτοὺς τὸ μέγα Σπήλαιον). « Ἤδη δὲ πρό τινων ἡμερῶν ὥρᾳ μεσημβρίας ἐνδιάζουσα διὰ τὸ καῦμα τοῦ ἡλίου μετὰ τῆς ποίμνης καὶ ἀναπαυομένη ὑποκάτω συνδένδρου σκοπιᾶς, ἥτις ἐκεῖ πλησίον εὑρίσκεται (α), βλέπω τῶν τράγων ἕνα χωριζόμενον ἀπὸ τοῦ ποιμνίου, καὶ βαδίζοντα διὰ τοῦ κρημνοῦ πρὸς τὸ φαινόμενον ἐκεῖ στόμιον τοῦ σπηλαίου, ὅπου καὶ εἰσῆλθε. καὶ πάλιν μετ' ὀλίγον ἐξελθὼν ὑπέστρεψε διὰ τῆς αὐτῆς ἀτραποῦ, καὶ παρίστατο ἔμπροσθέν μου, ἔχων καὶ τὸ γένειον βεβρεγμένον· ἀλλ' ἐγὼ τὸ πρῶτον οὐδὲν ἐκ τούτων περιειργάσθην. Προχθὲς δὲ πάλιν μεσημβριαζούσης μου συνήθως μετὰ τοῦ ποιμνίου κατὰ τὸν αὐτὸν τόπον, ὁ αὐτὸς τράγος ἀπομακρυνθεὶς καὶ αὖθις ἀπὸ τῆς ποίμνης ἔπραττε τὰ αὐτά· καὶ πάλιν προσελθὼν παρίστατο πρός με μηκάζων, καὶ βλέπων εἰς τὸ πρόσωπόν μου, διάβροχος τὸ γένειον, ὡς ἄν με ἐδίδασκε καὶ διὰ τῆς ἀνάρθρου φωνῆς αὐτοῦ καὶ διὰ τοῦ σχήματος προσκαλῶν, ἵνα τάχιον ἀπέλθω πρὸς ἐκείνην τοῦ ὕδατος τὴν πηγήν· κἀγὼ, ταῦτα βλέπουσα, ἐκινήθην εἰς περιέργειαν, καὶ λίαν ἠπόρουν, καθότι κατ' ἐκεῖνο τὸ χωρίον οὐδαμοῦ ὕδωρ ἐφαίνετο. Διὸ καὶ χθὲς ἐπίτηδες ἀνῆλθον μετὰ τῶν αἰγιδίων εἰς τὸν αὐτὸν τόπον, παρατηροῦσα τὸν τράγον προσεκτικῶς· ὅστις πάλιν, ὡς πρότερον, ἐβάδιζε τὸν δρόμον τὸν αὐτὸν, ὡς ἂν ὑπό τινος ὁδηγούμενος ἀοράτως· κἀγὼ κατόπιν ἐπηκολούθουν κατ' ἴχνος, ἕως ἤλθομεν εἰς τὸ στόμιον τοῦ σπηλαίου. Καὶ τῷ τύπῳ τοῦ σταυροῦ σφραγισθεῖσα συνεισῆλθον τῷ τράγῳ εἰς τὰ ἔνδον τοῦ σπηλαίου, καὶ θεωρῶ τὸν τόπον δεδασωμένον, λόχμην τρέφοντα πολλὴν, ἄλλην τε παντοίαν καὶ βαθύτατον κισσὸν, διὸ καὶ δὲν ἴδον εὐθὺς τὴν πηγὴν τοῦ ὕδατος· ἀλλὰ μετ' ὀλίγον περιεργότερον ἀτενίσασα, βλέπω κρήνην καλλιῤῥόην, διαυγέστατον ἀναβρύουσαν ὕδωρ, καὶ λίαν ἐθαύμαζον καθορῶσα τοῦ τε σπηλαίου τὸ παμμέγεθες κύτος, καὶ πῶς ἀπὸ τοσοῦτον ἀποτόμου καὶ σκληρᾶς πέτρας ὕδωρ ἀναπιδύει. Καί τοι δὲ πολλὰ συλλογιζομένη καὶ δειλιῶσα, πλὴν ἀλλ' ὅμως ἐθάῤῥησα καὶ μέχρι τῆς πηγῆς δειλῷ τῷ βήματι προσελθεῖν, καὶ τῇ σφραγῖδι τοῦ ζωοποιοῦ σταυροῦ καθοπλισθεῖσα προσήνεγκα τὰς χεῖρας, καὶ ἠρυσάμην ἐκ τοῦ ὕδατος, καὶ ἔπιον ὑπερήδιστον ποτὸν, καὶ δοξάζουσα τὸν Θεὸν ἔλεγον. « Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε!

(α) Ἡ σκοπιὰ αὕτη φαίνεται ὅτι ὑπῆρχεν ὁ καθ' ἡμᾶς λοφώδης τόπος, ἐφ' οὗ τὸ παρεκκλήσιον τῶν ἁγίων Πάντων ᾠκοδόμηται, καὶ ὑπ' αὐτὸ, τὸ κοιμητήριον τῶν πατέρων.

πάντα ἐν σοφίᾳ ἐποίησας· τὰ πάντα καλὰ ἔκτισας ἐπ' ὠφελείᾳ καὶ ἀγαθῷ τῶν ἀνθρώπων ». Ταῦτα δὲ λέγουσα, καὶ θεωροῦσα τὰ πέριξ, ἀκούω φωνὴν ἄνωθεν καλοῦσάν με κατ' ὄνομα, καὶ λέγουσαν· « Εὐφροσύνη, Εὐφροσύνη! Ἐγὼ δὲ ἀκούσασα κατεπλάγην, καὶ περιέβλεπον ἄνω καὶ κάτω περίτρομος, καὶ σχεδὸν ἡμιθανὴς ὑπὸ τοῦ φόβου· ἀναβλέψασα δὲ καὶ πρὸς τὰ δεξιὰ τοῦ σπηλαίου, ὅθεν μάλιστα ἐφάνη μοι προσπεσοῦσα ἡ φωνὴ (ὢ τῆς φρικτῆς ἐκείνης θέας!), βλέπω κατέναντι, πρὸς τὰ ἄνω, μεταξὺ τοῦ ἀνέρποντος κισσοῦ καθιδρυμένην τὴν ἁγίαν τῆς Θεομήτορος εἰκόνα, περὶ ἧς μοι καὶ προείπατε· καὶ διὰ τὸ παράδοξον τῆς θέας τοσοῦτος φόβος καὶ τρόμος εἰς τὴν καρδίαν μου περιεχύθη, ὥστε καὶ λειποθυμήσασα κατέπεσα πρηνὴς καὶ ἄφωνος. Οὕτω δὲ διακειμένη, καὶ συνεχῶς κατ' ἐμαυτὴν ἐπιλέγουσα τὸ, « Παναγία Θεοτόκε βοήθει μοι », ἀκούω καὶ ἐκ δευτέρου φωνῆς ἐκ τῆς ἁγίας εἰκόνος θαῤῥυνούσης με καὶ λεγούσης, « Ἐπώνυμε τῆς εὐφροσύνης μὴ φοβοῦ, ὅτι ἐγώ εἰμι ἡ μήτηρ τοῦ Ἰησοῦ Χριστοῦ, τὴν ὁποίαν πάντοτε καὶ νῦν μάλιστα πρὸς ἀντίληψιν ἐπικαλεῖσαι ». Ἀφ' οὗ δὲ ταῦτα ἤκουσα, ἐνεδυναμώθην, καὶ ἀνακύψασα ἀπέτεινον πρὸς ἐκεῖνο τὸ μέρος τὰ βλέμματά μου, ὅπως ἀτενέστερον ἀποβλέψω, ἀλλ' οὐδόλως μοι συνεχωρεῖτο διὰ τὴν λάμψιν, ἥτις ἐκ τῆς ἁγίας εἰκόνος ἐξήστραπτεν ἀκτινοβόλος· καὶ πάλιν ἐπὶ προσώπου καταπεσοῦσα ἔκραζον συνεχέστερον « Παναγία Θεοτόκε βοήθει μοι, καὶ δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ἡ Κυρία μου »· καὶ ἡ φωνὴ ἐπηκολούθει λέγουσα, « Μὴ φοβοῦ, ἀλλὰ θάρσει· καὶ δράμε τάχιστα πλησίον τῆς πατρίδος σου πρὸς ὑπάντησιν τοῦ τε Συμεὼν καὶ Θεοδώρου, τῶν δύω ἀδελφῶν κατὰ σάρκα, καὶ θεοφιλῶν ἱερέων τοῦ υἱοῦ μου καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ, οἵτινες αὔριον ἔρχονται πρός με, καθὼς αὐτοῖς ἀπεκαλύφθη· ἔρχονται δὲ μακρόθεν διδάσκοντες ἀποστολικῶς κατὰ πόλιν καὶ χώραν τὸν σωτήριον τοῦ θείου Εὐαγγελίου λόγον, κατὰ μίμησιν τῶν Ἀποστόλων Παύλου τοῦ κορυφαίου, καὶ Ἀνδρέου τοῦ πρωτοκλήτου, καὶ Λουκᾶ τοῦ Εὐαγγελιστοῦ καὶ ζωγράφου ταύτης μου τῆς εἰκόνος· τούτων τῆς ἀποστολῆς διάδοχοι θείᾳ νεύσει ἀπεστάλησαν. Εἰσὶ δὲ κατὰ τὸ εἶδος τοῦ σώματος ὑψηλοὶ τὸ ἀνάστημα, ἱλαροὶ τὸ πρόσωπον, μεσαιπόλιοι, μακρογένειοι ἀμφότεροι, καὶ πολλὴν ἐν τοῖς προσώποις ἐμφαίνοντες τὴν ὁμοιότητα τῶν χαρακτήρων, ὡς ὁμόγνιοι ἀδελφοί· ἀλλὰ θάῤῥει, καὶ ὕπαγε ἐν εἰρήνῃ ». Ταῦτα ὡς ἤκουσα, κύψασα δουλικῶς καὶ προσκυνήσασα πανευλαβῶς τὴν ἁγίαν εἰκόνα, ἐξῆλθον εὐθὺς κατὰ τὸ θεῖον πρόσταγμα· καὶ σήμερον ἀναστᾶσα πρωΐας ἀνέβην ἐπὶ ταύτην τὴν πέτραν, παρατηροῦσα τὸν δρόμον, καὶ καραδοκοῦσα τὴν ὑμετέραν ἄφιξιν. Ὡς δὲ κατεῖδον ὑμᾶς προσερχομένους ἐγνώρισα ἀπὸ τῶν σημείων, ἐπιτηροῦσα τοὺς χαρακτῆρας· ὅθεν καὶ προσεῖπον ἐξ ὀνόματος, ἀδιστάκτως πεπληροφορημένη, ὅτι ὑμεῖς ἐςε οἱ προσδοκώμενοι πληρωταὶ τῶν θείων καὶ θεομητορικῶν προσταγμάτων καὶ διατά[illegible]

§. γ'. Τότε οἱ ἅγιοι, ἀφ' οὗ καὶ ταύτης τῆς διηγήσεως ἤκουσαν, πολλῆς χαρᾶς ἐμ[illegible]ντες καὶ τὸν Θεὸν ὑπερδοξάσαντες ἔδραμον, ὡς ἄλλαι προφητικαὶ ἔλαφοι, ἐπιποθοῦντες ἐπὶ τὴν καλλίστην ἐκείνην πηγὴν τῶν ὑδάτων, εἰς τὸ ἱερώτατον σπήλαιον, προπορευομένης ὁδηγοῦ τῆς ὁσίας Εὐφροσύνης. Καὶ ὡς ἔφθασαν εἰς τὸ στόμιον τοῦ σπηλαίου, ὅπου ἐναπέκειτο τεταμιευμένος ὁ θεομητορικὸς ἐκεῖνος καὶ θεοδόξαστος θησαυρὸς, κλίναντες τὸ γόνυ τῆς ψυχῆς καὶ τοῦ σώματος προσεκύνησαν τῷ Σωτῆρι Θεῷ μετὰ δακρύων προσευχόμενοι, καὶ ἀναστάντες εἰσέβησαν τὸ σπήλαιον. Ὡς δὲ προσεχώρησαν εἰς τὰ ἐνδότερα, βλέπουσι θέαμα ξένον, καὶ εἰπεῖν καὶ ἀκοῦσαι θαυμαστὸν, πόσῳ δὲ μᾶλλον καὶ αὐτοῖς ἰδεῖν ὀφθαλμοῖς! βλέπουσι, λέγω, ἐναποκειμένην κατὰ τὸ μέσον τοῦ κισσοῦ τὴν ἁγιωτάτην καὶ πανσέβαστον εἰκόνα τῆς ἀειπαρθένου καὶ Θεοτόκου, δόξης ἔμπλεων, καὶ τηλαυγῶς ἀπαστράπτουσαν· καὶ πεσόντες προσεκύνησαν ὑμνοῦντες καὶ εὐλογοῦντες

τὸν Θεόν. Ἀλλὰ τίς γλῶσσα διηγήσεται, ἢ ποῖος νοῦς ἀνθρώπινος ἀξίως κατανοήσει, ὅσης μὲν ἐπλήσθησαν εὐφροσύνης, ὅσους δὲ τότε πρὸς τὸν Θεὸν ἀνέπεμψαν ὕμνους, ὅσα δὲ πρὸς τὴν Θεοτόκον ἐξεφώνησαν ᾄσματα οἱ θεόληπτοι πατέρες Συμεὼν καὶ Θεόδωρος; Τελευταῖον δὲ ἐπέλεγον καὶ ταῦτα ταπεινοφρόνως κατανυγόμενοι μετὰ τοῦ προφήτου· « ὦ τάλανες ἡμεῖς, ὅτι ἄνθρωποι ὄντες, καὶ ψυχὴν καὶ χείλη καὶ στόμα καὶ ὄμματα βέβηλα ἔχοντες, ἠξιώθημεν ἰδεῖν τοιαῦτα καὶ τοσαῦτα θαυμάσια, καθὼς ηὐδόκησε τὸ ἄπειρον ἔλεος τοῦ ἁγίου Θεοῦ, καὶ ἡ χάρις τῆς κυρίας ἡμῶν Θεοτόκου. « Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος »!

§. δ΄. Τοιαύτας καὶ ἄλλας δοξολογικὰς ὑμνῳδίας ἐπιφωνοῦντες οἱ ὅσιοι, ἀκούουσι φωνῆς ἄνωθεν ἐκ τῆς ἁγίας εἰκόνος, ἥτις αὐτοὺς ἐθάῤῥυνε, καὶ παρήγγελλε τὰ πρακτέα, καὶ τὰ κατ᾽ αὐτοὺς καὶ τὸν ἱερὸν τοῦ μεγάλου σπηλαίου τόπον ἐσόμενα προηγόρευε. Κἀκεῖ τὸ μὲν ὑπόλοιπον τῆς ἡμέρας καὶ ὅλην τὴν νύκτα διετέλεσαν οἱ πατέρες εἰς παννύχιον στάσιν καὶ προσευχήν· ἐπὶ δὲ τὴν αὔριον χωρίς τινος ἀναβολῆς ἐπεχείρησαν τὰ πρὸς ἀνακάθαρσιν καὶ τὴν εὐπρέπειαν τοῦ ἱεροῦ σπηλαίου, ὅπερ, ὡς προείπομεν, ὑπῆρχε πλῆρες λόχμης βαθυφύλλου καὶ θάμνων παντοίων, καὶ πανταχόθεν κατεσκεπὲς ἐξ ὕλης πυκνοτάτης, καὶ μάλιστα κισσοῦ καὶ τοιούτων ἄλλων περιπλόκων καὶ πολυελίκτων φυτῶν· ταῦτα δὲ πάντα ἔκρινον εὔλογον ἵνα διὰ πυρὸς ἀφανίσωσι. Προσκυνήσαντες τοίνυν, καὶ κατασπασάμενοι, καὶ ἀναλαβόντες μετὰ δακρύων χαρᾶς καὶ παντοίων εὐφημιῶν τὴν ἁγιωτάτην καὶ θαυματουργὸν εἰκόνα ἐξέφερον ἔξω τοῦ σπηλαίου, καὶ ἀπέθεντο κατὰ μέρος· καὶ ἔπειτα πῦρ ἐμβαλόντες τὴν ὕλην ἅπασαν ἀπετέφρωσαν. Ἤδη δὲ τοῦ ἐμπρησμοῦ ἀρχομένου πρᾶγμα παράδοξον καὶ τῶν ἐφεξῆς θαυμάτων προοίμιον ἐνήργησεν ἡ ἐν τῇ ἁγίᾳ εἰκόνι ἐπισκιάζουσα χάρις τῆς Θεοτόκου, τὸ ἐφεξῆς.

§. ε΄. Δράκων ὑπερμεγέθης καὶ φοβερὸς ἐνεφώλευε πρὸς τὰς ῥίζας τοῦ σπηλαίου κατ᾽ αὐτὸν τὸν βαθύτατον πυθμένα (ὅπου κεῖται τανῦν ἡ οἰνοθήκη), ὅστις αἰσθανόμενος τὴν θέρμην τῆς ἀναδιδομένης πυρκαϊᾶς, ἀνεπήδησε βιαίως, ὡς ἂν πτερά τινα δανεισθεὶς παρὰ τοῦ ἀρχεκάκου δράκοντος, καὶ ἀνετινάχθη πρὸς ὕψος ἀκοντισθείς, καὶ τοσοῦτον ἐπήρθη μετέωρος, ὥστε καὶ αὐτὸ τὸ στόμιον τοῦ σπηλαίου ὥρμησε διεξελθεῖν, ὅπως ἀποφύγῃ τὸν κίνδυνον· ἀλλὰ παραδόξως βολίς τις ἀστραπόμορφος, ὡς ταχύπτερος ὀϊστὸς, ἐκ τῆς ἁγίας ἐξῆλθεν εἰκόνος, ἥτις τὸ φοβερὸν ἐκεῖνο τέρας μετέωρον φερόμενον καιρίως βαλοῦσα κατέτρωσε θανασίμως. Καὶ ἔπεσεν ὁ δράκων περὶ τὸ στόμιον τοῦ σπηλαίου συστρεφόμενος καὶ ἀνελισσόμενος, καὶ τὸ ἔδαφος πατάσσων, καὶ συρίζων φοβερόν. Ἐν δὲ τούτῳ καὶ ἡ φλὸξ αὐτὸν καταλαβοῦσα τὸ μὲν ἄλλο σῶμα κατέκαυσεν, ἐκ δὲ τῶν [illegible]έων ἀφῆκε λείψανα εἰς τὴν σποδιὰν καταχωσθέντα πρὸς ἔνδειξιν καὶ μνήμην τοῦ θηρίου· ἐσώ[illegible] ὀστέα μέχρι καὶ τῆς ἐσχάτης τοῦ Μοναστηρίου πυρκαϊᾶς, τῆς κατὰ τὸ ͵αωμ΄ ἔτος συμβάσης, περὶ ἧς προείπομεν εἰς πλάτος ἐν τῇ ἱερᾷ τοῦ Μοναστηρίου Χωρογραφίᾳ (Κεφ. ς, §. γ.). Τὸ δὲ τοιοῦτον τερατῶδες εἶδος τοῦ δράκοντος, καὶ ἡ τούτου ἀπώλεια καὶ καταστροφὴ προεικόνιζεν (οἶμαι) τὸν ἀφανισμὸν τῶν τοῦ νοητοῦ καὶ ψυχοφθόρου δράκοντος ὀλεθρίων ἐπιβουλῶν καὶ μυρίων καταδρομῶν, ὅσας πολλάκις κατὰ τοῦ ἱεροῦ καὶ μεγάλου Σπηλαίου ἀναῤῥιπίσας ἐματαιώθη, καὶ ὡς καπνὸς ἠφανίσθη· διότι τὸ ἱερὸν τοῦτο σκήνωμα ἠρετίσατο ἡ Θεοτόκος καὶ ἐξελέξατο εἰς κατοίκησιν τῆς ἁγιωτάτης εἰκόνος καὶ τῆς χάριτος αὐτῆς.

§. ς΄. Ἀφ᾽ οὗ λοιπὸν διὰ τῆς σπουδῆς τῶν ἁγίων κατεκάη ἡ ὕλη, καὶ σύμπας ὁ τόπος τοῦ ἱεροῦ σπηλαίου πανταχόθεν ἐκαθαρίσθη, ἀνεφάνη καὶ ἡ ἁγία τράπεζα, ὅπου (καθὼς ἀνέκαθεν καὶ εἰς ἡμᾶς ἐπεφήμισεν ἡ παράδοσις) αὐτὸς ὁ Εὐαγγελιστὴς Λουκᾶς ἱερούργει τὴν ἀναίμακτον θυσίαν ἐπιτελῶν.

Ἡ εὕρεσις τῆς Ἁγίας Εἰκόνος.



Ὅτι μὲν οὖν τὸ ἱερὸν σπήλαιον διετέλει καὶ ἐπὶ τῶν Ἀποστόλων εἰς τὸ κλίμα τῆς Ἀχαΐας, παντί που δῆλον (α). Τὴν δ' Ἀχαΐαν εὐηγγελίσατο Παῦλος ὁ μέγας Ἀπόστολος μετὰ τὸν πρωτόκλητον Ἀνδρέαν ἐπελθών, ὅστις γράφων πρὸς Κορινθίους μνημονεύει καὶ τοὺς ἄλλους τοὺς πιστοὺς, καὶ τοὺς ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας, καὶ τούτους ὡς ἐξαίρετον ἑαυτοῦ καύχημα ἐπαινεῖ (β). Τοῦ δὲ Παύλου συνέκδημος καὶ συνεργὸς ὑπῆρξε καὶ Λουκᾶς ὁ Εὐαγγελιστὴς ἀλλαχοῦ τε παρακολουθῶν, καὶ κατ' αὐτὴν τὴν Ἀχαΐαν, ἣν καὶ ὕστερον αὐτὸς καθ' ἑαυτὸν εὐαγγελικῶς περιήρχετο· ὅθεν καὶ ὁ μακάριος Ἱερώνυμος πρὸς τοῖς ἄλλοις μαρτυρεῖ ὅτι καὶ τὸ κατ' αὐτὸν ἅγιον Εὐαγγέλιον ὁ ἱερὸς Λουκᾶς ἐν Ἀχαΐᾳ συνέγραψε· λέγει δὲ ταῦτα ἐπὶ λέξεως ὁ θεσπέσιος Ἱερώνυμος. « Τρίτος (τῶν Εὐαγγελιστῶν ἐστι) Λουκᾶς ὁ ἰατρὸς, ὁ τὸ γένος μὲν Σύρος, τὴν πατρίδα δὲ Ἀντιοχεὺς, οὗτινος ὁ ἔπαινος ἐν τῷ Εὐαγγελίῳ, ὅστις, καὶ αὐτὸς μαθητὴς ὢν τοῦ Ἀποστόλου Παύλου, ἐν τοῖς Ἀχαΐας καὶ Βοιωτίας μέρεσι τὸ τεῦχος (τοῦ Εὐαγγελίου) συνέγραψε » κτλ. (γ). Λέγεται δὲ καὶ ὅτι καὶ εἰς αὐτὸ τὸ μέγα σπήλαιον εἰσερχόμενος, χάριν ἡσυχίας, συνέγραψε τὸ Εὐαγγέλιον ὁ ἱερώτατος Λουκᾶς, καὶ περὶ τούτου διελάμβανον καὶ τὰ παλαιὰ χρυσόβουλλα, ὡς Νικόλαος ὁ Μαλαξὸς, ὁ Πελοποννήσιος βεβαιοῖ (δ). Καὶ παράδοξον οὐδὲν, ἂν καὶ τὸ μέγα Σπήλαιον ὑπηρέτησε τῷ θεοπνεύστῳ Εὐαγγελιστῇ εἰς τὴν συγγραφὴν τοῦ Εὐαγγελίου, καθὼς καὶ τὸ τῆς Πάτμου σπήλαιον ὑπηρέτησε τῷ θεολόγῳ Ἰωάννῃ εἰς τὴν συγγραφὴν τῆς θείας Ἀποκαλύψεως. Οὕτως ὁ ἐν Σπηλαίῳ γεννηθεὶς ἐν σπηλαίοις ηὐδόκησεν ἀποκαλύψαι καὶ τὸν λόγον τῶν τῆς πίστεως μυστηρίων εἰς τοὺς δύω τούτους ἀποστόλους καὶ κήρυκας τῆς θεότητος αὐτοῦ. Τότε δὲ, συγγράφων ὁ ἱερὸς Λουκᾶς τὸ Εὐαγγέλιον, ἔκλα καὶ τὸν θεῖον ἄρτον, κοινωνῶν καὶ μετα-

---

(α) Ἀχαΐα κυρίως μὲν ἡ γνωστὴ τῆς Πελοποννήσου ἐπαρχία· ἤδη δὲ ἐπὶ τοῦ Πολυβίου (κατὰ τὸ 120 π. Χ.) καὶ αὐτὴ ἡ Ἀρκαδία καὶ ὅλη ἡ Πελοπόννησος ὠνομάζετο Ἀχαΐα (Πολυβ. β. 36)· ἐπὶ δὲ τῶν Καισάρων καὶ ὅλη ἡ Ἑλλὰς, ἡ τὴν Πελοπόννησον καὶ τὴν Θεσσαλίαν περιέχουσα μέχρι Μακεδονίας· ὅθεν οἱ Ῥωμαῖοι καθυποτάξαντες τὴν Ἑλλάδα διῄρουν εἰς δύω ἐπαρχίας, Ἀχαΐαν καὶ Μακεδονίαν. Ἀλλὰ καὶ τὸ πάλαι ἐπὶ Ὁμήρου (ἰλ. Β. 684) βλέπομεν Ἀχαΐαν καὶ Ἀχαιοὺς καλουμένους οὐ μόνον τοὺς ἐν Θεσσαλίᾳ Φθιώτας (ἐξ ὧν ἐλθόντων εἰς τὴν Πελοπόννησον ὠνομάσθη κἀκεῖ ἡ Ἀχαΐα. Στράβ. η, 365, 383, 429), ἀλλὰ καὶ τοὺς Λακεδαιμονίους, καὶ τοὺς Ἀργείους (Παυσ. Ζ. α), καὶ πάντας ἐν γένει τοὺς Ἕλληνας (ἰλ. α. 2. β, 120, 123 κτλ. πρβ. καὶ Εὐστάθ. παρεκβ. αὐτόθ.)

(β) Β. Κορινθ. ια. 10. πρβ. καὶ α, 1, 21.

(γ) Tertius Lucas medicus natione Syrus, Antiochensis, cujus laus in Evangelio, qui et ipse discipulus Apostoli Pauli, in Achaiæ Bœotiæ que partibus volumen condidit, etc. S. Hieron. Com. in S. Mathæum. Ὁ δὲ παλαιὸς τοῦ Εὐαγγελίου Σύρος μεταφραστὴς ἐσημείωσεν, ὅτι ὁ θεῖος Λουκᾶς τὸ κατ' αὐτὸν Εὐαγγέλιον ἐξέδωκεν εἰς τὴν Ἀλεξάνδρειαν τὴν μεγάλην, ἢ τὴν τῆς Τρῳάδος (ὅπου καὶ συνέκδημος ἦν μετὰ τοῦ Ἀποστόλου Παύλου, ὡς αὐτὸς ὁ Λουκᾶς μαρτυρεῖ, Πραξ. ις. 11.). Ἀλλ' ἡ γνώμη αὕτη οὐδεμίαν ἀπόδειξιν ἔχει· ἡ δὲ τοῦ Ἱερωνύμου μαρτυρία βεβαιοῦται καὶ ἐκ τῆς Ἐκκλησιαστικῆς Ἱστορίας, ἥτις ἡμῖν παρέδωκε τὸν Ἀπόστολον Λουκᾶν καὶ ἐν Ἀχαΐᾳ κηρύξαντα, καὶ ἐν Θήβαις τῆς Βοιωτίας ἐπισκοπεύσαντα, ὅπου καὶ τὸν στέφανον ἐδέξατο τοῦ μαρτυρίου (βλέπ. βίον Ἀποστόλ. Λουκᾶ.). Εἰς τὰς Θήβας ἀπέκειτο καὶ τὸ Ἀποστολικὸν αὐτοῦ καὶ ἁγιώτατον σῶμα μέχρι Κωνσταντίου τοῦ Αὐτοκράτορος, ὅστις μετεκόμισεν αὐτὸ εἰς Κωνσταντινούπολιν, καὶ ἀπέθετο ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων (βλ. S. Hieronym. adv. Vigilant. — Θεοδώρ. Ἀναγνώς. ἱς. βιβ. Β. 6. — Βίον τοῦ ἁγίου μάρτυρ. Ἀρέθα, καὶ Βίον τοῦ Ἀπος. Λουκᾶ.)

(δ) Βλ. Πηδάλ. σελ. 72. Σημείωσ.

διδων εἴς τινας τῶν ὀπαδῶν αὐτοῦ καὶ συνεργῶν τὸ σῶμα τοῦ Κυρίου. Καὶ πρὸς τὴν ἱερουργίαν λοιπὸν τοῦ μυστηρίου εἶχεν αὐτοσχέδιόν τινα κόγχην τοῦ Σπηλαίου ὡς θείαν τράπεζαν, ὁ ἱερουργὸς Εὐαγγελιστής· ἣν πάλιν αὐτὸς οὗτος ἴσως ἐδήλωσε τότε πρὸς τοὺς θείους πατέρας ἐν ὁράματι, καθὼς καὶ εἰς τὰς ἄλλας ὁράσεις, ἐπιφανείς· ὅθεν καὶ μέχρι σήμερον ὀνομάζεται ἡ ἱερουργικὴ τράπεζα τοῦ Εὐαγγελιστοῦ Λουκᾶ. Τοῦτο λοιπὸν τότε τὸ μικρὸν θυσιαστήριον οἱ θεόληπτοι πατέρες ἀνευρόντες ἐν τῷ σπηλαίῳ, καὶ ὁπωσδήποτε μεγεθύναντες ὕστερον ἔκτισαν περὶ αὐτὸ ναὸν μικρὸν καὶ αὐτοσχέδιον (ὅπου καὶ οἱ ἐφεξῆς μονάζοντες τὰς ἱερὰς συνάξεις μέχρι τινὸς ἐποιοῦντο). Εἰς ταύτην τὴν ἱερουργικὴν τοῦ Ἀποστόλου τράπεζαν εὕρηται καὶ τὸ σωζόμενον Τρίμορφον (καθὼς διεγράψαμεν ἐν τῇ Χωρογραφίᾳ τοῦ ἱεροῦ Μοναστηρίου)· ἀλλὰ ταῦτα μὲν ὕστερον. Τότε δ' εὐθὺς οἱ τρισμάκαρες πατέρες ἐπὶ ταύτης τῆς κογχοειδοῦς τραπέζης ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ἀναλαβόντες ἐναπέθηκαν τὴν χαριτόβρυτον εἰκόνα· αὐτοῦ δέ που πλησίον εὕρηκαν αὐτὴν καὶ τὸ πρῶτον ἀποκειμένην ὑπεράνωθεν τῆς ἀναβλυζούσης πηγῆς, μεταξὺ τῆς λόχμης τοῦ κισσοῦ· καὶ αὐτοῦ παρέμενεν ἐν τῷ καθεξῆς ὑπὸ τῶν πατέρων καθιδρυθέντι μικρῷ ναϊδίῳ φυλαττομένη μέχρι καιροῦ· ἀφ' οὗ δὲ μετέπειτα κατεσκευάσθη ὁ καθολικὸς ναὸς μετατεθεῖσα ἀνεστηλώθη ὅπου καὶ νῦν εὑρίσκεται, κατὰ τὸ κλίτος τὸ δεξιόν, ὡς προείπομεν (Χωρογρ. κεφ. δ. §. ι.)

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ τῆς ἐν τῷ ἁγίῳ Σπηλαίῳ πρώτης καθιδρύσεως τοῦ Μοναστηρίου, καὶ τῆς μακαρίας τῶν ὁσίων τελευτῆς.

§. α. Εὑρεθείσης δὲ ἤδη τῆς εἰκόνος, καὶ τοῦ μεγάλου Σπηλαίου εἰς ναὸν Κυρίου, διὰ τοῦ Κυρίου μεταβληθέντος, εὐθὺς ἡ πολύγλωττος φήμη καὶ μεγαλόφθογγος (ὅταν μάλιστα τύχῃ μηνύτρια θείων οἰκονομιῶν καὶ παραδόξων θαυμάτων διάγγελος) ὀξὺ πετάσασα πτερὸν, διέτρεχε, διαλαλοῦσα τὰ κατὰ τὸ μέγα Σπήλαιον οὐ μόνον εἰς τοὺς ἐγγὺς κατῳκημένους περιοίκους, ἀλλὰ καὶ εἰς πᾶσαν τὴν Πελοπόννησον· ὅθεν οἱ φιλόχριστοι, καὶ οἱ μακρὰν καὶ οἱ ἐγγὺς κατοικοῦντες, πᾶσα τάξις καὶ ἡλικία, καὶ νοσοῦντες καὶ ὑγιαίνοντες συνέτρεχον μετὰ πολλῆς σπουδῆς· οἱ μὲν ὑγιαίνοντες, ὡς ἂν εἰς ἄλλην ἁγίαν Σιὼν καὶ νέαν τινὰ Βηθλεέμ, ἀντίτυπον ἐκείνου τοῦ θεοδόχου Σπηλαίου, ἵνα καὶ τὸν ἱερὸν τόπον ἱστορήσωσι, καὶ τοὺς ὁσίους τιμήσωσι τῆς παρ' αὐτῶν ἀξιούμενοι διδασκαλίας καὶ εὐλογίας, καὶ αὐτὴν δὲ πρώτιστα καὶ μάλιστα τὴν πάνσεπτον εἰκόνα τῆς Θεοτόκου προσκυνήσωσιν, αὐτόπται γενόμενοι· οἱ δὲ πάλιν ἀσθενεῖς, καὶ ποικίλαις συνεχόμενοι νόσοις ἠπείγοντο ὡς ἂν εἰς ἄλλην παντοίας ἀσθενείας ἀλεξιτήριον κολυμβήθραν τοῦ Σιλωὰμ, ὅπως ἀναλάβωσι παραδόξως τὴν κατ' ἄμφω θεραπείαν· καὶ οὗτοι δὲ κἀκεῖνοι ὑπέστρεφον μετὰ χαρᾶς μεγάλης δοξάζοντες τὸν Θεὸν, καὶ τὴν μητροπάρθενον Θεοτόκον. Ἤδη δέ τινες ἀνεμιμνήσκοντο καὶ πολλὰς πατρίους αὐτῶν παραδόσεις καὶ διηγήσεις, ὅσας ἤκουον περὶ τῶν εἰς τὴν Ἀχαΐαν τὸ πρῶτον εὐαγγελισαμένων Ἀποστόλων, Παύλου, καὶ Ἀνδρέου, καὶ αὐτοῦ μάλιστα τοῦ θείου Λουκᾶ (οἷον, ὅτι ζωγράφος ὑπῆρχεν ὁ Εὐαγγελιστὴς, καὶ τὸ Εὐαγγέλιον συνέγραψε κατὰ τὴν Ἀχαΐαν, καὶ ὅσα τοιαῦτα τοπικὰ τῆς Ἀποστολικῆς ζωῆς ὑπομνήματα)· διότι μόλις ἤδη ἦσαν παρελθόντες τρεῖς αἰῶνες ἀφ' ὅτου διατρίψαντες εἶχον οὗτοι οἱ Ἀπόστολοι εἰς τὰ κλίματα τῆς Ἀχαΐας. Οἱ δὲ

τῶν Ἀποστόλων ἀμέσως αὐτόπται τότε γενόμενοι καὶ αὐτήκοοι Ἀχαιοὶ καὶ ἄλλοι Πελοποννήσιοι διηγοῦντο τὰ κατ' αὐτούς, ἐξιστοροῦντες πρὸς τοὺς ἰδίους αὐτῶν υἱούς· οὗτοι δὲ πάλιν πρὸς τοὺς ἐκγόνους· ὥστε καὶ πολλοὶ τῶν κατὰ τὴν εὕρεσιν τῆς ἁγίας εἰκόνος ζώντων πιστῶν, μόλις ἤδη πέντε ἢ ἓξ γενεὰς μετὰ τοὺς Ἀποστόλους γενόμενοι, ἐγνώριζον τὰ κατ' αὐτούς, παῖς παρὰ πατρὸς λαμβάνοντες τὰς παραδόσεις. Διετήρουν δὲ ταύτας ἴσως καὶ γραπτὰς ἐν τοῖς τότε σωζομένοις ὑπομνήμασιν αἱ Ἐκκλησίαι τῆς Ἀχαίας (καθὼς καὶ τὸ μαρτύριον τοῦ ἁγίου Ἀνδρέου οἱ τότε τῆς Ἀχαΐας πρεσβύτεροι συνέγραψαν). Καὶ ἔχαιρον λοιπὸν οἱ τότε τῶν ὁσίων πατέρων ἀκουσταὶ ἀγαλλόμενοι ἐν πνεύματι, διότι ἔβλεπον τὰ παρόντα θεῖα χαρίσματα σύμφωνα πρὸς ὅσα κατὰ παράδοσιν ἐγίνωσκον.

§. ϐ'. Οἱ δὲ ἅγιοι βλέποντες τὸ πλῆθος τῶν μετ' εὐλαβείας καὶ πίστεως συντρεχόντων, ἐδόξαζον κατὰ πάντα καὶ διὰ πάντα τὸν Θεόν, ὅστις, ὡς μόνος αὐτὸς οἶδε, πολυτρόπως τὰ πρὸς σωτηρίαν τῶν ἀνθρώπων οἰκονομεῖ· καὶ τοὺς προσερχομένους ἀδιαλείπτως ἐδίδασκον τὸν θεῖον τῆς πίστεως λόγον καὶ τὰς ἀποστολικὰς παραδόσεις, ὅσας εἴτε ἐγγράφως, εἴτε ἀγράφως καὶ διὰ λόγου παρέδωκαν. Ὑπεμίμνησκον δὲ τοὺς προσιόντας καὶ τὴν ἐν Χριστῷ εὐγένειαν τῶν ἀρχαίων αὐτῶν προγόνων, καὶ τὸν ἔνθεον ζῆλον, ὅστις εἰς τὰς ψυχὰς αὐτῶν ἐβασίλευε (καθὼς καὶ ὁ Ἀπόστολος Παῦλος ἐκείνους ἐπαινῶν, καύχημα τοῦ κατ' αὐτὸν Εὐαγγελίου ὠνόμαζε, γράφων πρὸς τοὺς Κορινθίους καὶ πάντας τοὺς πιστοὺς τῆς Ἀχαίας τὰ ἐφεξῆς. « Καὶ ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους, ὅτι καύχημα ὑμῶν ἐσμέν, καθὼς καὶ ὑμεῖς ἡμῶν »). Ἐκ τοιούτων λοιπὸν καταγομένους πατέρων, παρῄνουν αὐτοὺς οἱ χριστοκήρυκες τῶν Ἀποστόλων διάδοχοι, ἵνα καὶ αὐτοὶ διά τε τῆς εὐσεβείας καὶ τῶν θεοφιλῶν αὐτῶν ἔργων ἀποδείξωσιν ἑαυτοὺς ἀξίους ἐκείνων τῶν ἁγίων ἀνδρῶν, ὧν υἱοὶ καὶ ἀπόγονοι ἐχρημάτιζον, ὅπως πληρωθῇ καὶ εἰς αὐτοὺς ἡ εὐαγγελικὴ ἐκείνη φωνὴ ἡ θεσπίζουσα, « ὅτι ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται ». « Καὶ ἄλλως δὲ (ἔλεγον πρὸς αὐτοὺς) ὑμεῖς ὀφείλετε μάλιστα πρὸς πολλοὺς καὶ ἄλλους λαοὺς ὑπόδειγμα παρέχειν βίου χριστιανικοῦ, ἄσβεστον τρέφοντες τὸ πνεῦμα καὶ τὸν ζῆλον τῆς Εὐαγγελικῆς πίστεως καὶ ἀρετῆς· διότι κατηξιώθητε ποτισθῆναι τὸ πνευματικὸν ἄδολον γάλα τῆς ὀρθοδόξου πίστεως ὑπ' αὐτῶν ἀμέσως τῶν θεσπεσίων Ἀποστόλων, οἵτινες πρῶτοι συνέπηξαν καὶ συνέστησαν τὴν Ἀποστολικὴν Ἐκκλησίαν τῆς Κορίνθου καὶ πάσης τῆς Ἀχαΐας, καὶ οὕς τινας πρὸς πολλὰ μὲν ἔθνη τῶν πιστῶν ἐξαίρετον προβάλλεσθε καύχημα, πρὸς αὐτὸν δὲ τὸν τῶν ὅλων Θεὸν θερμοὺς ἀείποτε πρέσβεις καὶ μεσίτας, συμπρεσβευούσης καὶ τῆς ἀχράντου Θεομήτορος ». Ταῦτα καὶ τὰ τοιαῦτα διδάσκοντες τοὺς ἐπερχομένους ᾠκοδόμουν εἰς τὴν εὐσέβειαν καὶ τὴν ἀρετήν, ἀδιαλείπτως ἀγωνιζόμενοι νύκτα καὶ ἡμέραν. Καὶ ἔρρεεν ἡ μελίρρυτος καὶ ἀποστολικὴ τῶν ἁγίων διδαχὴ ὡς ἄλλος χρυσοῤῥόας Νεῖλος, ἢ μᾶλλον, ὡς ἄλλη τις πηγὴ τοῦ παραδείσου, ἥτις ἀνέβαινε καὶ ἐπότιζε οὐ μόνον τὴν Πελοπόννησον, ἀλλὰ καὶ πολλοὺς ἄλλους ἔξωθεν ἐρχομένους λαούς. Οὕτως οὖν κατήρτιζον καὶ αὐτοὶ κατὰ μέρος τὸ τῆς ἁγίας καθολικῆς, καὶ ἀποστολικῆς Ἐκκλησίας χριστεπώνυμον πλήρωμα, ὅπερ ἐξηγοράσθη κατὰ τὸν Ἀπόστολον « οὐ χρυσίῳ καὶ ἀργυρίῳ, ἀλλὰ τῷ τιμίῳ αἵματι τοῦ Ἰησοῦ Χριστοῦ ».

§. γ'. Ἀφ' οὗ δὲ καθαρίσαντες ἐκάλλυναν τὸ ἱερώτατον σπήλαιον, καὶ καθίδρυσαν μὲν τὸν εὐαγῆ Ναόν, συνέπηξαν δὲ καί τινας μικρὰς κελλίων καλύβας πρὸς ἄνεσιν τῶν προσερχομένων, δὲν ἀνεπαύθησαν οἱ τρισόλβιοι χριστοκήρυκες, οὐδὲ περιέμενον ἵνα συνέρχωνται πρὸς αὐτοὺς οἱ ἀκροαταί· ἀλλὰ καταλιπόντες εἰς ἐπιστασίαν τοῦ νεοδμήτου μονυδρίου ἕνα τινά, τὸν σεβασμιώτερον τῶν εἰς

ἄσκησιν καταμεινάντων καὶ τὴν μοναδικὴν ἐν Χριστῷ πολιτείαν ἐκλεξαμένων ἀδελφῶν, αὐτοὶ πάλιν ἀνέλαβον τὴν φροντίδα τοῦ κηρύγματος τοῦ ἀποστολικοῦ. Καὶ παρῆν λοιπὸν ὁρᾷν καὶ θαυμάζειν τὴν ἔνθερμον καὶ πολύζηλον ταχύτητα, μεθ' ἧς ἐφέροντο οἱ μακάριοι, ὡς ἄλλοι τινὲς ὀξυπετεῖς ἀετοί, ἀκάματοι διατρέχοντες πᾶσαν πόλιν καὶ χώραν τῆς Πελοποννήσου· καὶ νῦν μὲν τὰ περὶ τὴν Κόρινθον ἐπήρχοντο καὶ τὴν Σικυῶνα, ἄλλοτε δὲ τὸ Ἄργος, κἀκεῖθεν τὴν Ἐπίδαυρον, καὶ πάλιν τὰς Ἀμύκλας, καὶ τοὺς Λάκωνας, ἄλλοτε δὲ τοὺς Ἠλείους καὶ Μεσσηνίους καὶ τοὺς Ἀρκάδας, καὶ αὖθις τοὺς Ἀχαιούς· καί ποτε μὲν ἀμφότεροι συνερχόμενοι, ποτὲ δὲ κατὰ μέρος ἑκάτερος, καὶ νῦν μὲν εἰς τὰς ἐπισημοτέρας τῶν πόλεων ἐμφιλοχωροῦντες, νῦν δὲ τὰ μικρὰ χωρία ἐπὶ πλέον ἐπισκεπτόμενοι, τὴν Εὐαγγελικὴν εὐσέβειαν ἐκαλλιέργουν, ὡς ἄλλοι μετὰ τοὺς δώδεκα δύω Ἀπόστολοι.

§. δ'. Διήρχοντο δὲ τὰς χώρας ταύτας οὐχὶ ταχέως καὶ ῥαδίως, καθὼς ὁ λόγος ὁ προφορικὸς ὀξέως αὐτὰς διέρχεται, οὐδὲ χωρὶς κακουχιῶν καὶ βασάνων· ἀλλὰ πολλοὺς μὲν ὑπέφερον κινδύνους καὶ διωγμούς, πολλὰς δὲ θλίψεις ὑπὸ τῶν δυσσεβῶν· πολλάκις δὲ καὶ δεσμὰ καὶ φυλακὰς καὶ ῥαβδισμοὺς ὑπὸ τῶν κατὰ τόπους τυράννων, ἀφ' οὗ μάλιστα τὸ κράτος τῆς Βυζαντινῆς Αὐτοκρατορίας περιῆλθε (κατὰ θείαν παραχώρησιν) εἰς τὸν ἀποστάτην Ἰουλιανόν, καὶ τοὺς εἰδωλολατροῦντας αὐτοῦ ὑπηρέτας (ἀπὸ τοῦ 361—363). Ἀλλ' ἐν πᾶσιν ἴσχυον οἱ χριστοκήρυκες ἐν τῷ ἐνδυναμοῦντι αὐτοὺς Χριστῷ, καὶ διὰ τῆς ὑπομονῆς αὐτῶν καὶ καρτερίας ἀπέβησαν ὁμολογηταὶ καὶ μάρτυρες τῇ προαιρέσει καὶ τοῖς ὑπὲρ Χριστοῦ παθήμασι, « βαστάζοντες καὶ αὐτοὶ τὰ στίγματα τοῦ Κυρίου ἐν τῷ σώματι αὐτῶν ».

§. ε'. Ἤδη δὲ τοῦ κράτους τῆς εὐσεβείας ἀναλάμψαντος μετὰ τὸν θάνατον τοῦ ἀποστάτου, πολλοὶ τῶν χριστιανῶν εὐγνωμονοῦντες πρός τε τὰς ἀναριθμήτους εὐεργεσίας καὶ τὰς ἰάσεις, ὅσας παρὰ τῆς θαυματουργούσης χάριτος τῆς θεομητορικῆς εἰκόνος ἀπήλαυον καθ' ἑκάστην, καὶ πρὸς αὐτῶν δὲ τῶν ὁσίων πατέρων τοὺς ἀποστολικοὺς ἀγῶνας καὶ τὰς ὑπὲρ τῆς Ἐκκλησίας βασάνους καὶ κακουχίας, ἤθελον προθύμως ἵνα καλλωπίσωσι τὸ ἱερώτατον Σπήλαιον, ναόν τε περικαλλῆ καθιδρύσαντες καὶ ἄλλας οἰκοδομάς· ἀλλ' οἱ ἅγιοι πρὸς αὐτοὺς ἀπεκρίθησαν. « Ὅτι, καθὼς θεόθεν ἐχρηματίσθησαν, οὔτ' εἰς τὸν καιρὸν αὐτῶν, οὔτε κατὰ τοὺς δευτέρους αὐτῶν διαδόχους, ἀλλὰ μετὰ πολλοὺς χρόνους οἰκοδομηθήσεται τὸ ἱερὸν τοῦτο καὶ μέγα Σπήλαιον εἰς δόξαν Θεοῦ, καὶ τιμὴν τῆς Θεοτόκου, καὶ ψυχωφελὲς καύχημα τῶν ὀρθοδόξων »· ὅπερ καὶ ἐγένετο κατὰ τὴν πρόῤῥησιν τῶν ἁγίων. Διότι χρόνους ἱκανοὺς ὕστερον οἱ ὀρθόδοξοι Αὐτοκράτορες ναόν τε περικαλλέστατον καθιδρύσαντο, καὶ πάντα τὰ κατὰ τὸ θεόδμητον τοῦτο σκήνωμα τῆς Θεοτόκου βασιλικῶς αὐξήσαντες ἀνεκαίνισαν. Τούτων δὲ τῶν ἀοιδίμων Αὐτοκρατόρων ἀρχηγέτην (ὅσον ἐκ τῶν σωζομένων ἀποδείξεων) καὶ κορυφαῖον γνωρίζομεν Ἀνδρόνικον, τὸν Γέροντα, τὸν Παλαιολόγον (καθὼς ἔμπροσθεν εἰς τὴν Χωρογραφίαν τοῦ Μοναστηρίου προείπομεν κεφ. ς. §. γ.). Τὰ δὲ πρὸ τούτου ἄδηλα πεποίηκε καὶ ἀσαφῆ ὁ κατὰ τὸ 1640 συμβὰς τῆς Μονῆς ἐμπρησμός, μέγιστος γενόμενος τῶν, εἴτινες καὶ ἄλλοι μνημονεύονται, καὶ ὀλεθριώτατος, καταφαγὼν τὰ τῆς Μονῆς ἀρχεῖα καὶ τὰ χρυσόβουλλα. Πολλὰ δὲ καὶ ὑπὸ τῶν ἐφεξῆς Αὐτοκρατόρων καὶ τῶν Δεσποτῶν τῆς Πελοποννήσου καὶ ποικίλα καθιερώθησαν εἰς τὸ Μοναστήριον, ἐξ ὧν ὀλίγα τινὰ καὶ μέχρι τῆς σήμερον διατηροῦνται καὶ σώζονται ὑπὸ τὴν δεσποτείαν καὶ διοίκησιν τοῦ Μεγάλου Σπηλαίου, καθὼς ἐν τῇ ἱερᾷ Χωρογραφίᾳ τοῦ Μοναστηρίου προϊστορήθη. Καὶ ταῦτα μὲν ἐξέβησαν ὕστερον.

§. ς'. Τότε δὲ οἱ θεόληπτοι πατέρες ἡμῶν ἔμπλεοι τῶν ἀποστολικῶν χαρισμάτων διατελοῦντες

ἠγωνίζοντο τὸν καλὸν ἀγῶνα τῆς Εὐαγγελικῆς τελειότητος· « ὥστε (κατὰ τὸν Ἀπόστολον) « μὴ ὑστερεῖσθαι αὐτοὺς ἐν μηδενὶ χαρίσματι, ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ». Καὶ τὴν πίστιν τηρήσαντες, καὶ τὸν δρόμον τελέσαντες, ἤδη πλήρεις ἡμερῶν ἐν γήρᾳ λιπαρῷ καὶ βαθυτάτῳ μετήλλαξαν τὸν βίον, ἐκδημήσαντες ἐκ γῆς εἰς τοὺς οὐρανούς. Καὶ τὰ μὲν ἱερὰ καὶ πολύπονα αὐτῶν σώματα τῇ γῇ παρέδωκαν, τὰς δὲ τρισολβίους αὐτῶν ψυχὰς εἰς χεῖρας Θεοῦ· προσαναμένουσι δὲ τὸν ἀμαράντινον τῆς δικαιοσύνης στέφανον, ὃν ἀποδώσει αὐτοῖς ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, εἰς τὴν δευτέραν παρουσίαν αὐτοῦ, κατὰ τὸν θεηγόρον Ἀπόστολον, οὗ τινος ὑπῆρξαν μιμηταὶ καὶ κατὰ πάντα ὀπαδοί, καὶ διάδοχοι τοῦ κηρύγματος. Ὡς δὲ τούτους ζῶντας, οὕτω καὶ μετὰ θάνατον ἐπὶ τῆς γῆς ἐθαυμάστωσεν ὁ Κύριος, κρουνοὺς θαυμάτων τὰς ἱερὰς αὐτῶν σοροὺς ἀναδείξας. « Ἀένναος γὰρ ἡ χάρις τοῦ πνεύματος, καὶ τὰς ἀκενώτους αὐτῆς δωρεὰς πρὸς τὰς γνώμας τῶν εὐσεβούντων ἐπιμετρεῖ ». Ἀνεπαύθησαν δὲ οὐχὶ κατὰ τὴν αὐτὴν ἡμέραν ἀμφότεροι· ἀλλὰ πρότερον μὲν ὁ ἱερὸς Συμεών, μετὰ δ' ἡμέρας ὀλίγας καὶ ὁ θεοδώρητος Θεόδωρος, ἀμφότεροι τὸ ἑαυτῶν μακάριον τέλος προμηνυθέντες ὑπὸ θείου ἀγγέλου· διὰ τοῦτο καὶ διὰ πολλῶν πατρικῶν νουθεσιῶν καὶ εὐαγγελικῶν παραγγελμάτων τοὺς ἱεροὺς αὐτῶν μαθητὰς καὶ θιασώτας προϋπεστήριξαν· ὑφ' ὧν καὶ ἐτάφησαν ἔνδον τοῦ ἱεροῦ Σπηλαίου, ὑπὸ τὸ ἔδαφος τοῦ νῦν καθ' ἡμᾶς καθολικοῦ Ναοῦ πρὸς τὰ δεξιά, κατενώπιον τῆς ἁγίας εἰκόνος, ὅπου καὶ τὰ χαριτόβρυτα αὐτῶν μνημεῖα μέχρι τῆς σήμερον θεωροῦνται. Τῶν δὲ ἁγίων λειψάνων αὐτῶν, κρίμασιν οἷς οἶδε Θεός, ὑπὸ ξένων χειρῶν ἀλλαχοῦ μετακομισθέντων (ὡς λέγομεν ἐφεξῆς), μένουσι μόνον ἀμφοτέρων τῶν ἁγίων ἡμῶν πατέρων καὶ προστατῶν αἱ θεσπέσιαι κάραι, ἀνέκλειπτος ἐν τῷ Μοναστηρίῳ θησαυρός. Κατέλιπον δὲ καὶ Διαθήκην οἱ ἅγιοι Καθηγεμόνες ἡμῶν, ἧς τινος τὸ ἴσον σῴζεται μόνον (καὶ τοῦτο χυδαϊστί, χάριν ἴσως τῶν ἀπαιδευτοτέρων ἀδελφῶν ὑπό τινος πολὺ ὕστερον μεθηρμηνευμένον), αὐτὸ δὲ τὸ ἑλληνικὸν πρωτότυπον μετὰ τῶν ἄλλων κωδήκων καὶ τῆς πρωτοτύπου τῶν ἁγίων βιογραφίας ἐπυρπολήθη κατὰ τὸν ἔσχατον μέγιστον ἐμπρησμὸν τοῦ Μοναστηρίου (καθὼς προείπομεν). Ἀλλὰ καὶ ἐκ μόνης τῆς τῶν πατέρων παραδόσεως ἀσφαλῶς διαπορθμευθεῖσα τιμᾶται, καὶ κρατεῖ ἡ ἀπ' ἀρχῆς τετυπωμένη διάταξις τῶν ἁγίων τῆς Μονῆς ἡμῶν κτιτόρων καὶ γεναρχῶν, δι' ἧς ἥτε τῶν μοναχῶν διαγωγὴ κανονίζεται, καὶ πᾶσα ἡ ἱερὰ τῆς Ἐκκλησίας ἀκολουθία διατυποῦται (ἔστι δὲ σχεδὸν ἐν πᾶσιν ἡ αὐτὴ καὶ ἡ κατὰ τὰ ἱερὰ τοῦ ἁγίου Ὄρους φροντιστήρια διακρατοῦσα).

§. ζ'. Μετὰ δὲ τὴν ἐν Χριστῷ τῷ Θεῷ τρισμακαρίαν λῆξιν τῶν ἰσαποστόλων καὶ θεοφόρων πατέρων ἡμῶν, οὐ πολὺ ὕστερον ἐξεδήμησε πρὸς Κύριον καὶ ἡ ὁσία καὶ παμμακάριστος μήτηρ ἡμῶν Εὐφροσύνη. Αὕτη γὰρ μετὰ τὴν εὕρεσιν τῆς ἁγίας καὶ πανσέπτου εἰκόνος ἀναβᾶσα πρὸς τὸ ἀνώτερον μέρος, ἀπέναντι τοῦ νῦν Καθολικοῦ πρὸς τὰ δεξιὰ (πλησίον δηλονότι τοῦ νῦν ἐπ' ὀνόματι αὐτῆς ἐπιφημιζομένου παρεκκλησίου, ἔνθα καὶ ἡ τοῦ Λουκᾶ λεγομένη ἱερουργικὴ τράπεζα, καθὼς προείπομεν ἐν τῇ Χωρογραφίᾳ), κἀκεῖ μικρὸν οἰκίσκον οἰκοδομήσασα, καὶ ἔγκλειστος ἐν αὐτῷ γενομένη, ἅπαν τὸ ὑπόλοιπον τῆς μακαρίας καὶ τρισολβίου ζωῆς αὐτῆς διετέλεσε « νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν »· διότι, ἀφ' ἧς ὥρας ἠνωτίσθη τὴν θεομητορικὴν ἐκείνην ἐκ τῆς ἁγίας εἰκόνος φωνήν, οὕτως ἐτρώθη τὴν καρδίαν ὑπὸ τοῦ θείου ἔρωτος, ὥστε τοῦ λοιποῦ « οὐκ ἔδωκεν ὕπνον (κατὰ τὸν προφήτην) τοῖς ἑαυτοῖς ὀφθαλμοῖς, οὐδ' ἀνάπαυσιν τοῖς κροτάφοις »· ἕως οὗ εὗρε τόπον ἀνέσεως τὴν παμμακάριστον ἐκείνην λῆξιν καὶ ἀνάπαυσιν, εἰς τὸν οὐράνιον εἰσελθοῦσα νυμφῶνα πρὸς τὸν ἑαυτῆς

γλυκύτατον Νυμφίον· τοῦτον ὁλοψύχως ἐπόθησε, καὶ ἐγκαρδίως ἠγάπησε μέχρι καὶ αὐτῆς τῆς τελευταίας ἀναπνοῆς, καὶ δι' αὐτὸν ἔζησεν ἐν σώματι ὡς ἐπίγειος ἄγγελος καὶ οὐράνιος ἄνθρωπος εἰς ὕψος ἀρετῶν ἀναβᾶσα, ὥστε καὶ προφητικοῦ κατηξιώθη θείου χαρίσματος, καὶ παμπόλλων θαυμάτων ἐγένετο ἐνεργὸς, καὶ ζῶσα καὶ μετὰ θάνατον. Μετέστη δὲ πρὸς Κύριον ἐτῶν γενομένη πεντήκοντα ἕξ, καὶ ἐτάφη ἐν αὐτῷ τῷ πλησίον τοῦ οἰκίσκου ναῷ (ὅςτις διὰ τοῦτο καὶ κατ' ἐξοχὴν τὸ παρεκκλήσιον τῆς ἁγίας Κόρης ἐπονομάζεται). Ἀλλὰ καὶ τῆς ὁσίας μητρὸς ἡμῶν τὸ μὲν ἄλλο τρισόλβιον σκῆνος συναφῃρέθη συγχρόνως, ὁπότε καὶ τὰ τῶν ἁγίων ἡμῶν πατέρων· καθὼς δὲ τῶν ὁσίων ἐκείνων, παρομοίως καὶ ταύτης ἀπέμεινε καὶ σώζεται μέχρι σήμερον μόνη ἡ ἁγία κάρα, τιμωμένη καὶ αὐτὴ ὡς ἱερὸν τῆς εὐσεβείας θησαύρισμα καὶ τῆς Μονῆς ἡμῶν ἐγκαλλώπισμα.

§. ή. Τοιαύτη συντόμως ὑπῆρξεν ἡ ἔνθεος βιοτὴ τῶν ἰσαποστόλων καὶ θεοφόρων ἡμῶν πατέρων καὶ τῆς ὁσίας μητρὸς ἡμῶν Εὐφροσύνης· καὶ τούτους, ἀδελφοί, τοὺς ἐπιγείους ἀγγέλους καὶ οὐρανίους ἀνθρώπους ἔχοντες ἡμεῖς πνευματικοὺς ἡμῶν γενάρχας καὶ καθηγεμόνας καὶ κτίτορας τῆς εὐαγεστάτης ἡμῶν Μονῆς, αὐτοὺς ὀφείλομεν ὡς παρόντας ἀείποτε ἔχειν πρὸ ὀφθαλμῶν, ἀπαρέγκλιτον κανόνα καὶ στάθμην τῆς μοναχικῆς ἡμῶν πολιτείας. Ὅθεν καὶ πρὸς τὴν μακαρίαν αὐτῶν ζωὴν διευθύνωμεν ὅσον τὸ δυνατὸν καὶ τὴν ἡμετέραν, ἵνα διὰ τῶν ἁγίων αὐτῶν εὐχῶν καὶ τοῦ μακαρίου τέλους ἀξιωθῶμεν· καὶ, ὅταν παρασταθῶμεν εἰς τὸ φοβερὸν Κριτήριον τῆς θείας Δικαιοσύνης, εἴπωσι καὶ περὶ ἡμῶν οἱ τρισμάκαρες ἡμῶν Πατέρες τὸ προφητικὸν « ἰδοὺ ἡμεῖς καὶ τὰ παιδία, ἅπερ ἔδωκας ἡμῖν ὁ Θεός »· καὶ ἀκούσωμεν καὶ ἡμεῖς τῆς Δεσποτικῆς ἐκείνης φωνῆς· « Εὖ δοῦλοι ἀγαθοὶ καὶ πιστοί »! Ναί. Γένοιτο, Κύριε, διὰ τῶν πρεσβειῶν τῆς παναχράντου Σου Μητρὸς, τῆς Δεσποίνης πάντων τῶν χριστιανῶν, καὶ προστάτιδος τοῦ ἱεροῦ τούτου Σπηλαίου, τοῦ σκηνώματος τῆς ἁγίας δόξης Σου. Αὐτῆς ταῖς ἱκεσίαις ἐν ἐλέει ἐπίσκεψαι, Κύριε, καὶ στερέωσον τὴν ἱερὰν ἡμῶν Μονὴν καὶ πᾶσαν τὴν ἁγίαν Σου Ἐκκλησίαν εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Σύντομος ὑποτύπωσις ἢ σχεδογραφία τῆς ἐν τῷ μεγάλῳ Σπηλαίῳ πανσέπτου θεομητορικῆς εἰκόνος, ὁποία ταύτης ἡ ἁγία μορφὴ, καὶ ὅπως ὑπὸ τοῦ Ἀποςόλου καὶ Εὐαγγελιςοῦ Λουκᾶ ἀνιςορήθη, καὶ εἰς τὸ μέγα Σπήλαιον τὸ πρῶτον ἀπετέθη, λανθάνουσα μέχρι τῆς εὑρέσεως αὐτῆς.

§. ά. Ἀποδόντες ἤδη τήν τε ἱερὰν Χωρογραφίαν τοῦ μεγάλου Σπηλαίου καὶ τὴν ψυχωφελῆ Βιογραφίαν τῶν ὁσίων ἡμῶν Πατέρων καὶ πρώτων δομητόρων τῆς Σπηλαιώτιδος Μονῆς, ἐπιφέρομεν, καλὴν τοῦ πονήματος κορωνίδα, τὴν διαγραφὴν τῆς ὕλης καὶ τοῦ εἴδους αὐτῆς τῆς παναγίας καὶ Ἀποστολικῆς εἰκόνος τῆς Θεομήτορος· δι' ἧς καὶ τὸ μέγα Σπήλαιον ἡγιάσθη, καὶ τῶν ὁσίων ἡμῶν πατέρων ἡ τρισόλβιος μνήμη πανευκλεῶς ἐδοξάσθη. Αὕτη κυρίως ὑπάρχει ἀρχὴ καὶ μέση καὶ τέλος ἀκρότατον τῆς τοῦ μεγάλου Σπηλαίου καθιερώσεως· καὶ ταύτης τὰ μεγαλεῖα καὶ τὴν χάριν ἐξιστοροῦντες καὶ ἀνυμνοῦντες οὐδέποτε λήξομεν, οὔτ' ἀρχόμενοι τῶν λόγων, οὔτε

μεσοῦντες, οὔτ' ἀποπαυόμενοι. Αὐτῆς καὶ νῦν τὴν χάριν ἐπικαλεσάμενοι σχεδογραφοῦμεν τὴν πάνσεπτον αὐτῆς μορφήν.

§. 6'. Ἔστι πινάκιον ἢ σανίδιον τετράγωνον, τό,τε μῆκος καὶ τὸ πλάτος ὅσον πήχεως ἑνός, πάντοθεν ἐντετυλιγμένον εἰς ὀθόνην λινῆν, στεγανῶς περὶ τὸ πινάκιον προσκεκολλημένην· ἐπὶ τούτου τοῦ ὀθονοσκεποῦς ἱεροῦ πίνακος κεῖται κατεστηριγμένη ἡ πάνσεπτος τῆς Θεομήτορος εἰκών. Πεποίηται δὲ **κηρόχυτος**, ἐκ κηροῦ καὶ ἄλλων ἴσως εἰδῶν πεπλασμένη (κατὰ τὴν ἀρχαίαν τῆς τοιαύτης ὕλης κατασκευὴν) (α)· καὶ ἔστιν ἀνάγλυφος, ὅσον τὸ πλάτος ἑνὸς δακτύλου καὶ ἡμίσεως ἐξέχουσα τοῦ ἐπιπέδου. Τοῦτο δὲ τὸ τετράγωνον τῆς ἁγίας εἰκόνος πινάκιον ὑπάρχει εἰς ἄλλην σανίδα μείζονα καὶ παχυτέραν κατὰ βάθος ἐνηρμοσμένον (ὕστερον ἴσως ἐνιδρυθέν)· τετράπλευρος δὲ καὶ αὐτὴ ἡ τὸ ἱερὸν πινάκιον πανταχόθεν περιβάλλουσα σανίς, πλὴν ὅτι τὴν ἄνω πλευρὰν ἔχει καμπυλουμένην τοξοειδῶς. Οὕτω δὲ προσφυῶς καὶ ὁμαλῶς εἰς αὐτὴν ἐνήρμοσται τὸ πινάκιον, ὥστε διαφεύγουσι πολλάκις καὶ τὴν ὀξυτάτην ὄψιν τὰ λεπτὰ χαράγματα τῆς τῶν περάτων συναρμογῆς. Μόνον περὶ τὴν βάσιν τῆς ἁγίας εἰκόνος βραχεῖα τῆς ὀθόνης διαφαίνεται ἄκρα. κῆρυξ τις προκύπτουσα καὶ μάρτυς τῆς ἀφθορίας τοῦ θεομητορικοῦ εἰκονίσματος, ἄφθαρτος, καθὼς ἐκεῖνο, καὶ αὐτὴ διὰ τοσούτων αἰώνων καὶ ἀκήρατος διαμένουσα· καὶ ταῦτα μὲν οὕτως. Αὐτὸ δὲ τὸ πάνσεπτον ἀπεικόνισμα τῆς Θεοτόκου μεμόρφωται πλαστουργηθὲν κατὰ προτομήν, ἀνάγλυφον (ὡς προείπομεν)· φορεῖ δὲ καὶ τὴν ἱερὰν ἐσθῆτα κεχρωματισμένην, καὶ μεταξὺ διάχρυσον· ὅθεν καὶ **Χρυσοσπηλαιώτισσα** ἡ εἰκὼν ἔκπαλαι παρὰ πολλοῖς ἐπωνομάζετο (6). Ἀμαυρὰ δὲ πάνυ φαίνονται τὰ νῦν ἐπὶ τοῦ κηροῦ τά τε χρώματα καὶ τὰ χρυσᾶ διαγράμματα, μελανωθέντα ἴσως ὑπὸ τοῦ καπνοῦ, κατὰ τὸν μεγάλον ἐκεῖνον τῆς Μονῆς ἐμπρησμὸν (βλ. Χωρογραφ. κεφ. ς'. § γ'.)· ἀλλὰ καὶ οὕτως ἡ Θεομήτωρ φαίνεται λέγουσα τὸ θεόχρηστον ἐκεῖνο λόγιον τῆς αὐτὴν προτυ-

---

(α) Παλαιὸν τὸ διὰ κηροῦ καὶ χρωμάτων εἶδος τῆς ζωγραφίας· ὅθεν καὶ *κηρογραφίαν* ἔλεγον τοῦτο τὸ εἶδος τῆς ζωγραφικῆς οἱ ἀρχαῖοι (Δειπνοσοφ. ε. 204), καὶ τὴν πρᾶξιν, *κηρογραφεῖν*. « Κεράμια κεκηρογραφημένα χρώμασι παντοίοις » (αὐτόθ. ε. 200). Μνημονεύουσι δὲ τούτου τοῦ εἴδους καὶ Πλίνιος (Ἱστορ. φυσ. λε. 11.), καὶ ἄλλοι παλαιοὶ (βλ. Δουκάγγ. Γλωσσαρ. λέξ. Κηρόχυτος). « *Κηρόχυτον γραφὴν* » ὀνομάζει τὴν τοιαύτην ζωγραφίαν ὁ Εὐσέβιος (ἐν βίῳ Κωνσταντ. α. 3), καὶ ὁ θεῖος Χρυσόστομος. « Ἐγὼ καὶ τὴν κηρόχυτον ἠγάπησα γραφήν, εὐσεβείας πεπληρωμένην » (τὰς ἁγίας ἐννοῶν εἰκόνας). Καὶ πάλιν ὁ αὐτὸς (ἐπὶ βασιλικῆς εἰκόνος) « Οὐ σανίδα τιμῶσιν (οἱ δῆμοι), οὐδὲ τὴν κηρόχυτον γραφήν, ἀλλὰ τὸν χαρακτῆρα τοῦ βασιλέως » (Χρυσόστομ. Λόγ. εἰς τὸν Νιπτῆρ.). Οἱ δὲ νεώτεροι *καὶ κηρόχυτον ὕλην* εἶπον, καὶ *ὑλογραφίαν* (Θεοφάν. Χρονογρ. σελ. 373), καὶ *ὑλογραφεῖν* καὶ *ὑλογραφικὴν* εἰκόνα, τὴν κηρόχυτον. Λέγεται δὲ κηρόχυτος, διότι οἱ ζωγράφοι ἐμίγνυον τὰ χρώματα μετὰ κηροῦ τακέντος καὶ *διαχυθέντος* (ὅθεν καὶ *ἐγκήρωτα* ἐλέγοντο τὰ τοιαῦτα χρώματα, ὡς ἐν τακέντι κηρῷ μεμιγμένα καὶ κεκραμένα). Καὶ ἢ λείας ἐζωγράφουν καὶ ὁμαλὰς τὰς εἰκόνας, ἢ καὶ ἀναγλύφους ἐξετύπουν καὶ ἀναπέμπτους (κατὰ τὸ ἁγιόγλυφον ἔκτυπον τῆς ἀποστολικῆς εἰκόνος)· ἔγλυφον δὲ καὶ ἀνδριάντας ὅλους ἐκ κηροῦ (βλ. Δουκάγγ. ἔνθ. ἀνωτέρ.).

(6) Καὶ ἐν ταῖς Ἀθήναις κατὰ τὴν νῦν Αἰόλου λεγομένην ὁδὸν ὑπάρχει ναὸς τῆς Θεοτόκου τῆς *Χρυσοσπηλαιωτίσσης* ἐπικαλουμένης, ἥτις, ὡς φαίνετ', ἐπωνομάσθη εἰς τιμὴν καὶ μνήμην τῆς ἐν τῷ μεγάλῳ Σπηλαίῳ *Χρυσοσπηλαιωτίσσης*. Ἔσῳζον δὲ πολλὴν ἐξ ἀρχῆς οἱ Ἀθηναῖοι πρὸς τὸ Μεγασπήλαιον τὴν εὐλάβειαν· ὅθεν καὶ τὴν Σύνταξιν τῶν Κανόνων ἐπὶ τοῦ Κόμητος Βερνάρδου ἐξέδωκαν, ὡς προείπομεν (προοιμ. σελ. γ.). Ὑπάρχει δὲ καὶ ἄλλη *Χρυσοσπηλαιώτισσα* Ἐκκλησία ἐν Ἀθήναις ἄνω κατὰ τὸν Πάγον, πλησίον τῆς Ἀκροπόλεως, ἐν αὐτῷ τῷ πάλαι *τοῦ Βάκχου* καλουμένῳ *Σπηλαίῳ*· ὅθεν ἔχει καὶ τὴν ἐπωνυμίαν.

πωσάσης τοῦ Ἄσματος Νύμφης. « Μέλαινά εἰμι ἐγὼ καὶ καλή » (ἆσμ. α. 5). Ἐξεικόνισται δὲ ὅλος ὁ τοῦ σώματος τύπος πρὸς τὰ δεξιὰ τετραμένος. Καὶ τὴν μὲν κεφαλὴν ἔχει νεύουσαν φιλοςόργως ὑπεράνωθεν τοῦ Μονογενοῦς, ὃν φέρει βρεφοπρεπῶς ἐπαναπαυόμενον ἐπὶ τῆς παρθενικῆς αὐτῆς ὠλένης καὶ τῆς χειρὸς τῆς δεξιᾶς, ἐφαπτομένης ἄκροις δακτύλοις τὸν ὦμον τοῦ παιδίου τὸν δεξιὸν (ἐξαίρετον καὶ τοῦτο τῆς ἁγίας ταύτης εἰκόνος ἰδίωμα· διότι πᾶσαι σχεδὸν τῶν θεομητορικῶν εἰκόνων αἱ ἀρχαιόταται σωζόμεναι παριστῶσι τὸ θεάνθρωπον βρέφος ἀγκαλοφορούμενον οὐχ ἐπὶ τῆς δεξιᾶς ἀλλ᾽ ἐπὶ τῆς ἀριστερᾶς χειρὸς τῆς Θεοτόκου, καὶ ταύτην ὁμοίως ἀποβλέπουσαν πρὸς τὰ λαιά) (α). Τὴν δὲ πάλιν ἀριστερὰν ἡ παρθενομήτωρ ἀνέχει πρὸς τὸ πανάχραντον στῆθος ὑποκρατοῦσα τὴν ἀριστερὰν τοῦ παντοκράτορος παιδίου ἠρέμα προτεινομένην· τὰς δὲ βολὰς τῶν ὀμμάτων ἀπευθύνει πρὸς τὸν θεωρὸν ἡ παντελεήμων, καλὸν ὁρῶσα καὶ ἱλαρὸν, καὶ θείας ἐλπίδος πληροῦσα τὰς καρδίας τῶν πιστῶς αὐτῇ προσερχομένων. Αὐτὸ δὲ το θεάνθρωπον βρέφος ἐπὶ τῆς μητρῴας ὠλένης, ὡς ἐπὶ θρόνου χερουβικοῦ, ἀνακεκλιμένον, ἄρραφον χιτῶνα φορεῖ καὶ πλατὺν, καταβαίνοντα κάτωθεν τῶν γονάτων, περὶ δὲ τὸν ὦμον τὸν ἀριστερὸν ἐπιφαίνεται καί τις ἐσθῆτος διπλοὶς ἀτημέλητα πρὸς τὰ κάτω προβεβλημένη. Καὶ τὴν μὲν ἀριστερὰν (ὡς προείπομεν) ὑποστηρίζει ἐπὶ τῆς ἀριστερᾶς παλάμης τῆς Μητρός· τὴν δὲ δεξιὰν ἀποτείνει πρὸς τὰ κάτω, βιβλίου κρατοῦσαν εἴλημα, τὸ εὐαγγέλιον τῆς σωτηρίας τοῦ κόσμου. Καὶ ἡ μὲν κόμη κεχυμένη νηπιώδης ἐπὶ τῆς θείας κεφαλῆς ἁπαλῶς ἐφησυχάζει· τὸ δὲ μέτωπον, ἐλέους πηγή· ὅλον δὲ τὸ πρόσωπον καὶ αὐτὴν τὴν παντέφορον ὄψιν ἀπευθύνει καὶ τὸ βρέφος πρὸς τοὺς πιστοὺς προσκυνητὰς, ὡς ἡ Μήτηρ, πανίλεων ἀτενίζουσαν, καὶ φωνοῦσαν σχεδὸν ἐκεῖνο τὸ φιλάνθρωπον κάλεσμα. « Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ἡμᾶς ». Δι᾽ ὅλης δὲ τῆς ἀχράντου εἰκόνος ἐπιλάμπει τὸ τῆς τέχνης ἁπλοϊκὸν τοσοῦτον ὑψηλὸν καὶ θεοπρεπὲς, ὅσον καὶ τὸ ἀκατάσκευον καὶ ἀφελὲς τῆς φράσεως τοῦ ἀποστολικοῦ χαρακτῆρος· ὥστε φαίνεται καὶ ἐκ τούτου ὅτι αὐτὴ ἐκείνη ἡ θεοκίνητος δεξιὰ, ἥτις μετὰ τῆς οὐρανίας ἐκείνης καὶ θείας ἁπλότητος ἱστόρησε συγγράφουσα τὸ ἱερὸν Εὐαγγέλιον, ἡ αὐτὴ μετὰ τῆς αὐτῆς ἁπλότητος ἱστοριογράφησε κηροχυτήσασα καὶ αὐτὸν τὸν τοῦ Εὐαγγελίου Θεὸν καὶ τὴν Θεοτόκον αὐτοῦ μητέρα. Ἑκατέρωθεν δὲ τῆς κηροπλάστου εἰκόνος ἄγγελοι δύω παρίστανται μετὰ φόβου δουλοπρεπῶς. Τὰς δὲ τέσσαρας τῆς εἰκόνος γωνίας δεξιόθεν ἐπέχουσιν ἑξαπτέρυγα Σεραφείμ, ἀριστερόθεν δὲ, πολυόμματα Χερουβίμ. Πάντα δὲ ταῦτα τὰ ἀγγελικὰ εἴδη διὰ χρωμάτων μόνον εἰσὶν ἐπὶ τοῦ πίνακος ἐζωγραφημένα (διὸ φαίνονται ἔργα χειρὸς δευτέρας, ἴσως, καὶ νεωτέρας παρὰ τὴν ἐξ ἀρχῆς κηροχυτήσασαν αὐτὸ τὸ θεομητορικὸν ἔκτυπον). Καὶ τοιαύτη μὲν συντόμως εἰπεῖν, τό,τε μέγεθος καὶ τοὺς χαρακτῆρας ἡ χαριτόβρυτος αὕτη καὶ ἀποστολικὴ τῆς Θεομήτορος εἰκών (β).

(α) Ἄλλαι δὲ παλαιαὶ εἰκόνες παριστῶσι τὴν Θεοτόκον ἐπὶ θρόνου καθημένην, καὶ τὸ βρέφος ἐπὶ τῶν γονάτων ἔχουσαν, τὸ δὲ πρόσωπον ἀντωπὸν ἐπ᾽ εὐθείας πρὸς τὸν θεωρόν.

(β) Πέριξ τῆς ἁγίας εἰκόνος ἀνάκεινται καὶ πολλὰ ἀναθήματα ἔξωθεν προσηρτημένα. Μεταξὺ δὲ τούτων διαπρέπει μάλιστα τὸ βασίλειον διάδημα, ὃ κρατοῦσιν ἑκατέρωθεν δύω ἄγγελοι ὑπεράνω τῆς ἀχράντου κεφαλῆς τῆς Παντανάσσης, ἐκ χρυσοῦ καὶ λίθων πολυτιμοτάτων κάλλιστα κατεσκευασμένον. Καὶ ἄλλο δὲ παρόμοιον ἐπίκειται μικρότερον καὶ ἀνάλογον ὑπεράνω τῆς κορυφῆς τοῦ νηπιάσαντος Παμβασιλέως. Ἀμφότερα δὲ τὰ στέμματα ὑπάρχουσιν ἀναθήματα βασιλικὰ, τῶν πιστῶν τινος αὐτοκρατόρων τῆς Κωνσταντινουπόλεως, καὶ ὡς λέγεται, αὐτοῦ τοῦ κτίτορος τῆς Μονῆς Ἀνδρονίκου· ἀλλὰ ταῦτα μὲν, ὡς καὶ τὰ λοιπὰ ἀφιερώματα,

§. γ'. Ὅτι δὲ τὴν εἰκόνα ταύτην Λουκᾶς, ὁ ἱερώτατος Εὐαγγελιστὴς, κηροπλαστήσας ἐξετύπωσε, πρὸς αὐτὸ τὸ πρωτότυπον ζώσης ἔτι τῆς Θεομήτορος ἀποβλέπων, λέγομεν ἐφεξῆς, ἀφ' οὗ πρῶτον ἐκθέσωμεν τὰς ἀποδείξεις ὅτι καὶ ζωγράφος ἦν ὁ Εὐαγγελιστὴς, καὶ τὴν παναγίαν τῆς Θεοτόκου μορφὴν πρῶτος ἐζωγράφησεν, ἐμπράκτως διδάξας τοὺς πιστοὺς τὴν σχετικὴν τῶν ἁγίων εἰκόνων προσκύνησιν, ἣν καὶ οἱ λοιποὶ Ἀπόστολοι παρέδωκαν τῇ Ἐκκλησίᾳ διὰ τῆς ἀγράφου παραδόσεως αὐτῶν καὶ διδασκαλίας. Λουκᾶς τοιγαροῦν ὁ θεόπνευστος τοῦ Εὐαγγελίου καὶ τῶν Πράξεων συγγραφεὺς, ὁ Ἀντιοχεὺς τὴν πατρίδα, « οὗ ὁ ἔπαινος πολὺς ἐν τῷ Εὐαγγελίῳ », οὐ μόνον ἰατρὸς (ὡς ὁ θεῖος Παῦλος αὐτὸν ῥητῶς ἐπονομάζει. Κολασ. δ. 14), ἀλλὰ καὶ ζωγράφος ὑπῆρχε, πρῶτος τὴν παναγίαν τῆς Θεοτόκου μορφὴν ἐν κόλποις φερούσης τὸν Κύριον ζωγραφήσας· καὶ τοῦτο διδάσκει μὲν ἀρχαία τε παράδοσις καὶ ἡ Ἐκκλησιαστικὴ Ἱστορία παρὰ τῶν ἁγίων πατέρων παραλαβοῦσα, συνομολογεῖ δὲ καὶ πᾶσα ἡ Ἐκκλησία ἡ Ἀνατολικὴ, καὶ αὐτὴ πρὸς τούτοις ἡ Δυτική. Αὐτίκα περὶ τῆς βασιλίσσης Εὐδοκίας τοῦ αὐτοκράτορος Θεοδοσίου τοῦ νέου (τῷ 430) ἀναγινώσκομεν, ὅτι ἐξ Ἱεροσολύμων, ὅπου διέτριβεν, ἔπεμψεν εἰς Κωνσταντινούπολιν πρὸς τὴν βασιλίδα Πουλχερίαν, τὴν ἀδελφὴν τοῦ Αὐτοκράτορος, μίαν τῶν τριῶν τῆς Θεομήτορος εἰκόνων, ὧν ὁ θεηγόρος Λουκᾶς ἐζωγράφησεν· ἱστορεῖ δὲ ταῦτα Θεόδωρος Ἀναγνώστης τῆς κατ' αὐτὴν τὴν Κωνσταντινούπολιν Ἐκκλησίας, ἕνα μόλις αἰῶνα τῆς Εὐδοκίας μεταγενέστερος (τῷ 520) (α). Ἐν δὲ τῷ ἀρχαίῳ κτιτορικῷ τῆς τοῦ Μελᾶ ἢ Σουμελᾶ Μονῆς χειρογράφῳ (φαίνεται δὲ τοῦ ιέ. ἢ γοῦν ἐξάπαντος τοῦ ς'. αἰῶνος ὁ κώδηξ οὗτος, ἄλλως τε καὶ μάλιστα διότι γέγραπται δίχως προσῳδιῶν, κατὰ τὴν συνήθη μάλιστα παρὰ τοῖς ἀρχαίοις ἀτόνιστον γραφὴν) ἱστορεῖται

κηρύττουσι τὴν εἰς Θεὸν εὐγνώμονα πίστιν καὶ τὴν εἰς τὴν Θεοτόκον εὐλάβειαν τῶν ἀφιερωτῶν. Αὐτὸ δὲ τῆς ἁγίας εἰκόνος τὸ ἀντίτυπον ἔχεις ἀναγνῶστα προκείμενον ἀκραιφνῶς ἐν κεφαλίδι τοῦ συντάγματος τούτου.

(α) Θεόδ. Ἀναγν. ἱς. α. σελ. 185. ὡσαύτως καὶ Νικηφόρος Κάλλιστος ὁ Ξανθόπουλος τὰ αὐτὰ ἱστόρησεν. (Ἐκ. Ἱς. βιβ. ιδ. 11. καὶ ιε. 14·) ὁμοίως καὶ Παχυμέρης. « Καὶ δὴ πέμψας (Μιχαὴλ ὁ Παλαιολόγος) ἐκ τῆς μονῆς τοῦ Παντοκράτορος ἄγει τὴν σεβασμίαν εἰκόνα τῆς ἁγνῆς Θεομήτορος, ἣν λόγος ἔργον μὲν εἶναι τοῦ θείου Λουκᾶ, ἐκεῖσε παρούσης κἀκείνης (τῆς Θεοτόκου) καὶ θεωμένης· δῶρον δὲ μετὰ ταῦτα γενέσθαι Πουλχερίᾳ τῇ βασιλίδι παρὰ τῆς νύμφης αὐτῆς Εὐδοκίας τῆς ἐξ ἐξ Ἀθηνῶν καὶ δεσποίνης, δῶρον ἀξιόχρεων ὄντως ἐκ Παλαιστίνης ἀποσταλέν » (Παχυμ. εἰς Μιχ. Παλαιολ. ἱς. βιβ. 6. κεφ. λα). Σημείωσαι δὲ ὅτι ταύτην τὴν ἀποστολικὴν εἰκόνα λαβοῦσα ἡ βασιλὶς Πουλχερία ναὸν ἅγιον ἐνεδείματο, καὶ ἀπέθηκεν αὐτὴν ἐν τῇ μονῇ τῇ ἐπιλεγομένῃ τῶν Ὁδηγῶν (ὅθεν καὶ Ὁδηγήτρια ἡ εἰκὼν ἐπεκλήθη, ὡς λέγομεν ἐφεξῆς). Ἐνταῦθα δὲ λέγει ὁ Παχυμέρης αὐτὴν ἀποκειμένην ἐν τῇ Μονῇ τοῦ Παντοκράτορος διὰ τὴν ἐφεξῆς αἰτίαν (ἣν πάλιν αὐτὸς ἱστόρησεν ἀλλαχοῦ). Ὡς ἑάλω ὑπὸ τῶν Φράγγων ἡ Πόλις (τῷ 1204), ἐκ τῆς μονῆς τῶν Ὁδηγῶν ἡ ἀποστολικὴ Εἰκὼν μετεφέρθη ὑπ' αὐτῶν τῶν κατακτητῶν εἰς τὸ τοῦ Βουκολέοντος ἐπιλεγόμενον Παλάτιον, κἀκεῖθεν εἰς τὴν ἁγίαν Σοφίαν. Καὶ ὁ πρῶτος βασιλεύσας Ἐρρῖκος ἐδωρήσατο αὐτὴν εὐκόλως (ὡς φιλοδωρότατος περὶ τὰ ἀλλότρια) πολυπόθητον χάριν τῷ Βαϊούλῳ τῶν Ἐνετῶν. Ἐπειδὴ δὲ οὗτοι ἤθελον ἀποστεῖλαι τὴν εἰκόνα εἰς Ἐνετίαν, ἀντέστη μαθὼν ὁ τότε νέος ὀνομασθεὶς τῆς αἰχμαλώτου Κωνσταντινουπόλεως Φραγγοπατριάρχης· καὶ οἱ Ἐνετοὶ βιάσαντες τὰς θύρας τῆς ἁγίας Σοφίας μετέφερον τὴν εἰκόνα εἰς τὴν μονὴν τοῦ Παντοκράτορος, ἣν κατεῖχον αὐτοί· καὶ αὐτοῦ ἔμεινεν ἡ Ὁδηγήτρια μέχρι καὶ τῆς ὑπὸ Μιχαὴλ τοῦ Παλαιολόγου ἐλευθερώσεως τῆς Κωνσταντινουπόλεως, ὅστις μετέθηκε πάλιν τὴν ἀποστολικὴν εἰκόνα εἰς τὴν μονὴν τῶν Ὁδηγῶν· (Παχυμ. αὐτ. βλ. καὶ Lebeau Hist. de Bas-Empire T. 17. p. 273. καὶ T. 18. p. 95. Paris. 1834.)

ζωγράφος ὁ θεῖος Λουκᾶς, ζωγραφήσας τὰς τῆς Θεομήτορος εἰκόνας· ἐξ ὧν ἐστι καὶ ἡ κατὰ τὴν Μονὴν τοῦ Σουμελᾶ τιμωμένη (λέγομεν δὲ περὶ ταύτης ἐφεξῆς) (α). Τοῦτ᾽ αὐτὸ μαρτυρεῖ, ζωγράφον τὸν Εὐαγγελιστὴν ἐπονομάζων, καὶ Ἀκάκιος μοναχὸς Σαββαΐτης (ἐκ τῆς ἐν Ἱεροσολύμοις Μονῆς τοῦ ἁγίου Σάββα), ὅστις συνέταξε κἀκεῖνος ἱστορίαν τῆς αὐτῆς Μονῆς τοῦ Σουμελᾶ ἐπὶ Κωνσταντίνου τοῦ Πωγωνάτου (τῷ 600 μ. Χ.) (β). Πάλιν ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς (ὃν ἡ Ζ΄. Οἰκουμενικὴ θεόπνευστος Σύνοδος ἐγκωμιάζουσα ἔλεγεν, ὅτι « Ὁ ἔπαινος αὐτοῦ καὶ ἡ εὔκλεια ἐν πάσαις ταῖς ἁπανταχοῦ ἁγίαις τοῦ Χριστοῦ Ἐκκλησίαις, » καὶ ὅτι « Τὰ συγγράμματα αὐτοῦ ἐν πάσῃ τῇ οἰκουμένῃ διαβεβόηται, » καὶ ὅτι « Ὑπὲρ Χριστοῦ καὶ τῶν τοῦ Χριστοῦ ἐξ ἀνατολῆς διὰ Χριστοῦ ἐσάλπισε τὴν εὐσέβειαν ». κτλ. Ζ. Συνόδ. Πράξ. ς.), αὐτὸς λέγομεν ὁ θεοχαρίτωτος ἐκ Δαμασκοῦ τῆς Ἐκκλησίας φωστὴρ (τῷ 730) τὴν περὶ τοῦ ἁγίου Μανδηλίου μνημονεύσας ἱστορίαν (γ), ἔπειτα καὶ τῆς ὑπὸ τοῦ Λουκᾶ ζωγραφηθείσης εἰκόνος τῆς Θεομήτορος μνημονεύει λέγων· « Καὶ γὰρ ὁ θεσπέσιος Ἀπόστολος καὶ Εὐαγγελιστὴς Λουκᾶς τὸν θεῖον καὶ σεβάσμιον χαρακτῆρα τῆς Θεομήτορος Μαρίας ὅτι (γρ. ἔτι) ἐν σαρκὶ ζώσης ἐν Ἱερουσαλὴμ, καὶ τὰς διατριβὰς ποιουμένης ἐν τῇ ἁγίᾳ Σιὼν [ἐμιμήσατο], ζωγραφικαῖς τε μίξεσι τὴν τῆς Πανάγνου στήλην ἐν πίναξι διεχάραξεν, ὡς ἐν κατόπτρῳ τῇ μετέπειτα γενεᾷ ἐγκαταλελοιπώς· καὶ ταύτην αὐτῇ ὑποδείξαντος, ἡ χάρις μου μετ᾽ αὐτῆς ἔσται, ἔφη » (δ)· καὶ πάλιν ὁ αὐτὸς ἀλλαχοῦ, « Βλέπε μοι καὶ τὸν Εὐαγγελιστὴν καὶ Ἀπόστολον Λουκᾶν, οὐχὶ τῆς παναχράντου καὶ ἀειπαρθένου Μαρίας τὴν τιμίαν εἰκόνα ἀνιστόρησε, καὶ πρὸς Θεόφιλον ἔπεμψε; » (ε). Σύμφωνα πρὸς τὸν θεῖον Δαμασκηνὸν φρονῶν καὶ Γερμανὸς ὁ πανοίδιμος Κωνσταντινουπόλεως Πατριάρχης (τῷ 714) διέταξεν ἀντίτυπον ἀντιγραφῆναι ἐκ τῆς ὑπὸ τοῦ Ἀποστόλου Λουκᾶ ζωγραφηθείσης εἰκόνος τῆς Θεομήτορος (ὡς λέγομεν ἐφεξῆς). Καὶ Γρηγόριος ὁ γ, ὁ ἁγιώτατος πάπας Ῥώμης (τῷ 731) διεβεβαίου τὴν ἀποστολικὴν ζωγραφίαν ἐν οἷς ἔγραφε πρὸς Λέοντα τὸν Ἴσαυρον (ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ). Ἀλλὰ καὶ Νικηφόρος ὁ Κωνσταντινουπόλεως ἁγιώτατος Πατριάρχης (τῷ 814) πρὸς τὸν εἰκονομάχον Αὐτοκράτορα Λέοντα τὸν Ἀρμένιον τοὺς λόγους ποιούμενος ὑπὲρ τῆς εὐσεβείας, « Τιμητέαι (ἔλεγεν), ὦ βασιλεῦ, αἱ ἱεραὶ τῶν ἁγίων εἰκόνες εἰσὶν, ὡς ἐξ ἀρχῆς θείῳ νεύματι φανεῖσαι· καὶ γὰρ ἡ ἁγία ὀθόνη » (τὸ συνήθ. ἅγιον Μανδήλιον), « ἥν ποτε λαβὼν ὁ Χριστὸς ἐπέθετο ἐπὶ τὸ πρόσωπον αὐτοῦ, καὶ τὸ εἶδος αὐτοῦ ἀχειροποιήτως ἐγένετο, τιμητέα καὶ σεβάσμιός ἐστιν· ἔπειτα αἱ τῶν ἁγίων Ἀποστόλων ἰδιόχειροι εἰκόνες τοῦ τε αὐτοῦ Χριστοῦ καὶ τῆς τοῦτον τεκούσης » (ζ). Καὶ οἱ τῆς τῶν

(α) Βλ. Θεία καὶ ἱερὰ ἀκολουθ. τῶν ὁσίων πατέρων ἡμῶν Βαρνάβα καὶ Σωφρονίου τῶν ἐξ Ἀθηνῶν, ἐν ᾗ καὶ ἱερὰ ἱστορία τῆς βασιλικῆς Μονῆς τοῦ Σουμελᾶ. κτλ. Συντεθεῖσα παρὰ τοῦ Σοφωτάτου Διδασκάλου Κυρίου Νεοφύτου Ἱεροδιακόνου Πελοποννησίου τοῦ Καυσοκαλυβίτου κτλ. ἐν Λειψίᾳ 1775. προοιμ.

(β) Αὐτόθ·

(γ) Δαμασκ. περὶ Ὀρθοδόξ. πίς. Δ. 16. καὶ περὶ τῶν Εἰκόν. λόγῳ α. βλ. Τ. α. σελ. 281, καὶ 326.

(δ) Ἰωάνν. Δαμασκην. Ἐπιστολ. πρὸς Θεόφιλ. §. δ. σελ. 631. Τ. α. Venet. 1748.

(ε) Λόγῳ ἀποδεικτ. περὶ τῶν ἁγ. Εἰκόν. πρὸς πάντ. χριστιαν. καὶ πρὸς τὸν βασιλέα Κωνσταντ. τὸν Καβαλλῖν. § ς. σελ. 618. Τομ. α.

(ζ) Νικηφόρ. παρὰ Συμεὼν τῷ Μαγίστρῳ Χρονογραφ. σελ. 304. βλ. καὶ Ἰωάν. Φωκᾶν παρ᾽ Ἀλλατ. ἐν τοῖς Συμμίκτ. σελ. 36.

Ἀβραμιτῶν δὲ λεγομένης Μονῆς ὁρμώμενοι μοναχοὶ μετὰ παῤῥησίας παραστάντες τῷ βασιλεῖ Θεοφίλῳ (τῷ 830) « τὰ τῶν θείων εἰκόνων μορφώματα ἀπεδείκνυον σύντροφά τε τοῖς Ἀποστόλοις καὶ ὁμοδίαιτα· εἴγε Λουκᾶς μὲν ὁ θεῖος Ἀπόστολος τὴν τῆς Θεοτόκου μορφὴν ἀνετύπωσεν » κτλ. (α). Ὡσαύτως καὶ Συμεὼν ὁ Μεταφραστὴς (τῷ 820), « Ὁ δὲ (λέγει) τῶν ἄλλων ἐστὶ χαριέστατον, ὅτι καὶ αὐτὸν τὸν τοῦ προσλήμματος τοῦ ἐμοῦ Χριστοῦ τύπον, τόν τε τῆς αὐτὸν τεκούσης καὶ δούσης τὸ πρόσλημμα χαρακτῆρα πρῶτος οὗτος (ὁ Λουκᾶς) κηρῷ καὶ χρώμασι βάψας ἐν εἰκόνι τιμᾶσθαι μέχρι καὶ νῦν παραδέδωκε »· καί, « Τὴν εἰκόνα (τῆς Θεοτόκου) κατεσκεύασε διὰ ζωγραφικῆς τέχνης ἐκ κηροῦ » (β)· τὰ δ' αὐτὰ καὶ Θεόδωρος ὁ Στουδίτης ἀνεκήρυττε (τῷ 780—820). Ἀλλὰ καὶ Θεοφάνης ὁ Κεραμεὺς (τῷ 860) τῆς ἐν Σικελίᾳ Ταυρομενίας ἐπίσκοπος, καὶ πάσης τῆς Χριστοῦ Ἐκκλησίας ἀριστοπόνος μέλισσα, ζωγράφον τοῦ Θεομητορικοῦ χαρακτῆρος τὸν θεῖον ἀνακηρύττει Λουκᾶν, λέγων· « Καὶ μὲν (γρ. μὴν) καὶ Λουκᾶς ὁ γλαφυρὸς Εὐαγγελιστὴς τὴν εἰκόνα τῆς Θεομήτορος κηρῷ καὶ χρώμασιν ἐζωγράφησεν, ἐν ταῖς ἱεραῖς ὠλέναις ἀγκαλιζομένην τὸν Κύριον, ἥτις ἐν τῇ μεγαλοπόλει νῦν διασώζεται » (γ). Τὰ δ' αὐτὰ περὶ τῆς ζωγραφικῆς τοῦ θείου Λουκᾶ ἱστοροῦσι καὶ Ἰωάννης, ὁ Κωνσταντινουπόλεως ἁγιώτατος Πατριάρχης, ὁ Ξιφιλῖνος (τῷ 1064) (δ)· καὶ Μιχαὴλ ὁ Γλυκᾶς (τῷ 1150). Καὶ Νικηφόρος δὲ ὁ Κάλλιστος (τῷ 1280), « Πρώτιστον λέγει τὸν Λουκᾶν τὴν τοῦ Χριστοῦ εἰκόνα καὶ τῆς αὐτὸν τεκούσης, ἔτι δὲ καὶ τῶν κορυφαίων Ἀποστόλων διὰ ζωγραφικῆς ἱστορῆσαι τέχνης· κἀντεῦθεν εἰς πᾶσαν τὴν οἰκουμένην τὸ τοιοῦτον εὐσεβὲς καὶ πάντιμον ἔργον ἐξενεχθῆναι » (ε)· καὶ πάλιν ὁ αὐτὸς « Ὅπου γε καὶ τῶν ἱερῶν αὐτοῦ τοῦ Σωτῆρος μαθητῶν Πέτρου καὶ Παύλου τὰς εἰκόνας, ἔτι δὲ καὶ αὐτοῦ Χριστοῦ, καὶ τῆς αὐτὸν τεκούσης ὑπερφυῶς ἐν γραφῇ χρωμάτων εἰς δεῦρο σωζομένας πλείστας ἀνέγνωμεν, Λουκᾶ μὲν τοῦ Ἀποστόλου πρώτως αὐτὰς ἀκριβῶς εἰδυίαις χερσὶ γράφειν ἱστορήσαντος, καὶ τοῦ ἔργου κατάρξαντος· ἔπειτα δὲ καὶ τῶν ἄλλων ἀρχαίων ἀνδρῶν· » κτλ. (ζ). Τελευταῖον ἐν χειρογράφῳ σωζομένῳ κατὰ τὴν ἱερὰν Μονὴν τὴν ἐπ' ὀνόματι τῆς Θεοτόκου τιμωμένην καὶ ἐπιλεγομένην τῆς Ὁπλοῦς (χυδαιότερον Ὀμπλοῦς· κεῖται δὲ αὕτη πλησίον τῶν παλαιῶν Πατρῶν, δύω περίπου ὥρας ἀπέχουσα), σώζεται χειρόγραφον ἀρχαῖον, ἐν ᾧ γέγραπται περὶ τῶν ἱερῶν εἰκόνων λόγος Θεοκτίστου τοῦ καὶ Ῥαμεώτου, ἀρχιεπισκόπου πόλεως Ἀρμενίου (πότε δὲ ἤκμασεν οὗτος ἄδηλον, ὅσον δ' ἐκ τῆς φράσεως φαίνεται περὶ τὸν ί. ἢ ιά. αἰῶνα γενόμενος)· εἰς τοῦτον οὖν τὸν λόγον λέγει ὁ Ῥαμεώτης ταῦτα· « Λουκᾶς, ὁ ἱερὸς Εὐαγγελιστὴς τὴν εἰκόνα τῆς Θεομήτορος κηρῷ τε διεμόρφωσε καὶ χρώμασιν ἐζωγράφησε βαστάζουσαν ἐν ταῖς ἱεραῖς ὠλέναις τὸν Κύριον, ἥτις ἐν τῷ Μεγάλῳ Σπηλαίῳ τὰ νῦν διασώζεται ».

§. δ. Ἐκ τούτων οὖν ἁπάντων βλέπομεν σαφῶς, ὅτι ὁ θεῖος Λουκᾶς πρῶτος ἐζωγράφησε τὴν

(α) Παρὰ Κεδρην. Συνοψ. ἱστορ. σελ. 519. Paris. 1647.

(β) Συμεὼν Μεταφρ. ὑπομνημ. εἰς τὸν ἱερὸν Λουκᾶν (βλέπε καὶ Μην. Ὀκτωβρ. ιή.).

(γ) Θεοφάν. Ὁμιλ. κ'. τῇ Κυριακῇ τῆς Ὀρθοδοξ. σελ. 129. Lut. Paris. 1644.

(δ) Ξιφιλ. περὶ τῆς πρὸς Τραπεζοῦντ. Μονῆς τοῦ Σουμελᾶ. Παρὰ Νεοφύτῳ ἱεροδ. τῷ Καυσοκαλυβ. ἐν προλόγ. τῆς Ἀκολουθίας τῶν ὁσίων Πατέρων Βαρνάβα καὶ Σωφρονίου, κλπ.

(ε) Νικηφορ. Ἐκκλησιαστ. ἱστορ. Βιβλ. β. κεφ. 43. σελ. 210. τόμ. α. Lut. Paris. 1630.

(ζ) Αὐτ. Ἐκκλησιαστ. ἱστορ. Βιβλ. ς. κεφ. 16. σελ. 407. τόμ. α.

ἁγίαν τῆς Θεομήτορος μορφήν. Ἐζωγράφησε δὲ οὐ μίαν καὶ μόνην ἀλλὰ πλείονας ἐκτυπώσας εἰκόνας. Καὶ τοῦτο φαίνεται σαφῶς ἐξ ὧν εἶπεν ὁ θεῖος Δαμασκηνός, ὅτι ὁ θεῖος Λουκᾶς τὴν τῆς Πανάγνου στήλην (εἰκόνα, μορφὴν) ἐν πίναξι (πληθυντικῶς) διεχάραξεν. Ὡσαύτως καὶ ὁ ἱστορικὸς Νικηφόρος πληθυντικῶς ἱστόρησεν ἀνωτέρω τὰς ὑπὸ τοῦ Λουκᾶ τοῦ Ἀποστόλου εἰδυίαις χερσὶν ἱστορηθείσας. Ἀλλὰ πόσας ἆρά γε Θεομητορικὰς εἰκόνας διεχάραξεν ἐν πίναξιν ὁ Εὐαγγελιστής; Ἐπὶ τῆς Αὐτοκρατορίσσης Εὐδοκίας τρεῖς εἴδομεν ἀνωτέρω μνημονευομένας ὡς ζωγραφίας τοῦ Λουκᾶ, ὧν τὴν μίαν ἀπέστειλεν ἡ Αὐτοκρατόρισσα πρὸς τὴν ἄνασσαν Πουλχερίαν ἐξ Ἱερουσαλήμ. Ἄλλος δὲ λόγος ἔχει, ὅτι ὁ ἱερώτατος Λουκᾶς ἐζωγράφησεν εἰκόνας τῆς Θεοτόκου τὰς πάσας ἑπτὰ (οἱ δέ τινες εἶπον ὅλας ἑβδομήκοντα), καὶ μένει τὸ πρᾶγμα ἀδιόριστον. Τρεῖς τοῦ Ἀποστόλου Θεομητορικαὶ εἰκόνες εὑρίσκοντο κατὰ τοὺς χρόνους τῆς Εὐδοκίας μόνον ἐν Ἱεροσολύμοις· ἀλλ' ἦσαν, καθὼς φαίνεται, καὶ ἄλλαι ἀλλαχοῦ. Ἐν τοῖς κατὰ τὴν Ἔδεσσαν τῆς Συρίας Ἐκκλησιαστικοῖς καὶ δημοσίοις ἀρχείοις (γραμματοφυλακείοις) ἐσῴζοντο ὑπομνήματα διηγούμενα τὴν ἱστορίαν τῆς ἀχειροποιήτου τοῦ Σωτῆρος εἰκόνος (τοῦ ἁγίου Μανδηλίου), ἐν οἷς βλέπομεν ὅτι μετὰ τοῦ ἁγίου Μανδηλίου ἐσῴζετο εἰς τὴν Ἔδεσσαν καὶ τῆς Θεομήτορος εἰκών· διότι (λέγουσι τὰ ὑπομνήματα) « Ὁ Περσῶν βασιλεὺς εὐφυᾶ τὰς χεῖρας ζωγράφον διαπεμψάμενος (εἰς Ἔδεσσαν) αὐτοῦ τε Χριστοῦ τὸ εἶδος καὶ τῆς αὐτὸν ὑπερφυῶς τετοκυίας ζέοντι πίστεως πόθῳ ὅτι τάχιστα ἔγραψε, καὶ ἀπολαβὼν ἐκτήσατο » (α). Ταύτας τὰς ἁγίας εἰκόνας προσεκύνησε καὶ ὁ ἅγιος Ἐφραὶμ ὁ Σύρος (τῷ 350) ἐλθὼν εἰς τὴν Ἔδεσσαν, ὡς ὁ θεῖος Γρηγόριος ὁ Νύσσης ὑποδηλοῖ λέγων· « Ἐφραὶμ ὁ θεῖος τὴν Ἐδεσσηνῶν κατέλαβε πόλιν τοῦ τὰ ἐκεῖσε περιπτύξασθαι ἅγια » (β). Ἅγια δὲ λέγων ὁ ἱερὸς Νύσσης ἐννοεῖ μάλιστα τὴν ἀχειροποίητον εἰκόνα τοῦ Κυρίου, τὴν ὁποίαν καὶ αὐτὸς ὁ θεῖος Ἐφραὶμ ἐν τῇ Διαθήκῃ αὐτοῦ ῥητῶς μνημονεύει· ταύτην δ' ἔπειτα περὶ τὰ μέσα τοῦ δεκάτου αἰῶνος (τῷ 930) ἐπὶ Ῥωμανοῦ τοῦ Αὐτοκράτορος ἐξ Ἐδέσσης εἰς Κωνσταντινούπολιν μετεκόμισαν (γ)· μετὰ ταύτης οὖν τῆς ἀχειροποιήτου μορφῆς τοῦ Σωτῆρος ὑπῆρχεν ἐν Ἐδέσσῃ τὸ πάλαι (καθὼς εἴδομεν ἀνωτέρω ἐκ τῶν ὑπομνημάτων) καὶ εἰκὼν τῆς Θεομήτορος, ἥτις ἦν πιθανώτατα μία τις ἐκ τῶν ἰδιοχείρων τοῦ θείου Λουκᾶ, ἢ γοῦν ἐν τῶν ἀρχαιοτάτων ἀντιτύπων, ὅσα κατ' αὐτὸν ἴσως τὸν πρῶτον ἢ τὸν β. αἰῶνα εὐθὺς ἄνδρες εὐσεβεῖς ἀπετύπωσαν, ἀποβλέποντες δηλονότι πρὸς ἐκείνας τὰς πρωτοτύπους εἰκόνας, τὰς ὑπ' αὐτοῦ τοῦ θείου Λουκᾶ ζωγραφηθείσας, « τοῦ πρώτου τὸν τῆς Θεοτόκου τύπον ἱστορήσαντος, καὶ πρώτου κατάρξαντος τοῦ ἔργου » (ὡς εἶπεν ἀνωτέρω ὁ ἱστορικὸς Νικηφόρος).

§. ε. Τούτων δὲ τῶν ἰδιοχείρων Ἀποστολικῶν εἰκόνων τῆς Θεομήτορος πέντε μνημονεύονται ῥητῶς παρὰ τοῖς ἀρχαίοις αἱ διασημόταται. Εἴδομεν ἀνωτέρω τὸν ἱερὸν Θεοφάνην τὸν Κεραμέα λέγοντα, ὅτι μία κατ' αὐτὸν διεσῴζετο καὶ ἐτιμᾶτο ἐν τῇ μεγαλοπόλει· καὶ ὁ Θεοφάνης μεγαλόπολιν ἐννοεῖ τὴν βασιλεύουσαν Κωνσταντινούπολιν (καθὼς φαίνεται πιθανώτατον) (δ). Ἡ ἐκεῖσε λοιπὸν κατ' ἐκείνους τοὺς χρόνους σῳζομένη τῆς Θεομήτορος εἰκὼν ὑπῆρχεν

(α) Νικηφ. Ἐκκλ. ἱστορ. βιβ. β. 7. σελ. 145. τομ. α.
(β) Γρηγόρ. Νύσσ. Ἐγκωμ. εἰς ὅσιον Ἐφραίμ. τόμ. β. σελ. 1036.
(γ) Μελέτ. Ἐκκλ. ἱστορ. τόμ. β· σελ. 354.
(δ) *Μεγαλόπολις* ὑπάρχει καὶ ἐν Πελοποννήσῳ κατὰ τὴν Ἀρκαδίαν (τὸ μετέπειτα χυδαίως *Συνάνον*). Ἀπέχει δὲ τοῦ μεγάλου Σπηλαίου ἡ Μεγαλόπολις ὥρας περίπου εἴκοσιν. Ὅθεν ἴσως ἄν τις νομίσειεν ὅτι ταύτην

ἡ ἐπιλεγομένη Ὁδηγήτρια· αὐτὴ δηλονότι ἐκείνη, ἣν ἐξ Ἱεροσολύμων ἀπέστειλεν ἡ Εὐδοκία πρὸς Πουλχερίαν, ἥτις αὐτὴν παραλαβοῦσα ναὸν αὐτῇ καθίδρυσεν ἅγιον, καὶ Μοναστήριον ἐπίσημον κατὰ τὴν ἐν Κωνσταντινουπόλει λεγομένην ὁδὸν τῶν Ὁδηγῶν (α)· ὅθεν καὶ ἡ εἰκὼν Ὁδηγήτρια ἐπωνομάσθη, καὶ μέχρι τῆς ὑπὸ Τούρκων ἁλώσεως τῆς Κωνσταντινουπόλεως ἐκεῖ διεσῴζετο, ὡς μανθάνομεν ἐκ τοῦ μικρὸν πρὸ τῆς ἁλώσεως (τῷ 1430) ἀκμάσαντος ἀοιδίμου Ἰωσὴφ τοῦ Βρυεννίου, ὅς τις ῥητῶς αὐτῆς μνημονεύει (β). Μετὰ δὲ τὴν ἅλωσιν, ἄδηλον τί ἀπέβη

τὴν ἐν Ἀρκαδίᾳ Μεγαλόπολιν ὁ ἱερὸς Θεοφάνης ἐννοεῖ, ὅπου καὶ κατ' αὐτὸν ἐτιμᾶτο ὡς ἰδιόχειρος τοῦ θείου Λουκᾶ ἡ τῆς Σπηλαιωτίσσης πάνσεπτος εἰκών· ὠνόμασε δὲ ἀντὶ τοῦ μεγάλου Σπηλαίου τὴν ὁμόχωρον Μεγαλόπολιν ὁ Θεοφάνης· διότι μακρὰν, ἐν Σικελίᾳ, διατρίβων ἐμάνθανε καὶ τὰ περὶ τῆς ἁγίας εἰκόνος παρὰ τῆς φήμης ἀκούων, ἥτις πολλάκις περὶ τὰς ἀγγελίας οὐδεμίαν γεωγραφικὴν ἀκρίβειαν διαφυλάττει. Πλὴν ἀλλ' ὅμως φαίνεται πολὺ πιθανώτερον, ὅτι *μεγαλόπολιν* ὁ Θεοφάνης ὠνόμασε κατ' ἐξοχὴν τὴν βασιλεύουσαν Κωνςαντινούπολιν, ἂν καὶ κατ' ἔλλειψιν τῆς κυριωνυμίας (διότι συνηθέστερον καὶ ἄλλαι πόλεις ἐπίσημοι καλοῦνται μεγαλοπόλεις, ἀλλὰ πάντοτε προστιθεμένου καὶ τοῦ κυρίου τοπικοῦ ὀνόματος· οἷον ἡ τῶν Ἀλεξανδρέων, ἡ τῶν Ἀντιοχέων μεγαλόπολις, (Συνόδ. πρακτ. βλ. καὶ Holst. εἰς Στέφ. Βυζ. σελ. 201), ἡ Θεσσαλονικέων, ἡ Ῥώμη, (Δουκάγγ. Γλωσ· 894) κτλ· οὕτω καὶ Ἀθηναίων, *μεγίστης πόλεως* (Θουκ.) · καὶ « *μεγαλοπόλιες Ἀθᾶναι* » (Πίνδ. Πυθ. ζ. 1) καὶ ἡ τῶν Συρακουσῶν· αὐτ. β. 1). Ἀλλ' ὅμως καὶ Λιβάνιος (ἐν ἐπις. ἐκδ. Wolf.) καὶ τῶν Βυζαντινῶν ἱςορικῶν συχνοὶ *μεγαλόπολιν* ἁπλῶς λέγοντες τὴν βασιλεύουσαν Κωνςαντινούπολιν ἐννοοῦσι (βλ. Παχυμέρ. εἰς Μιχ. Παλαιολογ. βιβλ. α. καὶ Γεωπον. προοιμ. σελ. 1.). Εἰς δὲ τὸ (περὶ τὰ μέσα τοῦ παρελθόντος αἰῶνος γραφὲν) χειρόγραφον προσκυνητάριον τοῦ Μεγάλου Σπηλαίου ἡ ῥῆσις τοῦ ἱεροῦ Θεοφάνους μνημονεύεται κατ' ἄλλην ἀνάγνωσιν, οὕτως. « Ἥτις (εἰκὼν τοῦ Λουκᾶ) *ἐν τῷ Μεγάλῳ Σπηλαίῳ* νῦν διασῴζεται ». Καὶ πόθεν μὲν ἀντέγραψεν ὁ τοῦ προσκυνηταρίου συγγραφεὺς τὴν ῥῆσιν τοῦ Θεοφάνους, ἂν ἐκ τῆς ἐκδόσεως, ἢ παλαιοῦ τινος χειρογράφου, δὲν μνημονεύει. Πρᾶγμα δὲν ὑπῆρχεν ἀδύνατον, ἵνα τὸ « *Μεγαλῳ-σπηλαιῳ* » ἔν τισι τῶν κωδήκων μεταβληθῇ ὑπὸ τῶν ἀντιγραφέων εἰς τὸ *Μεγαλο-πόλει* (καθὼς καὶ ἐξεδόθη)· ὁ δὲ τοῦ προσκυνηταρίου συγγραφεὺς ἔσωσε τὴν ἀληθῆ γραφὴν, ἀκριβεστέρῳ κώδηκι περιτυχών. Πλὴν τοῦτο χρῄζει τῆς καὶ ἀπὸ ἄλλων παλαιῶν χειρογράφων βεβαιώσεως· ὅσα δὲ χειρόγραφα μετεχειρίσθη ὁ τὸν Θεοφάνην τύποις ἐκδοὺς Σκόρσος, ἅπαντα περιεῖχον *ἐν τῇ Μεγαλοπόλει* (διότι οὐδεμίαν ἄλλην παρὰ ταύτην διάφορον ἀνάγνωσιν ἐσημείωσεν ὁ ἐκδότης). Καὶ φαίνεται λοιπὸν ἐν τοσούτῳ μᾶλλον πιθανώτερον, ὅτι ὁ τοῦ προσκυνηταρίου συγγραφεὺς ἐσφαλμένως παραναγνοὺς ἔγραψε Μεγαλοσπηλαίῳ ἀντὶ Μεγαλοπόλει.

(α) Βλ. Νικηφ. Κάλλις. Ἐκκλ. Ἱςορ. ιε, 14.—Γρηγορᾶ, Ἱςορ. βιβλ. ια. 9. σελ. 551 ἐκδ. Bon.—Ζωναρ. Χρον. πρβλ. καὶ ὑπομνήματα Scorsi εἰς Θεοφάνην Ταυρομ. σελ. 504. Ἐφέρετο δὲ ἡ ἁγία Εἰκὼν ἐκ τῆς Μονῆς τῶν Ὁδηγῶν εἰς τὸ παλάτιον τῆς Κωνσταντινουπόλεως χάριν εὐλαβείας (καὶ πρὸς μνήμην ἴσως τῶν δύω βασιλίδων) κατὰ τὸ τέλος τῆς Μεγάλης Μ. (τῇ παρασκευῇ τῆς ς. ἑβδομάδος τῶν νηστειῶν), καὶ ἔμενεν ἐν τῷ παλατίῳ μέχρι τῆς δευτέρας τῆς Διακαινησίμου, ὁπότε πάλιν μετεφέρετο εἰς τὴν Μονὴν τῶν Ὁδηγῶν μετὰ λιτανείας, συμπροοδεύοντος καὶ τοῦ Αὐτοκράτορος (βλ. Κουροπαλ. περὶ Ὀφικ. 16).

(β) Βλ. Βρυέν. *Λόγῳ εὐχαριστ. εἰς τὴν Θεοτόκ. Εἴρηται δὲ ἐν τῇ Μονῇ τῶν Ὁδηγῶν μετὰ τὴν ἐκ τῆς χώρας τῶν Ζώντων* (ὅπου μετὰ λιτανείας αὐτὴν εἶχον ἐξενεγκόντες τότε οἱ Κωνσταντινοπολῖται) *τῆς εἰκόνος ταύτης ἐπάνοδον* (Βρυεν. Τόμ. Β. σελ. 405, 406, 410, 411). Εἰς ταύτην τὴν ἁγίαν εἰκόνα τὸ πρῶτον ἐμελουργήθη τὸ διὰ πάσης τῆς Ἐκκλησίας ᾀδόμενον μελιχρότατον ᾆσμα. « *Ἄλαλα τὰ χείλη τῶν ἀσεβῶν τῶν μὴ προσκυνούντων τὴν εἰκόνα σου τὴν σεπτὴν, τὴν ἱστορηθεῖσαν ὑπὸ τοῦ Ἀποστόλου Λουκᾶ ἱερωτάτου, τὴν Ὁδηγήτριαν* ». Ὁδηγήτριαν δὲ τῶν ὕστερόν τινες ἐπωνόμασαν καὶ τὴν ἐν τῷ μεγάλῳ Σπηλαίῳ

9

αὕτη ἡ Ἀποστολικὴ εἰκών· καὶ ἴσως συνηφανίσθη τότε μετὰ τοσούτων καὶ ἄλλων κειμηλίων τῆς εὐσεβείας, ἢ καὶ λανθάνει που κεκρυμμένη καὶ ἀγνώριστος. Ἐνόμισάν τινες, ὅτι πρό τινων τῆς ἁλώσεως μηνῶν ἀναρπασθεῖσα μετεκομίσθη εἰς τὴν Μελίτην (Μάλταν)· καὶ ἔστιν αὐτὴ ἐκείνη, ἥτις μετὰ καὶ τῆς ἁγίας τοῦ Προδρόμου χειρὸς ἀπεστάλη πρό τινων ἐνιαυτῶν παρὰ τοῦ κοινοῦ τῶν Μελιταίων δῶρον ἱερὸν πρὸς τὸν ἀοίδιμον τῆς Ῥωσσίας Αὐτοκράτορα Παῦλον τὸν Α΄. (καὶ σώζονται νῦν τὰ ἅγια κειμήλια ταῦτα τεθησαυρισμένα ἐν τῷ κατὰ τὴν Πετρούπολιν εὐαγεστάτῳ Ναῷ τοῦ Παλατίου). Ἀλλὰ τὴν ἐκ Μελίτης Ἀποστολικὴν εἰκόνα ταύτην εἶχόν ἐκεῖ μετακομίσαντες οἱ Σταυροφόροι ἱππεῖς ἐξ Ἱερουσαλὴμ, ὅπου ἦσαν ἔκπαλαι (καθὼς προείπομεν) αἱ τρεῖς εἰκόνες τοῦ Λουκᾶ, ὧν ὑπῆρξε μία καὶ ἡ Ὁ δ η γ ή τ ρ ι α.

§. ς΄. Ἐκ δὲ τῶν ἄλλων τῶν καθ' ἡμᾶς σωζομένων, καὶ λόγοις χρυσοβούλλοις καὶ Πατριαρχικοῖς σιγιλλίοις ὡς ἰδιοχείρων τοῦ Ἀποστόλου Λουκᾶ κεχυρωμένων τῆς Θεοτόκου εἰκόνων μία μέν ἐστιν αὐτὴ ἡ Μεγασπηλαιώτισσα (εἰς ἣν μετ' ὀλίγον ἐπανερχόμεθα)· ἄλλη δὲ τεθησαύρισται ἐν τῇ κατὰ τὸν Πόντον πλησίον τῆς Τραπεζοῦντος σεβασμίᾳ Μονῇ τῇ ἐπιλεγομένῃ (ἀπὸ τοῦ ὄρους, ἐφ' οὗ κεῖται) τοῦ Μελέα, καὶ Μελᾶ, ἡ Σουμελᾶ. Ἀρχαιότατον δὲ καὶ τοῦτο Μοναστήριον, ἔτι περὶ τὰ τέλη τοῦ δ. αἰῶνος (τῷ 380) ἔν τινι μικρῷ Σπηλαίῳ καὶ τοῦτο καθιδρυθὲν ἐπ' ὀνόματι τῆς Θεοτόκου, καὶ βασιλικαῖς ὕστερον φιλοτιμίαις ὑπὸ τῶν Κομνηνῶν μάλιστα πεπροικισμένον (α). Αὕτη δὲ ἡ κατὰ τὸ Σουμελᾶ εἰκὼν τῆς Θεοτόκου ἐπιλέγεται καὶ Ὁδηγήτρια (κατὰ μίμησιν τῆς Κωνσταντινουπολίτιδος), καὶ Ἀθηναιῶτις, ἡ Ἀθηναιώτισσα, ὡς ἐξ Ἀθηνῶν ἀφιγμένη, ὅπου τὸ πρῶτον χρόνον τινὰ διέτριψεν ἐκ Θηβῶν μετακομισθεῖσα (β). Τρίτη δὲ τῶν τοῦ Λουκᾶ εἰκόνων σώζεται ἐν τῇ κατὰ τὴν νῆσον Κύπρον τοῦ Κ ύ κ κ ο υ ἐπιλεγομένῃ σεβασμίᾳ

Ἀποστολικὴν εἰκόνα τῆς Θεοτόκου (βλ. Περιγραφ. τῆς ἐν Κύπρῳ ἱερᾶς Μονῆς τοῦ Κύκκου σελ. 22 καὶ 23· ὅπου κατὰ μέγα λάθος ἱστορεῖται καὶ, ὅτι ἡ Θεοτόκος φέρει τὸν Μονογενῆ *ἐξ ἀριστερῶν*, ἐν ᾧ φέρει τοῦτον *ἐκ δεξιῶν*). Ἀλλὰ τῆς ἐν τῷ Μεγάλῳ Σπηλαίῳ Θεομητορικῆς εἰκόνος ἡ ἐπωνυμία λέγεται κυρίως ἡ *Σπηλαιώτισσα* (παρά τισι δὲ καὶ *Χρυσοσπηλαιώτισσα*, καθὼς προείπομεν) ἀπὸ τοῦ τόπου ἐπικαλουμένη, καθὼς καὶ ἐκ τοῦ Κύκκου ἡ *Κυκκώτισσα*, καὶ κατὰ τὴν Ἀθωνιάδα τῶν Ἰβήρων Μονὴν ἡ *Πορταΐτισσα*, (ἀπὸ τῆς πόρτας, ᾗ παράκειται), καὶ αὐτὴ, τέλος, ἡ ἐν Κωνσταντινουπόλει *Ὁδηγήτρια* ἀπὸ τῆς ὁδοῦ *τῶν ὁδηγῶν*.

(α) Ἄλλη δὲ ἡ κατὰ τὴν Συρίαν *Μονὴ τοῦ Σπηλαίου*, ὅπου ἀπέκειτο ἡ τιμία κάρα τοῦ ἁγίου Ἰωάννου, τοῦ Προδρόμου καὶ Βαπτιστοῦ, περὶ ἧς ἱστόρησεν ὁ ἱερὸς Θεοφάνης (Χρονογρ. σελ. 362. Paris 1655).

(β) Βλ. τὴν ἱστορίαν τῆς ἱερᾶς Μονῆς τοῦ Σουμελᾶ (ἐν ἀκολουθ. τῶν ὁσίων πατέρων Βαρνάβα καὶ Σωφρονίου κτλ.) σελ. 5. κτλ. Δείκνυται δὲ καὶ μέχρι σήμερον ἐν Ἀθήναις κατὰ τὴν ἀγορὰν πλησίον τῆς Ἀδριανοῦ Βιβλιοθήκης ἄντικρυ τοῦ πύργου τοῦ Ὡρολογίου ὁ ναὸς τῆς Θεοτόκου, ὅπου ἀνέκειτο ἡ εἰς Σουμελᾶ μετατεθεῖσα εἰκὼν, καὶ σώζεται μικρὸς τὸ μέγεθος, ἐπονομαζόμενος κοινῶς ἡ *Ἐκκλησία τῆς Μεγάλης Παναγίας*. — Περὶ δὲ τῆς ἐν Σουμελᾷ θεομητορικῆς Εἰκόνος καὶ ἄλλοι τῶν ἀρχαίων ἐμνημόνευσαν (βλ. τὴν ἱστορ. ἐνθ. ἀνωτέρ.), καὶ ὁ Πατριάρχης Ἱεροσολύμων Δοσίθεος λέγει ταῦτα· « Εἰς δὲ τὸ τοῦ Σουμελᾶ Μοναστήριον ἔστιν εἰκὼν τῆς Θεοτόκου ὡσεὶ πηχυαία. Λέγεται αὐτὴν εἶναι ἱστορίαν τοῦ Εὐαγγελιστοῦ Λουκᾶ » (Δοσίθ. Δωδεκαβιβλ. βιβλ. ιβ. κ. 9. §. 2. σελ. 1230). Ὁ δ' αὐτὸς ἀοίδιμος Πατριάρχης ἱστορεῖ ὅτι, « Καὶ ἐν τῷ Μοναστηρίῳ δὲ Κελάτη, κειμένῳ ἐπάνω τοῦ Κουτατησίου » (κατὰ τὴν Ἰμηρετίαν χώραν τῆς Ἰβηρίας καὶ συνήθως Γεωργίας) « ἐν τῇ ἄκρᾳ τοῦ τέμπλου, ὑψοῦ ἐπὶ τοῦ εὐωνύμου μέρους, ἐστὶ μία εἰκὼν τῆς Θεοτόκου μετὰ θυρίδων ἔσωθεν καὶ ἔξωθεν. Ἔλεγον δὲ ὅτι ἐστὶν ἱστορία τοῦ Λουκᾶ ἡ εἰκὼν ». (Αὐτ. αὐτ. ιβ. κεφαλ. 6. §. γ. σελ. 1202.).

Μονῇ (ἀπὸ τοῦ **Κόκκου**, καθὼς ἐκαλεῖτο πάλαι τὸ ὄρος, ἐφ' οὗ ᾠκοδόμηται)· λέγεται δὲ συνήθως ἡ εἰκὼν, ἡ Παναγία ἡ Κυκκώτισσα, καὶ (παρά τισιν) ἡ Ἐλεοῦσα (α). Τετάρτη δὲ τῆς Θεομήτορος ἀποστολικὴ καὶ περίδοξος εἰκὼν ἀπόκειται ἐν Βίλνᾳ τῇ πόλει κατὰ τὴν μικρὰν λεγομένην Ῥωσσίαν. Ἐπικέκληται δὲ αὕτη κυρίως ἡ Ἐλεοῦσα· καὶ ἀπεστάλη πρὸς τοὺς εὐσεβεστάτους Ῥώσσους παρὰ τῶν Αὐτοκρατόρων τῆς Κωνσταντινουπόλεως, ὅπου μετεκομίσθη ἐξ Ἀτταλείας (ὅτε αὕτη ἑάλω ὑπὸ Περσῶν). Εἰς Ἀττάλειαν δὲ ἦλθε τὸ πρῶτον ἐκ τῆς Αἰγύπτου (καθὼς λέγουσι). Περὶ δὲ τῆς ἐν Πετρουπόλει τὰ νῦν σῳζομένης, τῆς ἐκ Μελίτης, εἴπομεν ἀνωτέρω. Καὶ ταῦτα μὲν ἐν παρόδῳ περὶ τῶν ἄλλων Ἀποστολικῶν Εἰκόνων τῆς Θεοτόκου (β).

§. ζ'. Ἡ δὲ κατὰ τὸ Μέγα Σπήλαιον τῆς Θεομήτορος κηρόχυτος εἰκὼν (ἵνα πάλιν εἰς αὐτὴν ἐπανέλθωμεν) ὅτι γνήσιόν ἐστιν ἔργον αὐτῆς ἐκείνης τῆς τὸ θεῖον Εὐαγγέλιον συγγραψάσης δεξιᾶς τοῦ θεοπνεύστου Λουκᾶ μαρτυροῦσι τὰ ἐφεξῆς:

A.) Αὐτὴ ἡ τῶν ὁσίων ἡμῶν πατέρων Συμεὼν καὶ Θεοδώρου θεόπεμπτος ὀπτασία, καθ' ἣν ἐδιδάχθησαν καὶ ἐκινήθησαν εἰς ἀνεύρεσιν αὐτῆς. Αὕτη δὲ πάλιν ἡ ὀπτασία καθιστορεῖται ἐν τῇ ἀρχαιοτάτῃ βιογραφίᾳ τῶν Πατέρων, εὐθὺς μετ' αὐτοὺς κατὰ τὴν παράδοσιν αὐτῶν συγγεγραμμένη, περὶ ἧς προείπομεν ἐν τοῖς προοιμίοις.

B.) Τὸ εἶδος τῆς ἁγίας εἰκόνος ἀκριβῶς συμφωνεῖ πρὸς τὴν ὑπὸ τῶν ἱερῶν ἡμῶν πατέρων γενομένην περιγραφὴν τῶν ἰδιοχείρων τοῦ Λουκᾶ. « Κηρῷ καὶ χρώμασι βάψας ἐν εἰκόνι τιμᾶσθαι παρέδωκε τὸν χαρακτῆρα τῆς Θεομήτορος ὁ Ἀπόστολος Λουκᾶς (καθὼς ὅ,τε Συμεὼν ὁ γλυκὺς Μεταφραστὴς, καὶ Θεοφάνης ὁ Ταυρομενίας ἱστόρησαν ἀνωτέρω), κηρόχυτος, ἢ μᾶλλον κηρόπλαστος ὑπάρχει καὶ ἡ τῆς Σπηλαιώτιδος Παντανάσσης παν-

---

(α) Βλ. Περιγραφ. τῆς Μονῆς τοῦ Κύκκου σελ. 24—30. Ἐνετίῃσ· 1782. Ταύτην ἀπέστειλεν ὁ Αὐτοκράτωρ Ἀλέξιος ὁ Κομνηνὸς (τῷ 1100) εἰς τὴν ἐν Κύκκῳ Μονὴν, ἣν ἀνήγειρεν ὁ ὅσιος Ἠσαΐας, ὁ ἀσκητής.

(β) **Καὶ κατὰ τὴν Ἰταλίαν δὲ** σῴζονται εἰκόνες ἐπικαλούμεναι τοῦ Λουκᾶ, εἴτ' αὐτοῦ τοῦ Ἀποστόλου, εἴτε (τὸ πιθανώτερον) ἀντίγραφοι **ἐκ τῶν** ἰδιοχείρων τοῦ Λουκᾶ ἐκτυπωθεῖσαι, διὸ καὶ τούτου τ' ὄνομα φέρουσι. Τοιαῦται δείκνυνται ἐν Ῥώμῃ τρεῖς (μία ἐν τῇ Ἐκκλησίᾳ τῇ λεγομένῃ *τῆς ἁγίας Μαρίας τοῦ λαοῦ*, καὶ ἄλλη κατὰ τὴν Ἐκκλησίαν *τῆς ἁγίας **Μαρίας τῆς μείζονος***, καὶ τρίτη εἰς τὸ Καπιτώλιον ἐν τῷ Μοναστηριακῷ Ναῷ *τῆς Θεοτόκου τοῦ Ἀρακέλη*)· δείκνυνται δὲ καὶ ἄλλαι, οἷον ἐν Βονωνίᾳ, καὶ Βενετίᾳ, καὶ εἴτις ἄλλη ἀλλαχοῦ. Τούτων δὲ οὔτε λόγοι χρυσόβουλλοι, οὔτε ἄλλα δείγματα ἀρχαῖα (ὅσον ἡμεῖς γνωρίζομεν) μαρτυροῦσι τὸ ἰδιόχειρον τοῦ Ἀποστόλου. Τῶν δέ τινες νεωτέρων ἐνόμισαν αὐτὰς ἔργον νεωτέρου τινὸς ζωγράφου Λουκᾶ κἀκείνου καλουμένου· ἀλλὰ μᾶλλον φαίνονται ἔκτυπα τῶν Ἀποστολικῶν Εἰκόνων τῆς Θεοτόκου, ἄλλα παρ' ἄλλων ἄλλοτε ἀντιγεγραμμένα, ὁποῖα καὶ ἐν Γερμανίᾳ καὶ ἐν Γαλλίᾳ καὶ ἐν Ἰσπανίᾳ ἐπιδείκνυνται· πάντων, ὡς εἰπεῖν, τῶν κατὰ τὴν οἰκουμένην χριστεπωνύμων ἐθνῶν ἔκπαλαι δι' εὐλάβειαν φιλοτιμηθέντων εἰς τὴν κτῆσιν καὶ αὐτῶν τῶν ἀντιτύπων τῆς ἀποστολικῆς ἱερογραφίας· (Οὕτως ὁμόφωνος ἐξ ἁπάντων τῶν χριστιανικῶν λαῶν ἀνέκαθεν ἀναβαίνει ἡ βεβαίωσις, ὅτι ὁ Ἀπόστολος καὶ Εὐαγγελιστὴς Λουκᾶς ἐζωγράφησε πρῶτος τὴν παναγίαν τῆς Θεοτόκου μορφήν). Ἀναγινώσκομεν δὲ καὶ ῥητῶς, ὅτι καὶ κατὰ τοὺς χρόνους τοῦ ἁγίου Γερμανοῦ, πατριαρχοῦντος τῆς Κωνσταντινουπόλεως, αὐτοῦ κελεύσαντος τοῦ Πατριάρχου, ἀντεγράφη ἔκτυπον τῆς ὑπὸ τοῦ Ἀποστόλου Λουκᾶ ζωγραφηθείσης εἰκόνος τῆς Θεοτόκου· καὶ τοῦτο τὸ ἔκτυπον ἐπωνομάζετο ἐφεξῆς *τῆς Θεοτόκου τῆς Ῥωμαίας* (ὡς ἐν Ῥώμῃ τεθησαυρισμένον)· βλ. *Διήγησιν* χειρόγραφον, ἧς ἡ ἀρχή. « Καὶ πάντα ὁ χρόνος » (ὁ συγγραφεὺς ἀνώνυμος. βλ. Lambecii VIII, p. 325. καὶ Fabric. Bibl. Græc. Vol. X. p. 285. ed. Harl.).

λόγητος μορφῇ, καὶ χρώμασι βεβαμμένη, καὶ (τοῦτ' αὐτὸ τὸ τοῦ ὑπομνήματος) « κατεσκευασμένη διὰ ζωγραφικῆς τέχνης ἐκ κηροῦ », (καθὼς προδιεγράψαμεν ἀνωτέρω). Καὶ φαίνεται μὲν ὁ θεῖος Λουκᾶς, ὅτι καὶ διὰ γραφίδος μόνης καὶ χρωμάτων (ἢ ἁπλῶν, ἢ ἐγκηρώτων) ἐζωγράφησεν ὁμαλὰς καὶ λείας εἰκόνας τῆς Θεοτόκου, καθὼς πάλιν εἶπεν ὁ ἱερὸς Νικηφόρος « ἐν γραφῇ χρωμάτων ἀνιστορῆσαι » (καὶ τοιαῦται λεῖαι χρωματογραφίαι ὑπάρχουσι καὶ αἱ σήμερον ὡς ἰδιόχειροι τοῦ Ἀποστόλου τιμώμεναι Θεομητορικαὶ εἰκόνες, ἥτε κατὰ τὴν Μονὴν τοῦ Κύκκου, καὶ ἡ κατὰ Σουμελᾶν, καὶ ἡ ἐν Βίλνᾳ, καθὼς προείπομεν ἀνωτέρω)· ἀλλ' ὅμως τὴν ἐν Κωνσταντινουπόλει Ὁδηγήτριαν κηρῷ καὶ χρώμασιν ὑπὸ τοῦ Ἀποστόλου τετυπωμένην ἱστόρησεν ἀνωτέρω Θεοφάνης ὁ Κεραμεὺς (ὡς ἀνάγλυφον δηλονότι κἀκείνην). Καὶ ἄλλως δὲ ἡ αὐτὴ τῶν ζωγράφων κηρογραφία καὶ λείας ἐξεικόνιζε τὰς μορφάς, καὶ ἐκτύπους ἢ ἀναγλύφους, κατὰ τὴν Σπηλαιώτισσαν (α).

Γ.) Ὁ θεῖος Δαμασκηνὸς στήλην ἐν πίναξιν ὠνόμασε τὴν ὑπὸ τοῦ Ἀποστόλου τυπωθεῖσαν εἰκόνα τῆς Θεοτόκου. Καὶ σημαίνει μὲν ἡ στήλη καταχρηστικώτερον πᾶσαν εἰκόνα γραπτὴν (παρὰ τοῖς νεωτέροις μάλιστα)· κυρίως δὲ στήλη λέγεται οὐ μόνον ἡ καὶ συνήθως στήλη καὶ κολώνα, ἀλλὰ καὶ τὸ ἀνεστηλωμένον καὶ ἐξέχον, οἷον ἄγαλμα, καὶ ἐκ λίθων καὶ ξύλων ἢ μετάλλων ἀναγεγλυμμέναι εἰκόνες. Κατὰ ταύτην οὖν τὴν σημασίαν στήλη τις ἂν εἴη καὶ τὸ παραδεδεγμένον εἰς τὴν ἁγίαν Ἐκκλησίαν ἀνάγλυφον ἔκτυπον (τὸ καὶ ἄλλως πρόστυπον) εἶδος τῶν εἰκόνων (ὁποῖα πολλὰ τῶν ἱερῶν ἐγκολπίων ἐν Ἄθωνι καὶ ἀλλαχοῦ τορευτὰ καλλιτεχνοῦνται· τοιαῦτα δὲ καὶ τῶν ἱερῶν Εὐαγγελίων ἐξ ἀργύρου ἢ ἄλλης ὕλης ἐπιτιθέμενα πανσέβαστα εἰκονίσματα)· ἀνάγλυφος δὲ καὶ ἀνάπεμπτος (ὡς προείπομεν), καί, τοῦτ' αὐτό, στήλη τις ἐν πίνακι ὑπάρχει καὶ ἡ τῆς Σπηλαιωτίσσης χαριτόβρυτος εἰκών· ὅθεν καὶ οἱ Ἀβραμῖται πρὸς τὸν Θεόφιλον ἔλεγον ἀνωτέρω, ὅτι ὁ θεῖος Λουκᾶς τὴν τῆς Θεοτόκου μορφὴν ἀνετύπωσεν, ἐννοοῦντες δηλονότι καὶ αὐτοὶ διὰ τοῦ ἀνετύπωσε ῥήματος τὴν ἄνω τετυπωμένην ἢ ἔκτυπον γλυφὴν καὶ τορείαν τῶν ἀνωφερῶν καὶ ἐξεχόντων ἐπὶ τοῦ ὑποκειμένου ἐπιπέδου τυπωμάτων, πρὸς διαστολὴν καὶ διάκρισιν τῶν ἀτορεύτων καὶ ὁμαλῶν καὶ λείων ἐπὶ πίνακος ζωγραφιῶν.

Δ.) Ὁ Ῥαμεώτης (ἐν τῷ χειρογράφῳ τῆς Ὁπλοῦς) ὀνομάζει ῥητῶς ἰδιόχειρον τοῦ Λουκᾶ τὴν ἐν τῷ Μεγάλῳ Σπηλαίῳ εἰκόνα τῆς Θεοτόκου, κηρῷ τε διαμεμορφωμένην, καὶ χρώμασιν ἐζωγραφημένην (καθὼς προείπομεν ἀνωτέρω).

Ε.) Ὁ σῳζόμενος χρυσόβουλλος λόγος Ἰωάννου τοῦ Κανταχουζηνοῦ διακηρύττει τὴν Ἀποστολικὴν εἰκόνα τῆς Σπηλαιωτίσσης συμφώνως πρὸς ἃ μνημονεύει προγενέστερα χρυσόβουλλα Ἀνδρονίκου, καὶ Μιχαὴλ τῶν Παλαιολόγων.

(α) Κατὰ μίμησιν τῆς Σπηλαιωτίσσης ἀνάγλυφος ἐξεικονίσθη καὶ ἡ τῆς Προυσσιωτίσσης ἐπιλεγομένη πάνσεπτος εἰκὼν τῆς Θεοτόκου· τεθησαύρισται δὲ αὕτη ἐν τῷ εὐαγεῖ μοναστηρίῳ τῷ κατὰ τὴν Ὄθρυν (ὄρος πρὸς τὰς ἄκρας τῆς Φθιώτιδος Θετταλίας μακρὸν παρατεταμένον καὶ χυδαιότερον λεγόμενον Βελοῦχι)· ᾠκοδόμηται δὲ καὶ τοῦ μοναστηρίου τούτου μόνος ὁ ναὸς ἐν Σπηλαίῳ μικρῷ. Προυσσιώτισσα δὲ τὸ ἐπίκλην ἡ εἰκὼν ὠνομάσθη ὡς ἐκ Προύσσης μετακομισθεῖσα (ἐπὶ Θεοφίλου τῷ 829). Λέγεται δὲ καὶ αὕτη μία τῶν Ἀποστολικῶν, ἢ ἐκείνων ἀντίτυπος, τὸν δὲ Μονογενῆ κρατεῖ πρὸς τ' ἀριστερά (βλ. ἱερὰν Διήγησ. περὶ τῆς Θεοτόκου τῆς Προυσσιωτίσσης, ἐν Ἀθήν. 1838).

ϛ.) Καὶ τελευταῖον, ὁ ἱστορικὸς Νικηφόρος, ὁ Κάλλιστος ἤκμαζεν ἐπὶ τοῦ ῥηθέντος Ἀνδρονίκου τοῦ Γέροντος (πρὸς ὃν καὶ τὴν βίβλον τῆς ἱστορίας ἐν τοῖς προοιμίοις προσφωνεῖ), καὶ ἐπὶ τῶν τούτου διαδόχων, Μιχαὴλ τοῦ Παλαιολόγου, καὶ τοῦ τούτου υἱοῦ Ἀνδρονίκου (ὃν ἐπετρόπευεν Ἰωάννης ὁ Κανταχουζηνὸς), φίλος ὢν καὶ τιμώμενος παρὰ τοῖς βασιλεῦσι τούτοις, οὓς καὶ διὰ στίχων εὐφήμως ἐμνημόνευσεν (α). Οὗτος δὲ ὁ γηραιὸς Ἀνδρόνικος, καὶ ὁ υἱὸς Μιχαὴλ, καὶ Ἰωάννης ὁ Κανταχουζηνὸς ἀνακαινισταὶ γενόμενοι τῆς ἱερᾶς τοῦ μεγαλωνύμου Σπηλαίου Μονῆς, καὶ τὴν ἐν αὐτῷ τιμωμένην ἁγιόγλυφον εἰκόνα τῆς Θεομήτορος ἰδιόχειρον ἔργον τοῦ Ἀποστόλου Λουκᾶ ἀνεκήρυξαν ἐν τοῖς χρυσοβούλλοις (καθὼς προείπομεν ἀνωτέρω). Καὶ ὁ ἱστορικὸς λοιπὸν Νικηφόρος συνεμαρτύρει τοῖς συγχρόνοις βασιλεῦσιν, ἐννοῶν δηλαδὴ καὶ αὐτὸς τὴν Μεγασπηλαιώτισσαν μίαν τῶν εἰς δεῦρο (καὶ τότε δηλονότι κατ' αὐτὸν) σῳζομένων εἰκόνων τοῦ Χριστοῦ καὶ τῆς Θεομήτορος, ἃς ὁ Ἀπόστολος Λουκᾶς εἰδυίαις χερσὶν ἀνιστόρησε. Τὰ δ' ἀπὸ τοῦ ἀοιδίμου Πατριάρχου Παρθενίου (τῷ 1690) καὶ ἐφεξῆς σῳζόμενα Πατριαρχικὰ σιγιλλιώδη γράμματα, τὰ διακηρύττοντα τὸ κῦρος τῆς ἁγίας εἰκόνος, ἐκδίδομεν ἐφεξῆς (β).

(α) Ἐν Συνόψ. πάσης Γραφ. πρὸς τῷ τέλει. Ἰδοὺ καὶ οἱ στίχοι αὐτοί·

« Στεῤῥὸς Μιχαὴλ Παλαιολόγος μέγας,
Ὃς Λατίνους ἔξωσε τῆς Κωνσταντίνου.
Τῆς εὐσεβείας Ἀνδρόνικος ὁ στύλος,
Ἀσύγκριτος νοῦς, ἐξῃρημένη φύσις.
Λαμπρὸς Μιχαὴλ Παλαιολόγος τρίτος,
Ὄντως βασιλεὺς καὶ λόγοις καὶ πρακτέοις.
Ἀνδρόνικος παῖς, συνδρομὴ τῶν χαρίτων.
Οὓς περ φυλάττοις εἰς χρόνους ἀπειρίτους
Λόγος παλαιὲ, παντάναξ, παντοκράτωρ ».

(β) Καὶ ἐν τῇ ἱστορίᾳ τῆς Μονῆς τοῦ Σουμελᾶ, ἣν ὁ μακαρίτης καὶ περικλεὴς ἐν διδασκάλοις Νεόφυτος Ἱεροδιάκονος ὁ Καυσοκαλυβίτης ἐξέδωκεν ἐκ παλαιῶν ἐρανισάμενος χειρογράφων (ἀπὸ τοῦ ϛ. αἰῶνος μέχρι τοῦ ιζ.) ἡ Μεγασπηλαιώτισσα εἰκὼν ἀριθμεῖται μία τῶν τριῶν ἰδιοχείρων τοῦ Ἀποστόλου Λουκᾶ· ὡσαύτως καὶ εἰς τὸν Νέον Θησαυρὸν ἐν βίῳ τοῦ Ἀποστόλου Λουκᾶ (Ὀκτωβρ. ιη. Ὁμιλ. γ. σελ. 33. Ἐνετίῃσι 1805) ἀναγινώσκονται ταῦτα. « Ἡ μία (τῶν τριῶν εἰκόνων τοῦ Λουκᾶ) εὑρίσκεται εἰς τὴν Πελοπόννησον εἰς τὸ Μοναστήριον τοῦ Μεγάλου Σπηλαίου· ἡ δὲ δευτέρα, εἰς τὴν μικρὰν Ῥωσσίαν εἰς Βίλναν· ἡ δὲ τρίτη δὲν ἔχομεν βέβαιον ποῦ εὑρίσκεται ». Καὶ ταῦτα μὲν ἀτελῶς ὁ τοῦ Θησαυροῦ συγγραφεύς. Ὁ δὲ μακαρίτης Σεραφεὶμ ὁ Ἀγκύρας, ὁ Πισσίδειος, μεταφράσας τὸν Θησαυρὸν καὶ Τουρκιστὶ, χάριν τῶν ἐν τῇ Ἀσίᾳ Ὀρθοδόξων (ὧν τὸ πλῆθος τουρκιστὶ διαλέγεται) ἐσφάλη περὶ τὴν ὀνομασίαν τοῦ Μεγάλου Σπηλαίου· διότι ἀντὶ τοῦ, *εἰς τὸ Μέγα Σπήλαιον* (ὡς ἔχει τὸ κείμενον) αὐτὸς ἔγραψεν εἰς τὴν μετάφρασιν « *εἰς τὸ ἐν Κύπρῳ Μοναστήριον τοῦ Κύκκου* » (Τασφιρὶν μπιρισὶ Κύπριζδα Κύκκο ἀγγιλὰν Μοναστηρὰ τηρ. »). Εὑρίσκεται, ναὶ, καὶ εἰς τὸ Μοναστήριον τοῦ Κύκκου ἰδιόγραφος τοῦ Λουκᾶ εἰκὼν τῆς Θεοτόκου (πρᾶγμα, τὸ ὁποῖον ἴσως ἠγνόει ὁ συγγραφεὺς τοῦ Νέου Θησαυροῦ)· ἀλλ' ὁ μεταφραστὴς ἔπρεπε μᾶλλον, ἵνα διὰ σημειώσεως προσθέσῃ τοῦ Κύκκου τὴν ἔλλειψιν, μήτε τὸ ἑλληνικὸν κείμενον διαφθείρας ἐξ ἀπροσεξίας, μήτε τὴν ἀλήθειαν· ἀλλ' ἴσως τὸ σφάλμα προῆλθεν ἐκ τῆς ἀβλεψίας τοῦ τυπογράφου συγχύσαντος τὴν φράσιν τοῦ χειρογράφου· διότι αὐτὸς

Καὶ φαίνεται ἄρα πανταχόθεν ἔργον ἱερὸν τῆς Ἀποστολικῆς τοῦ Λουκᾶ δεξιᾶς ἡ Σπηλαιώτισσα τῆς Παντανάσσης εἰκών· καὶ τίς οἶδεν ἂν δὲν ὑπάρχει αὐτὴ ἐκείνη, τὴν ὁποίαν πρῶτον ὁ θεῖος ζωγράφος παρέστησεν εἰς τὴν Θεοτόκον, ἡ δὲ Πανύμνητος εἶπεν ἐπ' αὐτῇ τὴν ἀοίδιμον ἐκείνην φωνὴν « Ἡ χάρις τοῦ ἐξ ἐμοῦ τεχθέντος εἴη μετ' αὐτῆς »!

§. η. Πῶς δὲ ἄρά γε, καὶ πότε, καὶ ὑπὸ τίνος ἡ Ἀποστολικὴ τῆς Θεομήτορος εἰκὼν ἀπετέθη τὸ πρῶτον ἐν τῷ Μεγάλῳ Σπηλαίῳ, ὅπου μετὰ ταῦτα τῇ μακαρίᾳ Κόρῃ καὶ τοῖς πατράσιν ἀπεκαλύφθη; Περὶ τούτου οὐδὲν ἔχομεν βέβαιον, οὔτε ἐκ τῆς παλαιᾶς τῶν πατέρων βιογραφίας, οὔτε ἐκ παραδόσεως ἐκπεφασμένον· εἰκασίαι δέ τινες λέγονται, καὶ τῶν ἄλλων μάλιστα πιθανωτάτη ἡ ἐφεξῆς. Ὁ θεῖος Δαμασκηνὸς λέγει περὶ τοῦ θεοῤῥήμονος Λουκᾶ, ὅτι τὴν τιμίαν εἰκόνα τῆς Θεομήτορος ὁ Λουκᾶς ἱστορήσας « πρὸς Θεόφιλον ἔπεμψεν »· ὁ δὲ Θεόφιλος ὑπῆρχεν ἀνὴρ ἀξιωματικὸς καὶ ἡγεμών, καθὼς μαρτυρεῖ τὸ κράτιστος ἐπίθετον, ὡς ἐπονομάζει τὸν Θεόφιλον ὁ Εὐαγγελιστὴς « κράτιστε Θεόφιλε » (Λουκ. α. 3.) « τὸ γὰρ κράτιστος » (ὡς λέγει ὁ θεῖος Χρυσόστομος καὶ ἐξ αὐτοῦ ὁ ἱερὸς Θεοφύλακτος) « ἐπὶ τῶν ἀρχόντων καὶ ἡγεμόνων » (οὕτω καὶ Φῆλιξ, καὶ Φῆστος οἱ ἡγεμόνες κράτιστοι ἐπονομάζονται, Πράξ. κγ, 26. κδ, 3. κϛ, 25.)· διὸ καί τινες τῶν πατέρων δικαίως εἶπον τὸν Θεόφιλον ἔπαρχον τῆς Ἀχαΐας, ὑπὸ τοῦ θείου Λουκᾶ κατηχηθέντα καὶ πιστεύσαντα, ὁπότε κατὰ τὴν Ἀχαΐαν διέτριβεν ὁ Εὐαγγελιστής, ὅθεν εἰς αὐτὸν προσεφώνησε καὶ τὸν πρῶτον λόγον (τὸ Εὐαγγέλιον δηλονότι), καὶ τὰς πράξεις τῶν Ἀποστόλων (ὡς δεύτερον δηλονότι βιβλίον ταύτας ὕστερον συγγραφείσας). Οὐδόλως λοιπὸν ἀπίθανον φαίνεται, ἀλλὰ καὶ μάλιστα εὔλογον, ὅτι παραδιδοὺς τὸ Εὐαγγέλιον ὁ Λουκᾶς τῷ Θεοφίλῳ κατὰ τὴν Ἀχαΐαν, παρέδωκε καὶ τὴν εἰκόνα τῆς Θεοτόκου. Μόνος τῶν θεοπνεύστων Εὐαγγελιστῶν ὁ Λουκᾶς ἐξιστόρησε καὶ τὸν Εὐαγγελισμόν, καὶ τὴν πρὸς τὴν Ἐλισάβετ συγγένειαν, καὶ αὐτὴν τὴν πολυύμνητον ᾠδὴν τῆς Κεχαριτωμένης· καὶ πάλιν αὐτῆς καὶ μετὰ τὴν Ἀνάληψιν τοῦ Σωτῆρος ἀπεμνημόνευσεν ἐν ταῖς Πράξεσι (Πράξ. α.). Οὕτως ὑπὸ τοῦ λαλοῦντος ἐν αὐτῷ πνεύματος ἀγόμενος ὁ τοῦ Χριστοῦ κῆρυξ καὶ Εὐαγγελιστὴς ἀπέβη συγχρόνως ὁ αὐτὸς κῆρυξ καὶ ὑπογραφεὺς καὶ τῶν θείων μεγαλείων τῆς μόνης ἐν γυναιξὶν εὐλογημένης. Καθὼς δὲ μεταξὺ τῶν ἄλλων Εὐαγγελιστῶν αὐτὸς ἐξαιρέτως διέγραψε τὴν θεομητορικὴν τῆς Παρθένου Μαρίας ἀξίαν ἐν τοῖς Εὐαγγελίοις, οὕτω καὶ τὴν παναγίαν αὐτῆς μορφὴν ἐξετύπωσεν ἐν πίναξι καὶ χρώμασιν· ὅθεν καὶ πρὸς τὸν ἡγεμονικὸν Θεόφιλον προσάγων πρῶτον τὸ Εὐαγγέλιον τοῦ Ἰησοῦ Χριστοῦ, δικαίως παρέδωκε καὶ τὴν εἰκόνα τῆς κατὰ σάρκα μητρὸς οὗ εὐηγγελίζετο Σωτῆρος τῶν ὅλων, ἀγκαλοφορούσης καὶ τοῦτον αὐτὸν τὸν δι' ἡμᾶς σαρκὶ νηπιάσαντα. Αὐτὸς δὲ ὁ Θεόφιλος βλέπων μὲν σωματικῶς ἐν τῇ εἰκόνι τὸν τύπον τοῦ σαρκωθέντος Θεοῦ, θερμότερον ἀνήγετο εἰς τὴν νοερὰν θεωρίαν καὶ λατρείαν τοῦ μυστηρίου, καὶ λαμπρότερον ἐπεγίνωσκε « Περὶ ὧν κατηχήθη λόγων τὴν ἀσφάλειαν »· ἀναγινώσκων δὲ πάλιν ἐν τῷ Εὐαγγελίῳ τὴν φανέρωσιν τῆς θείας οἰκονομίας ἔλεγε καὶ αὐτὸς πρὸς τὴν Ἀειπάρθενον μετὰ τοῦ ἀρχαγγέλου Γαβριήλ, τὸ « Χαῖρε κεχαριτωμένη »;

οὗτος πάλιν ὁ μακαρίτης Σεραφείμ, εἰς ἣν ἐξέδωκε περιγραφὴν τοῦ Μοναστηρίου τοῦ Κύκκου, ἀνεκήρυξε « *τὴν ἐν τῷ μεγάλῳ Σπηλαίῳ εἰκόνα τῆς Θεομήτορος μίαν τῶν τριῶν ἰδιοχείρων τοῦ Ἀποστόλου Λουκᾶ* » (Περιγραφ. σελ. 23.).

ὡς παροῦσαν αὐτὴν φανταζόμενος διὰ τῆς εἰκόνος, καὶ σχετικῶς προσκυνῶν καὶ γεραίρων τὴν ὑπὸ πασῶν τῶν γενεῶν μακαριζομένην εἰς τοὺς αἰῶνας. Ἐκ δὲ τοῦ Θεοφίλου θανόντος, εἰς ἄλλου χριστιανοῦ χεῖρας ἡ Θεομητορικὴ εἰκὼν μεταβᾶσα κατεκρύβη, τέλος, εἰς τὸ Μέγα Σπήλαιον, ἐν καιρῷ τῶν ἐφεξῆς παρὰ τῶν Ἐθνικῶν κατὰ τῆς εἰς Χριστὸν πίστεως γενομένων διωγμῶν. Τῶν δὲ κρυψάντων τὴν εἰκόνα θανόντων, ἢ καὶ διὰ Χριστὸν φονευθέντων, ἀπέμεινεν ἐν τῷ Σπηλαίῳ κεκρυμμένος ὁ θησαυρὸς, ἄγνωστος, μέχρις οὗ ἀπεκαλύφθη εἰς τὴν ἁγίαν Κόρην καὶ τοὺς θεσπεσίους Πατέρας. Ἀλλ' ὅπως ποτ' ἂν ἦλθεν εἰς τὴν Ἀχαΐαν, καὶ ὑφ' οὗ τινος, καὶ ὅσον χρόνον ἐκρύβη ἐν τῷ Σπηλαίῳ τοῦτο τὸ τῆς Θεομήτορος Ἀποστολικὸν ἔκτυπον, εὐλογητὸς Κύριος ὁ Θεὸς ἡμῶν ὁ πάντα πρὸς σωτηρίαν τῶν ἀνθρώπων οἰκονομῶν· καὶ εὐλογημένη ἡ πανάχραντος Μητροπάρθενος, ἥτις μιμουμένη τὸν Υἱὸν αὐτῆς τὸν Μονογενῆ καὶ Νυμφίον τῆς Ἐκκλησίας « ἐκρύβη φεύγουσα ἐπὶ τὰ ὄρη τῶν ἀρωμάτων », καὶ πάλιν ἐπεφάνη διὰ τῆς ἁγίας αὐτῆς μορφῆς, καὶ εἰσήνεγκεν αὐτὴν ὁ βασιλεὺς τῶν αἰώνων καὶ τῶν τόπων εἰς τὸ ταμεῖον αὐτοῦ, τὸν εὐαγέστατον Ναὸν, εἰς δόξαν καὶ λατρείαν τοῦ παναγίου αὐτοῦ ὀνόματος! Τοσαῦτα περὶ τῆς εἰκόνος τῆς παμμακαρίστου Δεσποίνης τοῦ παντὸς καὶ τοῦ μεγάλου Σπηλαίου.

§. θ'. Ἡμέρα δὲ καθ' ἣν εὗρον οἱ θεόληπτοι πατέρες ἡμῶν τὴν ἁγίαν εἰκόνα παραδέδοται ἡ κγ. τοῦ Αὐγούστου μηνὸς, ἡ καὶ τὰ Ἀπόδοτρα λεγομένη· καὶ ταύτην ἡ ἱερὰ τοῦ Σπηλαίου Μονὴ διπλῶς ἑορτάζει, ἐπί τε τῇ κοινῶς ἑορταζομένῃ ἀποδόσει τῆς ἑορτῆς τῆς Κοιμήσεως, καὶ ἰδίως ἐπὶ τῇ εὑρέσει τῆς ἁγίας εἰκόνος.

§. ι'. Ἀλλ' ἱκανούσθω καὶ τοῦτο τὸ κεφάλαιον· ἤδη δὲ διαγράφομεν καὶ ὀλίγα τινὰ τῶν διὰ τῆς ἁγίας καὶ Θεομητορικῆς Εἰκόνος ὑπὸ Θεοῦ τετελεσμένων καὶ περιϋμνουμένων θαυμάτων. Πολλὰ δὲ τούτων καὶ τὰ παλαιότατα ὑπῆρχον καταγεγραμμένα ἐν τοῖς πυρποληθεῖσιν ἐκείνοις ἀρχαίοις ὑπομνήμασι τῆς Μονῆς· καί τινα τούτων ἔτι καὶ νῦν ᾄδονται παρὰ πολλοῖς κατὰ παράδοσιν. Ἡμεῖς δὲ μήτε τοὺς ἀρχαίους ἐκείνους κώδηκας ἔχοντες, καὶ προσέτι (καθὼς ἔλεγεν ὁ ἱερὸς Θεοδώρητος ἐν τῇ φιλοθέῳ ἱστορίᾳ) « φειδόμενοι τῆς ἀπιστούσης ἀκοῆς, ὡς ἂν μὴ βλαβεῖεν οἱ τὸ ἀληθὲς, τῷ μεγέθει τῶν λεγομένων, ψεῦδος οἰόμενοι », ἀρκούμεθα μόνον ὀλίγα τινα καὶ τὰ προφανέστατα τῶν κατὰ καιροὺς γενομένων μυρίων θαυμάτων ἀπαριθμοῦντες, ἐν οἷς ὑπάρχουσι καί τινα τῶν, ὅσων καὶ οἱ καθ' ἡμᾶς γέροντες αὐτόπται γεγόνασιν. Ἄλλων δὲ πολλῶν καὶ καθ' ἡμᾶς αὐτοὺς καθ' ἑκάστην τελουμένων (καὶ θείᾳ δυνάμει ἀείποτε τελεσθησομένων) θαυματουργιῶν μάρτυρας ἀψευδεῖς καὶ στεντορείους κήρυκας καταλείπομεν αὐτοὺς τοὺς εὐεργετουμένους, οἵτινες διηγοῦνται καὶ διηγήσονται πάντα πρὸς δόξαν Θεοῦ « τοῦ θαυμαστοῦ ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ ἐν τῇ τῶν ἁγίων ἁγίᾳ, τῇ παντανάσσῃ Μητρὶ αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Ἀπαρίθμησις τινῶν ἐκ τῶν θαυμάτων ὅσα διὰ τῆς ἁγίας εἰκόνος ἐτέλεσε δεξιὰ Κυρίου ἡ ποιοῦσα δύναμιν.

Α΄.

Τὰ κατ' αὐτὴν τὴν ἁγίαν Εἰκόνα Θαυμάσια.

§. ά. Πρῶτον θαῦμα τῆς ἐν τῇ θεομητορικῇ εἰκόνι ἐνεργούσης θείας χάριτος ἔστι τε καὶ δείκνυται διὰ παντὸς αὐτὴ ἡ παντευλόγητος Εἰκὼν, ἄφθαρτος καὶ ἀκήρατος διὰ τοσούτων αἰώνων διατελοῦσα. Πολλοὺς ἡλίων κύκλους διέμεινεν ἐν τῷ εὑρώεντι Σπηλαίῳ κεχρυμμένη καὶ λανθάνουσα, καὶ (μετὰ τὴν ἁγίαν αὐτῆς εὕρεσιν) χιλίους ἤδη πεντακοσίους ἐνιαυτοὺς πρόκειται εὐπρόσιτος καὶ ἀνοικτὴ πρὸς πάντας τοὺς μετ' εὐλαβείας ἀσπαζομένους. Μυριάδων χειλέων ἅγια φιλήματα, καιομένης καρδίας ἄσθμα πνέοντα θερμὸν, καὶ χλωραὶ τακερῶν δακρύων λιβάδες ἐκ μυρίων ὀφθαλμῶν καταστάζουσαι, προσκολλῶνται ἀδιαλείπτως ἐπ' αὐτοῦ τοῦ χρωτὸς τῆς ἀχράντου μορφῆς παρὰ τῶν ἀείποτε προσερχομένων. Νυκτὸς καὶ ἡμέρας διὰ τοσούτων αἰώνων καίουσιν ἐνώπιον αὐτῆς λύχνων καὶ λαμπάδων πυκνῶν πυρώδεις αὐγαί· καὶ θυμιαμάτων εὐόσμων ἀτμίδες ἀένναοι καὶ ζέουσαι περιίπτανται. Καὶ ὅμως ὁ φύσει τηκτὸς καὶ εὔλυτος κηρὸς (ἐξ οὗ μάλιστα συνίσταται ἡ κηρόχυτος ὕλη τῆς εἰκόνος) ἀντέχει πρὸς πάντα πάγιος καὶ ἀρτιμελὴς, καὶ οὔτε λύεται, οὔτε κἂν συνιζάνει χθαμαλούμενος ἢ ῥυτιδούμενος κατὰ τόπους, ἀλλὰ μένει στεῤῥότερος ἀδάμαντος, καὶ νεάζει τραφερὸς καὶ ἀνένδοτος καὶ εὐπαγὴς, ὡς ἀρτιγλυφὴς καὶ νεωστὶ τετορευμένος, ὁποῖον αὐτὸν διέπλασε τὸ πρῶτον ἡ ἀποστολικὴ τοῦ θεοῤῥήμονος ζωγράφου δεξιά. Καὶ αὐτὴ δὲ ἡ, περὶ ἧς εἴπομεν ἐν τοῖς ἔμπροσθεν (κεφ. ς, §. 6.), διαφαινομένη λεπτὴ τῆς ἱερᾶς ὀθόνης ἄκρα διαρκεῖ ἀκήρατος καὶ ἄσηπτος, ἠρέμα προφαίνουσα τὴν ὑφὴν, καὶ ταύτην ἄλυτον καὶ συνεστηκυῖαν, ὡς νεωστὶ καταβᾶσαν ἀπὸ τοῦ ὑφαντικοῦ ἱστοῦ. Καὶ πληροῦται λοιπὸν καὶ εἰς τὴν ἁγίαν ταύτην εἰκόνα τῆς Θεοτόκου ὅ,τι καὶ περὶ τῆς τιμίας αὐτῆς ἐσθῆτος καὶ ζώνης μελῳδεῖ λαμπρῶς ἡ Ἐκκλησία « ὅτι κἀκεῖνα διέμειναν ἄφθαρτα, κατὰ τὸν ἄφθορον τόκον τῆς Θεομήτορος· ἐπ' αὐτῇ γὰρ καὶ φύσις καινοτομεῖται καὶ χρόνος » (α).

§. 6΄. Θαυμαστὸν δὲ προσέτι καὶ ὅπως, τοσούτων πολλάκις ἐπελθόντων κινδύνων, ἀβλαβὴς ἡ

(α) Ὅθεν καί τις τῶν καθ' ἡμᾶς εὐλαβῶν τῆς ἁγίας καὶ ἀποστολικῆς Εἰκόνος προσκυνητῶν ἐμελῴδησεν εἰς αὐτὴν νεωστὶ τὰ ἐφεξῆς τρία ᾄσματα, ἢ *Μεγαλυνάρια* (πρὸς τὸ, Τὴν τιμιωτέραν, κτλ.)

† « Γηραιοὶ αἰῶνες πρὸ σῶν ποδῶν, ἑλίσσονται φόβῳ, προσκυνοῦντές σου τὴν μορφὴν, ἣν ἐν τῷ Μεγάλῳ Σπηλαίῳ, Θεοτόκε, χειρὶ Λουκᾶ γραφεῖσαν, ἀπεθησαύρισας ».

† « Μακαρίζομέν σου τὴν δεξιὰν, Λουκᾶ θεηγόρε, δι' ἧς ἔχομεν οἱ πιστοὶ, τὰς τῶν θείων λόγων διττὰς ἁγίας πλάκας, καὶ τὴν σεπτὴν εἰκόνα τῆς Θεομήτορος ».

† « Εὔλαλα τὰ χείλη τῶν εὐσεβῶν, τῶν καταφιλούντων τὴν εἰκόνα σου τὴν σεπτὴν, πανταχοῦ καὶ πᾶσαν, καὶ τὴν ἱστορηθεῖσαν ὑπὸ Λουκᾶ τοῦ θείου, τὴν Σπηλαιώτισσαν ».

ἁγία Εἰκὼν διεσώθη θείᾳ δυνάμει προφανῶς διατηρουμένη. Εἴπομεν ἐν τῇ Χωρογραφίᾳ (κεφ. ϛ. §. γ.) τὰ κατὰ τὸν μέγαν καὶ πανώλεθρον τῆς ἱερᾶς Μονῆς ἐμπρησμὸν, καὶ ὅπως ἀπ' αὐτοῦ μόνη τῶν κειμηλίων τοῦ θείου Ναοῦ ἡ πανάχραντος Εἰκὼν διεφυλάχθη. Τοὺς δὲ προγενεστέρους ἐμπρησμοὺς παραλείπομεν. Καὶ ἐξ ἄλλων δὲ κακῶν ἀπήμαντος ἡ Εἰκὼν διετηρήθη, μεγάλων τε καὶ δεινῶν καὶ οὐχ ἧσσον τοῦ πυρὸς ὀλεθριωτέρων. Αὐτίκα, τῶν Ἐνετῶν καὶ τῶν τούτοις συμμάχων Φράγγων εἰσβαλόντων εἰς τὴν Πελοπόννησον κατὰ τὴν ἄθεσμον ἐκείνην, ἢ μᾶλλον ἐπὶ καταφρονήσει τοῦ Σταυροῦ γενομένην σταυροφορίαν (τῷ 1205), ἀφ' οὗ τούτων οἱ ἰσχυροὶ χώρας τε πολλὰς καὶ ναοὺς ἁγίους συλήσαντες ἐπόρθησαν, ὥρμησάν τινες καὶ εἰς τὸ μέγα Σπήλαιον, καὶ τὴν πάνσεπτον εἰκόνα τῆς Θεοτόκου λαβεῖν ἀπῄτουν δυναστικῶς· τοὺς δὲ πατέρας τῆς Μονῆς, ἱκετεύοντας μετὰ δακρύων μὴ στερηθῆναι τοῦ θεοδωρήτου θησαυροῦ, τύπτοντες ἐξέβαλον τῆς Ἐκκλησίας. Ἤδη δὲ μέλλων ὁ τούτων ἀρχηγὸς ἐπιβάλλειν τὰς ἱεροσύλους αὐτοῦ παλάμας εἰς τὴν εἰκόνα, πρῶτον μὲν ἐκραγώθη τὰς χεῖρας, ἀκινήτους γενομένας ὡς ἂν ξηρὰς, ἔπειτα δὲ τρόμῳ συσχεθεὶς καὶ σκοτιδινιάσας ἔπεσε κατὰ γῆς ἄφωνος ὡς νεκρός· οἱ δὲ περὶ αὐτὸν ἔφυγον, καὶ δραμόντες πρὸς τοὺς πατέρας ἔξω τοῦ Ναοῦ κλαίοντας καὶ ὀδυρομένους, παρεκάλουν αὐτοὺς προσπίπτοντες, ὅπως εἰσελθόντες ἐξευμενίζωσι τὸν Θεὸν ἐπ' αὐτοῖς, καὶ εἴτι δύναιντο βοηθῶσιν, ὡς νεκρῷ κειμένῳ, τῷ ἀρχηγῷ. Καὶ συνῆλθον οἱ τεθλιμμένοι μοναχοὶ, καὶ γονυπετοῦντες ἐδέοντο τοῦ Κυρίου, καὶ τὴν πανάχραντον Δέσποιναν ἱκέτευον ἐλεῆσαι τὸν πεπτωκότα, ἔπειτα δὲ καὶ ἤλειψαν αὐτὸν ἐλαίῳ λαβόντες ἐκ τοῦ πρὸ τῆς εἰκόνος καίοντος λύχνου· καὶ εὐθέως συνῆλθεν ὁ ἄνθρωπος, καὶ ἀναστὰς προσεκύνει τῷ Θεῷ μετὰ δακρύων ἄφεσιν ζητῶν τοῦ παρανομήματος. Καὶ τότε μὲν οὕτως ἡ ἁγία Εἰκὼν διεσώθη. Μετὰ δέ τινας χρόνους, κρατούντων ἤδη τῆς Ἀχαΐας τῶν Φράγγων ἐκείνων κατακτητῶν, ἦλθεν ἄλλος τις αὐτῶν ἀρχηγὸς ζητῶν τῶν ὁσίων ἡμῶν πατέρων Συμεὼν καὶ Θεοδώρου τὰ ἱερώτατα λείψανα, καὶ τὸ τῆς ἁγίας Εὐφροσύνης· καὶ οἱ πατέρες παρεκάλουν μετὰ δακρύων, ἵνα μηδὲ τούτων τῶν ἁγίων θησαυρισμάτων ὀρφανισθῶσιν. Ἐπειδὴ δὲ ἤνυον οὐδὲν, καὶ οἱ κρατοῦντες ἐπέκειντο πειθαναγκάζοντες, παρεχώρησαν καὶ ἄκοντες οἱ πολυπαθεῖς, καὶ ἔλαβον οἱ Ἐνετοὶ τὰ ἱερὰ τῶν ἁγίων λείψανα, καὶ μετὰ πολλῆς εὐλαβείας παρέπεμψαν εἰς τὴν Βενετίαν θησαυρίσαντες, ὡς λέγουσιν, εἰς τὸν Ναὸν τοῦ ἁγίου Μάρκου, ὅπου πολλοὺς πρότερον χρόνους (τῷ 827) καὶ αὐτοῦ τοῦ Ἀποστόλου Μάρκου τὸ πάνσεπτον λείψανον εἶχον μετακομίσαντες. Καὶ ἄλλων δὲ τοσούτων ἁγίων ἐξ Ἀλεξανδρείας καὶ Παλαιστίνης καὶ Κωνσταντινουπόλεως καὶ ἀλλαχόθεν τῆς Ἀνατολικῆς ὀρθοδόξου γῆς λαμβάνοντες τὰ ἱερὰ λείψανα συνεφόρησαν εἴς τε τὴν Βενετίαν καὶ ἀλλαχοῦ τῆς δύσεως οἱ σταυροφορήσαντες ἐκεῖνοι ἁρπαγοτύραννοι, ἀφ' οὗ κατεξουσίασαν τὸ πλεῖστον τῆς ἤδη ἀσθενοῦς Βυζαντινῆς Αὐτοκρατορίας. Εἰς δὲ τὸ μέγα Σπήλαιον ἀφῆκαν μόνας τὰς τρεῖς ἁγίας κάρας τῶν ὁσίων, τοῦ Θεοῦ καὶ τοῦτο οἰκονομήσαντος, ἵνα μὴ παντάπασιν ὀρφανὴ τῆς κόνεως τῶν πρώτων αὐτῆς θεμελιωτῶν ἡ Μονὴ καταλειφθῇ. Κατὰ δὲ τὸν ἐμπρησμὸν τοῦ Μοναστηρίου διεσώθησαν καὶ ταῦτα τὰ ἱερὰ κειμήλια ἔξω τυχόντα κατὰ τὰς Πάτρας, καὶ ἄλλας τῆς Πελοποννήσου χώρας, ὅπου ἦσαν ὑπὸ τῶν πιστῶν οἱ πατέρες προσκεκλημένοι, ἵνα μετὰ τῶν ἁγίων λειψάνων ἐλθόντες ψάλωσιν ἁγιασμὸν ἐν τοῖς οἴκοις αὐτῶν. Ἀλλὰ κἂν μετετέθησαν τὰ σκήνη τῶν ὁσίων, διαμένει ὅμως διὰ παντὸς μετὰ τῶν ἁγίων κεφαλῶν καὶ ἡ χάρις αὐτῶν εἰς ὃν ἀνήγειραν αὐτοὶ οἶκον Θεοῦ. Καὶ ἄλλως δὲ παρεχώρησεν ἴσως ὁ Θεὸς ἵνα κατὰ τὸ φαινόμενον τὰ λείψανα τῶν ἁγίων μακρὰν τῆς Μονῆς ἐπιξενωθῶσι καὶ δι' ἄλλα κρίματα τῶν ἀνεξιχνιάστων αὐτοῦ βουλῶν, καὶ πρὸς τούτοις ἵνα πληροφορηθῶσιν

10

οἱ πάντες, ὅτι καὶ μόνης τῆς ἁγίας εἰκόνος ἡ ἀναφαίρετος χάρις ἀρκεῖ πρὸς εὔκλειαν ἱερὰν καὶ συντήρησιν τοῦ ἁγίου αὐτῆς σκηνώματος.

§. γ΄. Καὶ ἄλλος δὲ λόγος παλαιὸς ἀφίκετο εἰς ἡμᾶς κατὰ παράδοσιν παρὰ τῶν πατέρων. Ὅτι μετὰ τὴν ἐν Φλωρεντίᾳ ψευδοσύνοδον ἐκείνην, τὴν γενομένην λόγῳ μὲν πρὸς ἕνωσιν, πράγματι δὲ, πρὸς χείρονα διαίρεσιν τῶν Ἐκκλησιῶν, ἀγανακτήσας ὁ τὸν Εὐγένιον διαδεξάμενος Πάπας Νικόλαος (τῷ 1447) διότι πᾶσα ἡ Ἀνατολικὴ Ἐκκλησία ἀπεκήρυξε τὸ θεοκάπηλον τῆς Φλωρεντίας Συνέδριον, ἐμβὰς ὁ Πάπας εἰς κάτεργα ἦλθεν εἰς Κωνσταντινούπολιν, καὶ ἔστη ἐπ' ἀγκύρας κατὰ τὴν Χρυσούπολιν (τὸ χυδαιότερον Σκούταρι) ἀντικρὺ τῆς Πόλεως, ἐρωτῶν τοὺς Ἀνατολικοὺς ἂν στέργωσι τὴν τῆς ἑνώσεως κοινωνίαν. Ἐπειδὴ δὲ τοῦτον δὲν ἐδέχθησαν οἱ Κωνσταντινουπολῖται, ἀφορίσας καὶ ἀνταφορισθεὶς ἀνεχώρησε· καὶ ἀπελθὼν εἰς τὸ ἁγιώνυμον ὄρος τοῦ Ἄθωνος, καὶ μηδ' ἐκεῖ παρὰ τοῖς Ἁγιορείταις πατράσιν εἰς κοινωνίαν δεχθεὶς, ἔπραξε πολλὰ καὶ τυραννικὰ κατά τε τὸ Βατοπέδιον, καὶ τὸ τοῦ Ζωγράφου καὶ τὰ λοιπὰ τῶν εὐαγῶν Μοναστηρίων (α). Πολλὰ δὲ καὶ ἄλλα μέρη τῆς Ἑλλάδος ἔβλαψε παραπλέων ὁ τῆς Ῥώμης δυνάστης. Τότε καὶ εἰς τὴν ἐν τῷ Στειρίῳ τῆς Λεβαδείας ἱερὰν καὶ βασιλικὴν Μονὴν τοῦ Ὁσίου Λουκᾶ πέμψας ἐποιήσατο λῃσμὸν πολὺν, καὶ τὸ ἐκεῖσε τεθησαυρισμένον ἅγιον λείψανον τοῦ ὁσίου Λουκᾶ καὶ ἄλλων πολλῶν ἁγίων ἁρπάσας ᾤχετο (καὶ δείκνυνται μέχρι σήμερον ἐν τῷ Ναῷ κεναὶ αἱ θῆκαι καὶ οἱ τόποι, ἐν οἷς τὰ ἱερὰ λείψανα κατέκειντο). Ἐλθὼν δὲ καὶ εἰς Πάτρας ἔπεμψεν εἰς τὸ μέγα Σπήλαιον βουλόμενος ἵνα καὶ τὴν ἀποστολικὴν Εἰκόνα τῆς Θεομήτορος σφετερισθεὶς ἀπαγάγῃ μεθ' ἑαυτοῦ. Ἀλλ' οἱ σταλέντες ἐπανῆλθον ἄπρακτοι. διότι μηδὲ προσεγγίσαι πρὸς τὴν ἄχραντον Εἰκόνα ἠδυνήθησαν, σεισμοῦ γενομένου· διὸ καὶ φρίκης πολλῆς ἐμπλησθέντες ἐστράφησαν εἰς τὰ ὀπίσω, ὡς ἂν ἀπωθούμενοι ὑπὸ δυνάμεως ἀοράτου (β). Καὶ ταῦτα μὲν τὰ ἀρχαιότερα παραδέδονται.

(α) Ταῦτα ἱστορεῖ τοῦ Πάπα Νικολάου σύγχρονος ἀνὴρ, ὁ Μονεμβασίας Δωρόθεος. παρ' Ἀλλατίῳ (De consens. Eccles. etc. pag. 952). Ὁ Ἀλλάτιος ψευδίζει τὴν ἱςορίαν. Ἀλλ' οἱ Ἁγιορεῖται πάντες ἐπιβεβαιοῦσιν οὐ μόνον διὰ τῆς ἀγράφου παραδόσεως, ἀλλὰ καὶ δι' ἱστορίας ἐγγράφου καὶ πραγματικῆς. Πλησίον τῆς μονῆς τοῦ Βατοπεδίου δεικνύουσι καὶ τὸν τόπον, ἐν ᾧ ὁ Πάπας φούρκαν στήσας πολλοὺς τῶν μὴ συγκοινωνησάντων αὐτῷ ἐκρέμασεν. Οἱ δὲ τῶν ἄλλων ὅλων Μοναστηρίων μοναχοὶ μέχρι σήμερον προσκλαίονται κατὰ τῆς Λαύρας, διότι κατέχει πολλὰ ἱερὰ κειμήλια, ἅπερ ὁ Πάπας ἀπὸ τῶν ἄλλων Μοναστηρίων ἁρπάσας ἐδωρήσατο τοῖς Λαυριώταις (οἵτινες μόνοι τῶν ἄλλων μοναστηρίων ὑπὸ δειλίας καὶ ἐξ ἀνάγκης ἐκοινώνησαν αὐτῷ πρὸς τὸ φαινόμενον)· βλ. Ἀπόκρισιν ὀρθοδόξου τινὸς (τοῦ ἀοιδίμου Θεοτόκου) περὶ τῆς τῶν Κατολίκ. δυναστείας — καὶ περὶ τῆς βαρβαρικῶς λεγομένης Οὐνίας σελ. 63. ἐν Χάλλῃ 1775. Πρόσθες ὅτι καὶ οἱ Ζωγραφῖται ἐν τῷ Ἄθωνι δεικνύουσι τὸν πύργον, ὅπου κεκλεισμένους κατέκαυσεν ὁ Πάπας ζῶντας πολλοὺς μοναχοὺς, διότι καὶ οὗτοι δὲν ἐκοινώνησαν μετ' αὐτοῦ. Καὶ αὐτὴν δὲ τὴν μονὴν τοῦ Ζωγράφου ὁλόκληρον ἐπυρπόλησε. Τὰ δὲ κατὰ τοῦ Μοναστηρίου τοῦ Ὁσίου Λουκᾶ, τοῦ ἐν Στειρίῳ τῆς Λεβαδείας, ἐγράψαμεν ἀνωτέρω. Τόσαι τοπικαὶ μαρτυρίαι καὶ δείγματα προφανῆ ὑπάρχουσι, νομίζομεν, πολὺ τοῦ Ἀλλατίου ἀξιοπιστότερα, διακοσίους ὅλους ἐνιαυτοὺς μετὰ τὴν πρᾶξιν, καὶ ἔξω που τῆς Ἑλλάδος, ἐν Ῥώμῃ καὶ πλησίον τῆς παπικῆς καθέδρας διαμαρτυρουμένου!

(β) Καί τοι δὲ χεῖρας ἀδίκους εἰς σφετερισμὸν τῆς ἀποστολικῆς Εἰκόνος ἐκτείνας ἀπράκτως ὁ Πάπας Νικόλαος, ἐξήλεγξεν ὅμως παραλαλοῦντα ἕνα τῶν αὐτοῦ προκατόχων, τὸν περιβόητον Ἰννοκέντιον Γ, (τῷ

§. δ'. Ἀλλὰ καὶ κατὰ τοὺς μεταγενεστέρους ἤδη χρόνους τοιοῦτό τι συμβὰν ἱστορεῖται τὰ πρότερα βεβαιοῦν. Κατὰ τὸ 1705 ἔτος, τῶν Βενετῶν κατεχόντων τὴν Ἀχαΐαν, ὁ κατὰ τὰ Καλάβρυτα διατρίβων ἔφορος ἢ τοπάρχης, κατ' αὐτοὺς δὲ πραιβεδοῦρος λεγόμενος (προβιδιαῖός τις, καὶ ὡς ἂν εἴπῃς προοῦρος ἢ πρόορος, φρουρὸς, καὶ προβλέπτης· κατὰ τοὺς λακωνικώτερον ἄρχοντας βιδιαίους· καὶ τοῦτο ἐκ τοῦ βίδω ἀντὶ ἴδω), Ἰωάννης (ἰταλ. Τζάννης) Σιλβέστρου Τζάννη καλούμενος, εἴτε ἐξ οἰκείας εὐλαβείας (καίτοι πλεονεκτικῆς τινος καὶ μεγαλαδίκου), εἴτε καὶ μάλιστα ὑπὸ τῆς ἰδίας αὐτοῦ γυναικὸς Ἀντωνίνης παροτρυνόμενος ἠθουλήθη σφετερίσασθαι τὴν εἰκόνα τῆς Θεομήτορος. Καὶ πρῶτον μὲν ἱκεσίαις καὶ κολακείαις πολλαῖς καὶ δώροις μεγάλοις ἔπειθε μετακαλεσάμενος τοὺς πατέρας· ἐπειδὴ δὲ μάτην ἔβλεπεν ἡμέρας πολλὰς κοπιάζων, μετέβαλε τὰς παρακλήσεις εἰς ἀπειλὰς, καὶ ἦ μὴν ὤμοσεν, ὅτι μετὰ βίας ἐλθὼν εἰς τὸ Μοναστήριον ἀφαρπάσει τὸ πάνσεπτον εἰκόνισμα· καὶ ἀπῆλθον οἱ πατέρες ἔντρομοι, καὶ τὰς ἐλπίδας ὅλας ἔχοντες εἰς μόνην αὐτὴν τὴν παντάνασσαν τοῦ Σπηλαίου σκηπτοῦχον. Ἑβδόμην ἦγε καὶ δεκάτην ἐκείνην τὴν ἡμέραν ὁ Αὔγουστος μὴν, καὶ νὺξ ἐπῆλθε, καὶ θνήσκει ἐξαίφνης κατ' ἐκείνην τὴν νύκτα βιαίῳ θανάτῳ ἡ Ἀντωνίνα. Ὁ δὲ τοπάρχης Ζάννης τῇ ἐπαύριον ἦλθε ταπεινὸς εἰς τὸ Μοναστήριον ἀποθρηνῶν, καὶ τὴν ἀδικίαν τοῦ τολμήματος ὁμολογῶν, καὶ ὡς ταύτην τοῦ θανάτου τῆς γυναικὸς γενομένην αἰτίαν ἀποστυγῶν· ἅμα δὲ παρεκάλει τοὺς πατέρας ἵνα κἂν τὸν νεκρὸν τῆς ἑαυτοῦ γυναικὸς ἐντὸς τῆς Μονῆς συγχωρήσωσιν ἐνταφιασθῆναι, τοῦτο γοῦν ὄφελος προμνηστεύων εἰς τῆς φίλης αὐτοῦ συζύγου τὴν ψυχὴν, καὶ οἷον ἐξιλέωμα τῆς, ὅσον κατὰ προαίρεσιν, ἤδη πεπραγμένης φρικτῆς ἐκείνης ἱεροσυλίας, καὶ μειλίχιον καθαρμὸν (ὡς ἐνόμιζεν ὁ τοπάρχης)· καὶ ἐνέδωκαν οἱ πατέρες οἰκτείροντες τὸν ἄνθρωπον, καὶ ἐτάφη τὸ λείψανον τῆς Ἀντωνίνης πλησίον που τοῦ ναοῦ τῆς ἁγίας Κόρης, ὡς ἱκέτευεν ὁ Ζάννης. Ἐπέθηκε δὲ οὗτος ἐπὶ τοῦ μνήματος καὶ πλάκα φέρουσαν ἐπίγραμμα βαρβαρόφωνον μὲν, ἀλλ' ὅμως ἀποχρώντως σημαῖνον τίς ἡ κειμένη. Ἔστι δὲ ἡ ἐπιγραφὴ αὕτη. « Ὧδε ἐθάπτη σῶμα τῆς εὐγενοῦς Ἀντωνίνης συζύγου τοῦ ἐκλαμπροτάτου αὐθεντὸς πρεβεδδόρου Καλαβρύτων Τζὰν Σιλβέστρου Τζάννη. 1705. ἐν μηνὶ Αὐγούστου 17. ». Μετά τινας δὲ χρόνους, ἐπειδὴ τὸν τόπον ἐκεῖνον ἔμελλον οἱ πατέρες ἀνασκάπτειν καὶ μεταποιεῖν χάριν κατεπειγούσης οἰκοδομῆς, ἐξορύξαντες τὸν τάφον τὸ μὲν λείψανον ἄλυτον εὗρον, καὶ μετέθαψαν ἀλλαχοῦ, τὸν δ' ἐπιγεγραμμένον ἐπιτάφιον λίθον φέροντες κατέθηκαν ἐν τῷ Ναῷ· καὶ φαίνεται μέχρι σήμερον εἰς τὸ ἔδαφος τοῦ πρὸ τῆς ἁγίας εἰκόνος στασιδίου, διαιωνίζων τὴν μνήμην τοῦ θαύματος. Καὶ ταῦτα μὲν τὰ κατ' αὐτὴν τὴν ἄχραντον εἰκόνα παράδοξα τῆς θείας δυνάμεως ἔργα.

1199), ὅστις ἔψεγε τοὺς Αὐτοκράτορας τῆς Κωνσταντινουπόλεως ὡς δῆθεν δεισιδαιμόνως τιμῶντας τὴν Ὁδηγήτριαν! Ἔπειτα δὲ καὶ αὐτὸς τὰ ἐν Ῥώμῃ τότε τεθησαυρισμένα ἔκτυπα τῶν ἀποστολικῶν εἰκόνων (βλ. ὄπισθ. σελ. 63) μήπως δὲν ἐτίμα μετ' εὐλαβείας πολλῆς; βλ. Banduri Imp. Oriental. T. 2. p. 601.

Β΄. ΘΑΥΜΑ.

Ἡ ἐν τῷ κοίλῳ τῆς Σελινουντίας πλατάνου κορμῷ αὐτόματος ἐντύπωσις τοῦ ἱεροῦ ἀντιτύπου τῆς παναγίας εἰκόνος.

§. ά. Περὶ τὰ μέσα τοῦ ἐννάτου αἰῶνος (τῷ 840 μ. Χ.) συνέβη (καθὼς προείπομεν) ὁ πρῶτος τῆς Μονῆς ἐμπρησμὸς, καθ' ὃν ὁ μὲν θεῖος Ναὸς, ὡς ἔχομεν ἐκ παραδόσεως, κατεφλέχθη, διεσώθη δὲ ἡ παναγία εἰκὼν, καὶ τὰ πλεῖστα τῶν ἄλλων ἱερῶν κειμηλίων τῆς Μονῆς. Τότε δὲ συγχρόνως ἐμαίνετο ἔτι λυσσῶσα κατὰ τῆς Ἐκκλησίας ἡ τῶν εἰκονομάχων μισόχριστος αἵρεσις, ὑφ' ἧς ἔπασχε πολλὰ μετὰ τῆς ἄλλης ὀρθοδόξου γῆς καὶ ἡ Ἀχαΐα. Εἰς τούτων τῶν αἱρετικῶν τὰς μηχανοῤῥαφίας ἀποδίδοται καὶ ἡ τότε πυρπόλησις τοῦ Μοναστηρίου. Ἕως λοιπὸν ἀνεγερθῇ ὁ Ναὸς, λαβόντες οἱ περὶ τὸν Ἡγούμενον τῆς Μονῆς τὴν ἁγίαν εἰκόνα, σενεξῆλθον μετ' αὐτῆς καὶ μέχρι Πατρῶν καὶ Αἰγίου στηρίζοντες καὶ δι' αὐτῆς, ὡς πρακτικῆς τῶν Ἀποστόλων διδασκαλίας, τὸ κήρυγμα τῆς ὀρθοδοξίας.

§. 6΄. Ἤδη δὲ τοῦ Ναοῦ πάλιν καθιδρυθέντος, ἀνεκομίζετο καὶ ἡ πάνσεπτος εἰκὼν εἰς τὸ ἡγιασμένον ἀνέκαθεν αὐτῆς σκήνωμα. Ὡς δὲ ἦλθον παρὰ τὰς ὄχθας τοῦ Σελινοῦντος οἱ τὴν εἰκόνα συνοδεύσαντες πατέρες, καὶ νὺξ ἤδη κατελάμβανεν, ἔμειναν κατ' ἐκεῖνον τὸν ἐπίσημον τόπον, ὅπου τοῖς ὁσίοις ἡμῶν πατράσι Συμεὼν καὶ Θεοδώρῳ καθ' ὕπνους ἐπεφάνησαν οἱ τρεῖς Ἀπόστολοι, καθὼς προείπομεν ἀνωτέρω (κεφ. Γ΄. §. γ΄.). Φέροντες λοιπὸν οἱ ἱερομόναχοι τὴν ἁγίαν εἰκόνα ἐναπέθηκαν μετέωρον κρεμάσαντες ἐντὸς κοίλου κορμοῦ πλατάνου μεγάλης ἐκεῖ πεφυτευμένης, ἥτις μέχρι καὶ τῆς σήμερον ἀγήραντος χλοάζει καὶ θαλερὰ (πλησίον τῆς κώμης τῆς νῦν χυδαϊστὶ καλουμένης Κλαπατζούνας (α))· καὶ τοὺς συνήθεις ὕμνους εὐξάμενοι μετ' εὐλαβείας, ἐκοιμήθησαν αἴθριοι· παρέμειναν δὲ καί τινες τῶν εὐλαβῶν κατοίκων τκς κώμης συνοδεύον-

---

(α) Τοιαύτη πλάτανος μακραίων καὶ παμπάλαιος εὑρίσκεται καὶ ἄλλη κατὰ τὴν Ἀχαΐαν τῆς Πελοποννήσου εἰς τὸ Αἴγιον (τὴν Βοστίτσαν) παραλία πεφυτευμένη, παρὰ τὴν ἐκεῖ δωδεκάκρουνον πηγήν. Διατεθρύλληται δὲ καὶ ταύτης τῆς πλατάνου ἡ ἀρχαιότης, καθὼς καὶ τῆς κατὰ τὴν νῆσον Κῶν, ἥτις ἀκμάζει θάλλουσα καὶ μέχρι σήμερον ἀπὸ τῶν Ἱπποκράτους, ὡς λέγουσι, χρόνων. Ὑπῆρχε δὲ καὶ τὸ ἀρχαῖον ἐν Πελοποννήσῳ κατὰ τὴν Ἀρκαδίαν παρὰ τὴν πόλιν τῶν Καφυῶν ἡ Μενελαῒς λεγομένη πλάτανος, ἔτι καὶ ἐπὶ Παυσανίου σωζομένη ἀπὸ τῶν χρόνων τοῦ φυτεύσαντος αὐτὴν Μενελάου, ἢ τοῦ Ἀγαμέμνονος, ὅςις ἐφύτευσε καὶ τὴν ἐν Δελφοῖς (ὁπότε συνῆγον τὸν εἰς Τροίαν στρατὸν), κατὰ τὴν φήμην (Παυσ. η, 23. Θεόφρ. ἱς. φυτ. δ, 16). Καὶ τὴν ἐν τῇ Κρήτῃ δὲ κατὰ τὸν ἀγρὸν τῶν Γορτυνίων ἀρχαιοτάτην πλάτανον ἐμνημόνευσεν ὁ Θεόφραστος (ἱς. φυτ. α, 15). Καὶ ἄλλα δὲ φυτὰ μακροβιώτατα μνημονεύουσιν οἱ συγγραφεῖς, οἷον τὴν ἐν Δωδώνῃ δρῦν, ἐλαίαν τὴν ἐν ἀκροπόλει τῶν Ἀθηνῶν, φοίνικα τὸν ἐν τῇ Δήλῳ, καὶ τὴν ἄλλην ἐν αὐτῇ ἐλαίαν, ἥτις ἐσῴζετο καὶ μέχρι Τιβερίου τοῦ αὐτοκράτορος, (ὁ δὲ Στράβων ιδ, 639, ἐν Ὀρτυγίᾳ λέγει ταύτην τὴν ἐλαίαν), καὶ κότινον (ἀγριελαίαν) ἐν Ὀλυμπίᾳ, κτλ. (βλ. Θεόφρ. ἱς. φυτ. δ, 16. καὶ Παυσ. η, 23). Καὶ ἡ δρῦς δὲ Μαμβρῆ (Γεν. ιη, 4) ἐσῴζετο μέχρι τοῦ Μ. Κωνσταντίνου, καὶ πολλοὶ κατ' ἔτος ἐκεῖ συνῄεσαν ἑορτάζοντες καὶ ἐθνικοὶ καὶ χριςιανοὶ, Παλαιστινοὶ, Φοίνικες, Ἄραβες, καὶ ἄλλοι (βλ. Εὐσεβ. βίῳ Κωνς. γ. 51). πρβλ. καὶ E. Spanhem. observ. in Hymn. Callimach. T. 2. p. 547. ἐκδ. Ern. Περὶ μακροβίων δένδρων βλ. καὶ Hufeland die Kunst das Menschl. Leben zu verläng. I. Bd. p. 54. Frankf. 1798.

τες καὶ φιλοξενοῦντες τοὺς μοναχούς. Ἤδη δὲ πάλιν, ὄρθρου βαθέος, εἰς προσευχὴν οἱ πατέρες ἀναστάντες, ὡς εἰσῆλθον εἰς τὸ κοίλωμα, βλέπουσι θαῦμα παράδοξον. Ἀντικρὺ τοῦ τόπου, ὅπου ἐκρέματο ἡ ἁγία εἰκὼν, εὑρίσκουσιν ἀκριβέστατον αὐτῆς ἀντίτυπον ἐν αὐτῷ τῷ κοίλῳ τῆς πλατάνου κορμῷ αὐτομάτως τετυπωμένον· καὶ φωτὸς ἀκήρατος αἴγλη τὸ ἀπεικόνισμα περιηύγαζεν. Οἱ γοῦν ἱερομόναχοι καὶ οἱ ἄλλοι παρατυχόντες εὐσεβεῖς κατιδόντες τὸ παράδοξον, θάμβους τε ἐπλήσθησαν καὶ φρίκης ἁγίας μετὰ χαρᾶς μεμιγμένης, καὶ πεσόντες προσεκύνουν τῷ Κυρίῳ, καὶ τὴν ἀειπάρθενον Θεοτόκον ἐν ὕμνοις καὶ φωναῖς ὁσίαις ἐμεγάλυνον. Συνέτρεχον δὲ πανταχόθεν καὶ οἱ περίοικοι τὸ θαῦμα ἐκπληττόμενοι. Καὶ οἱ μὲν πατέρες διαθρέψαντες αὐτῶν τὴν εὐσέβειαν ταῖς προσηκούσαις διδασκαλίαις, καὶ παραθέμενοι αὐτοὺς τῷ Κυρίῳ, ἀνεχώρησαν προπεμπόμενοι· καὶ ἐλθόντες εἰς τὸ Μοναστήριον διηγοῦντο τὸ τεράστιον τοῖς ἀδελφοῖς, καὶ μία παρὰ πάντων ἐξεχεῖτο δοξολογία, ὑμνούντων τὸν Θεὸν, τὸν πάντα πρὸς τὸ συμφέρον τοῦ ἰδίου πλάσματος οἰκονομοῦντα. Οἱ δὲ κάτοικοι τῆς χώρας ἐκείνης θυσιαστήριον πήξαντες ἐν αὐτῷ τῷ κοίλῳ τῆς πλατάνου κορμῷ εἰς ναΐδριον αὐτὸν μετεποίησαν, καὶ ἐκκλησιάζοντο. Καὶ μένει μέχρι σήμερον ὁ ναΐσκος ἐν τῇ πλατάνῳ δεκαπέντε περίπου ἀνθρώπων χωρητικός.

§. γ΄. Διατηρεῖται δὲ σῶον καὶ ἀκραιφνὲς καὶ αὐτὸ τὸ ἱερὸν ἐντύπωμα τῆς Ἀποστολικῆς εἰκόνος τῆς Θεομήτορος, ἀκριβὲς ἀντίτυπον αὐτῆς καὶ μέχρι τοῦ νῦν ἀσφαλῶς διαμένον, καὶ ἀπαράλλακτον κατὰ τὸ εἶδος καὶ τὸ μέγεθος. Ἔχει δὲ τοὺς χαρακτῆρας κατὰ βάθος ἐγγεγλυμμένους εἰς τὸ κοίλωμα τῆς πλατάνου, τρεῖς περίπου πήχεις ἀνωτέρω τοῦ τῆς γῆς ἐδάφους ὑπερέχον, βλέπει δὲ πρὸς δυσμάς. Νομίζεις, ὅτι ἡ χηρόπλαστος καὶ τακερὰ τῆς Θεομήτορος εἰκὼν ἐνεσημάνθη εἰς τὸν σκληρὸν τοῦ δένδρου κορμὸν, ὡς ἄν τις ἀδαμάντινος ἢ μεταλλίνη σφραγὶς κραταιῶς ἐμπαγεῖσα· ἢ καὶ τἀνάπαλιν, ὅτι ὁ ξύλινος καὶ ἰσχυρὸς κορμὸς ἐξαίφνης μαλακὸς γενόμενος καὶ πανάπαλος, ὡς ἂν εὐμάλακτον κηρίον ἢ ζύμης φύραμα, ἀπεμάξατο τοῦ ἱεροῦ ἀναγλύφου τὴν ἔκτυπον μορφὴν, εἰς βάθος ἐνσφραγισθεῖσαν, καθὼς καὶ πᾶν ἄλλο ἔκτυπον ἐναφίησι κοίλους τοὺς χαρακτῆρας εἰς ὕλην προσπλασθεῖσαν εὐένδοτον καὶ μαλακήν· ἢ καθὼς ἀγαλματοποιοῦ καλλίτεχνος σμίλη βαθέως ἐνεχάραξεν εἰς μάρμαρον ἢ μέταλλον ἢ ξύλον ξηρὸν οἱουδήποτε μορφώματος τοὺς χαρακτῆρας, κοίλους ἐγκολάψασα καὶ γλαφυρούς. Ἀλλὰ τὰ μὲν τοιαῦτα χειρὸς ἀνθρωπίνης ἔργα τότε διαμένουσιν ἐπὶ πολὺ ἀμετάβλητα, ὅταν εἰς ὕλην ἐγγλύφωνται φύσει ξηρὰν καὶ ἄνικμον κα[illegible], ὅταν εἰς εὔπλαστον ἐντυπῶνται μάζαν καὶ μαλακὴν, ἥτις ἔπειτα μετὰ τὴν ἐντύπωσιν ἀποβαίνει στεγανὴ καὶ ξηρὰ, καὶ πάσης ἐνούσης σηπτικῆς ἰκμάδος ἀπηλλαγμένη. Ὁ δὲ τὴν θεομητορικὴν μορφὴν ἐν ὑγρῷ καὶ ζῶντι τῷ κορμῷ τῆς πλατάνου χαράξας χαλκοτύπος ἢ γλυφεὺς ὑπῆρχεν ἄρα πάσης γλυπτικῆς καὶ λιθοξόου τέχνης ἀνενδεής· καὶ οὔτε προτύπων καὶ προπλασμάτων ἔλαβε χρείαν, οὔτε κἂν προσήγγισε τὸ πρωτότυπον ἐφαρμόσας εἰς τὴν ὕλην, εἰς ἣν ἔμελλεν ἐντυποῦσθαι· ἀλλὰ καὶ μακρόθεν κρεμαμένης τῆς ἁγίας εἰκόνος τοὺς χαρακτῆρας ἐνεχάραξεν εἰς τὴν ἀντικρὺ τοῦ κοιλώματος πλευρὰν, καὶ τούτους αὐθωρὸν, βαθέως καὶ μονίμως διασμιλεύσας. Καὶ εἶχε λοιπὸν ὁ τεχνίτης οὗτος, καθὼς φαίνεται, καὶ χεῖρα καὶ σμίλην ἀνωτέραν ἢ κατὰ ἄνθρωπον, καὶ ἀσυγκρίτως παρὰ τὴν τοῦ Φειδίου δραστικωτέραν, ἥτις ἐν ἀκαρεῖ τῷ χρόνῳ ἐνεφύτευσεν εἰς τοῦτο τὸ παράδοξον σμίλευμα καὶ κάλλους ἀκρίβειαν, καὶ βάρος μόνιμον καὶ διαρκὲς, εἰς πολλὰς αἰώνων καὶ γενεῶν διαδοχὰς ἀνεξάλειπτον διαμένον. Θαῦμα παράδοξον! Ὅλα τὰ περὶ τὸ ἱερὸν ἐντύπωμα συνεχῆ μέρη τοῦ κορμοῦ μεταβάλλουσι κατὰ φύσιν τὸ εἶδος, καθὸ μέρη θάλλοντος δένδρου καὶ ζωτικοῦ, καὶ πῆ μὲν εὐσαρκοῦσιν ἐξογκούμενα

καὶ τρεφόμενα, πῇ δὲ πάλιν καταπίπτουσι συνιζάνοντα διὰ χρόνου, καί που φαίνονται καὶ ἀκροσαπῆ· μόνον δὲ τὸ ἐμβαδὸν ἐν ᾧ τὸ ἱερὸν ἀντίτυπον ἐγκεχάρακται μένει, καθὼς εἶχεν ἐξ ἀρχῆς, ἀναύξητον ἢ ἄτροφον καὶ ἄπτωτον καὶ ἄσηπτον, καὶ παντάπασιν ἀναλλοίωτον· ὅθεν καὶ ὁ τύπος τῆς θεομητορικῆς μορφῆς ἀκέραιος ἐν αὐτῷ καὶ ἀρτιμελὴς διατηρεῖται, καθὼς τὸ πρῶτον ἐνεσημάνθη, καί τοι ἐνεσφραγισμένος εἰς ἐπίπεδον πλέον ἢ μιᾶς σπιθαμῆς βαθύτερον παρὰ τὸν πέριξ ἐξέχοντα καὶ μεταβαλλόμενον κορμόν. Καὶ φαίνεται λοιπὸν, ὅτι καὶ εἰς ταύτην τῆς θεομητορικῆς εἰκόνος τὴν ἔντυπον ἐγγλυφὴν ἐνήργησεν ἡ θεία δύναμις ἐκείνη, ἥτις καὶ τὴν ἀχειροποίητον εἰκόνα τοῦ Δεσπότου Χριστοῦ (τὸ συνήθως ἅγιον Μανδήλιον) ἐζωγράφησεν ἀχειροποιήτως πάλιν εἰς τὸν κέραμον, ὅστις ἐπεσκέπαζε τοῦτ' αὐτὸ τὸ ἅγιον Μανδήλιον κεκρυμμένον ἐν τῇ πόλει τῆς Ἐδέσσης. Ἀλλὰ καὶ αὐτῆς τῆς Θεοτόκου Δεσποίνης ἡμῶν ἱστοροῦνταί τινες ἀχειροποίητοι εἰκόνες ἀρχαιόταται τιμώμεναι κατὰ τόπους (α).

§. δ'. Πολλοὶ πρὸς τούτοις τῶν ἐγχωρίων τοῦ Σελινουντίου δήμου (τῆς Κλαπατσούνας) καὶ ἔκπαλαι καὶ νῦν μαρτυροῦσιν, ὅτι πολλάκις κατὰ τὴν νύκτα τῆς κγ'. τοῦ Αὐγούστου μηνὸς (καθ' ἣν ἡ ἀπόδοσις τῆς Θεομητορικῆς Κοιμήσεως ἑορτάζεται) βλέπουσι φῶς περὶ τὴν πλάτανον περιαυγάζον ἀρίζηλον καὶ τηλαυγὲς, ἐν εἴδει σφαίρας ὁλολαμποῦς καταβαῖνον ἄνωθεν ἐκ τῶν μερῶν τῆς Μεγασπηλαιώτιδος Μονῆς. Καὶ αὐτὴ δὲ ἡ πλάτανος παράδοξος φαίνεται καὶ πολλοῦ λόγου

(α) Τοιαύτην ἀχειροποίητον εἰκόνα τῆς Θεοτόκου ζωγραφητὴν τιμωμένην ἐν Ταυρομενίῳ τῆς Σικελίας μνημονεύει ὁ τῆς πόλεως ἐκείνης ἐπίσκοπος ἱερὸς Θεοφάνης ὁ Κεραμεὺς (περὶ οὗ προείπομεν ἀνωτέρω). Λέγει δὲ ταῦτα ἐπὶ λέξεως ὁ Θεοφάνης· « ἡ Μητροπάρθενος Δέσποινα εἰς ἓν αὖθις (ἡμᾶς) συνήγαγε, καὶ προσκυνῆσαι ἠξίωσε τὸ ἀχειρότευκτον αὐτῆς ἀπεικόνισμα » (Θεοφ. ὁμιλ. ια. σελ. 64)· καὶ, « Ἐν ᾧ σηκῷ (τῆς Ταυρομενίας) τὸ ἀχειρότευκτον ἵδρυται τῆς πανυπεράγνου Δεσποίνης ἡμῶν ἀπεικόνισμα » (αὐτ. ὁμιλίᾳ νθ. σελ. 398). Αὕτη δὲ ἡ ἐπὶ τοῦ Θεοφάνους ἀχειρότευκτος εἰκὼν τῆς Θεομήτορος σώζεται καὶ μέχρι σήμερον ἐν Ταυρομενίῳ τῆς Σικελίας (καθὼς ὁ Σικελὸς ἐκδότης τοῦ Θεοφάνους Σκόρσος βεβαιοῖ ἐν τῷ εἰσαγωγ. προοιμ. §. γ.). Μέμνηται δὲ καὶ ἄλλης ἀχειροποιήτου θεομητορικῆς εἰκόνος, ἢ γοῦν θεανδρικῆς (τοῦ Σωτῆρος Χριστοῦ) καὶ ἄλλος Θεοφάνης, ὁ ἱστορικὸς, καὶ Γεώργιος ὁ Πισσίδης, ἐν Κωνσταντινουπόλει τιμωμένης ἐπὶ Ἡρακλείου Αὐτοκράτορος (τῷ 613). Ὁ δὲ Μαλαξὸς (ἱστορ. Πατριαρχ.) καὶ τρίτην ἀχειροποίητον εἰκόνα τῆς Θεομήτορος ὀνομάζει τὴν καὶ μέχρι σήμερον τιμωμένην ἐν τῇ ἱερᾷ [illegible] τῆς Κοσσυφηνίσσης, κειμένῃ κατὰ τὴν ἐπαρχίαν τῶν Ζυχνῶν [illegible] *Παπίκιον*, ἢ, κατ' ἄλλους, *Σαμάτιον* λεγόμενον ὄρος. Περὶ δὲ τῆς ἐπωνυμίας *ἀχειροποίητος*, ὅτι μὲν ἡ λέξις κυρίως τίθεται ἐπὶ τοῦ ἁγίου Μανδηλίου, ὡς ἄνευ ἀνθρωπίνης χειρὸς ἐν αὐτῷ τῆς τοῦ Σωτῆρος ἡμῶν θεανδρικῆς μορφῆς ἐντυπωθείσης, φανερόν. Λέγεται δὲ καὶ ἐπὶ τοῦ κεράμου, εἰς ὃν ἀντίτυπος εὑρέθη ἡ ἀχειροποίητος μορφὴ τοῦ Δεσπότου Χριστοῦ (καθὼς εἴπομεν ἀνωτέρω)· ἐπὶ δὲ τῶν εἰρημένων θεομητορικῶν εἰκόνων τὸ ἀχειροποίητος ἄλλοι ἄλλως ἡρμήνευσαν, λέγοντες οἱ μὲν, ὅτι δι' Ἀγγέλου· οἱ δὲ κατ' ἄλλον τινὰ θαυμαστὸν τρόπον ἐζωγραφήθησαν αἱ εἰκόνες (βλ. Σκορσ. ἔνθ. ἀνωτερ.). Ἀλλ' ἰδοὺ τί περὶ τῆς ἐν Κοσσυφηνίσσῃ θεομητορικῆς εἰκόνος ἱστορεῖται περὶ τῆς ἐπωνυμίας. Γερμανὸς ὁ θεσπέσιος ἐξ Ἰορδάνου (ἔνθα ἡσύχαζε) θείᾳ νεύσει κινηθεὶς ἦλθε πρὸς τὰ περὶ τὴν Θρᾴκην Μακεδονικὰ χωρία, μοναστήριον συστήσων περὶ τὸν δ. αἰῶνα μετὰ Χριστόν. Κόσσυφος φανεὶς ἔδειξε τὸν τόπον· (ὑπουργοῦσι δὲ καὶ πτηνὰ τῷ θείῳ βουλήματι· καὶ μάρτυς ὁ κόραξ Ἠλίᾳ δουλεύων, καὶ τῷ Νῶε περιστερά)· καὶ αὐτοῦ καθιδρύθη ἡ ἄνω προειρημένη Μονὴ (ὅθεν καὶ ἀπὸ τοῦ κόσσυφος, οἷον κοσσυφοφανὴς παρωνομάσθη, καθὼς ἐτυμολογοῦσι, καὶ Κοσσυφοφάνισσα, καὶ κατὰ μετάπλασιν καὶ συγκοπὴν, Κοσσυφήνισσα). Συμπήξας οὖν μικρὸν τὸ πρῶτον ναΐδριον ὁ ἱερὸς Γερμανὸς διέταξε σανιδοποιὸν ἵνα δύω κατασκευάσῃ σανίδας, ἐξ ὧν ἐπὶ μὲν τῆς μιᾶς ἤθελε

Ὁ ἐκ τῆς Πεντέλης Ἱεροδιάκονος. Σελ. 83. Ὁ θεραπευθεὶς χωλός. Σελ. 75.



αξία, τρίκορμος ἢ τριστέλεχος ὑπάρχουσα καὶ μονοστέλεχος ἡ αὐτή. Διότι ὁ κοῖλος αὐτῆς κορμὸς σύγκειται ἐκ τριῶν στελέχων ἢ κορμῶν πρὸς ἀλλήλους συμφυῶς περιπεπλεγμένων, οἵτινες οὕτως εἰς ἑαυτοὺς ἑλισσόμενοι περίστροφοι, καὶ πρὸς ὕψος ἀναβαίνοντες μακρὸν, ἔπειτ' ἀποχωρίζονται, καὶ διαιροῦνται εἰς τρεῖς κορυφάς· ὅρπηκας δὲ μεγάλους ἢ ἀκρέμονας (κλῶνας κεφαλαιώδεις) ἡ πλάτανος ἔχει δώδεκα, περιπεφυκότας ἀνέκαθεν καὶ ἐξ ἀρχῆς, καὶ μήτε φθίνοντας ἢ ἐλαττουμένους, μήτε πάλιν ὑπερβαίνοντας τὸν ἀριθμόν.

Γ'. ΘΑΥΜΑ.

Τὸ κατὰ τὴν θεραπείαν τοῦ χωλοῦ.

§. ά. Εἰς τὴν κατὰ τὰς παλαιὰς Πάτρας Ἁλικὴν, τὴν μεταξὺ τῆς (οὕτω καλουμένης κώμης) Ἀχαΐας καὶ τοῦ Ὠλένου (τῆς χυδαιότερον Καμενίτσης), πλησίον τοῦ Μέλανος ποταμοῦ, νέος τις Ἰωάννης τοὔνομα, τὸν ἀριστερὸν ἐπόνεσε πόδα κατὰ τὸ ͵αχπδ. (1684) σωτήριον ἔτος· καὶ δι' ὅλων τριῶν ἐτῶν ὑπ' ἀνθρώπων θεραπευόμενος οὐδὲν ὠφελήθη· ἀλλὰ καὶ εἰς γάγγραιναν ἔτεινε τὸ πάθος, τοῦ ποδὸς κατὰ μικρὸν ἀποσηπομένου, καὶ τῶν σαρκῶν διαῤῥεουσῶν· ὥστε οὐδὲ κινεῖν πλέον ἠδύνατο τὸ σκέλος, ἀλλ' ἔφερεν αὐτὸ παντάπασιν ἀκίνητον καὶ ὡς ἂν ἀπὸ τοῦ ὅλου σώματος μέχρι γόνατος ἀποκεκομμένον, οὐδὲν ἄλλο τοῦ ποδὸς αἰσθανόμενος ὄφελος, εἰμὴ τὰς ἀφορήτους ὀδύνας. Ἤδη δὲ δι' ὅλης τῆς τριετίας μετ' ἄκρας ὑπομονῆς, ὡς χρυσὸς ἐν χωνευτηρίῳ, δοκιμασθεὶς θερμότερον προσηύχετο πρὸς Θεὸν, καὶ τὴν χάριν τῆς Θεοτόκου πιστῶς ἐπεκαλεῖτο, ἥτις καὶ ἄλλους μυρίους ἰάσατο κυλλοὺς καὶ χωλοὺς, καὶ αὐτοῦ τοῦ θείου Δαμασκηνοῦ τὴν ἀποκοπεῖσαν δεξιάν. Ἤκουε δὲ καθ' ἑκάστην ὁ Ἰωάννης ὅσα καὶ τότε κατ' αὐτὸν ἡ Θεομήτωρ διὰ τῆς Σπηλαιωτίσσης αὐτῆς εἰκόνος ἐτέλει θαύματα. Καὶ ηὔχετο μετὰ δακρύων ὅτι, ἄν ποτε τῆς ἰατρείας τοῦ ποδὸς ἀπολαύσῃ, παρευθὺς ἀπελθὼν εἰς τὴν ἱερὰν αὐτῆς Μονὴν ἀφιερωθήσεται, καὶ μονάσει, παραῤῥιφθεὶς ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, καὶ πιστῶς ἐν τῷ τεμένει τῆς Θεομήτορος ὑπηρετῶν ἐφ' ὅρου ζωῆς. Τοῦτο σήμερον ἐδέετο, τοῦτο αὔριον, τοῦτο καθ' ἡμέραν τε καὶ νύκτα, προσευχόμενος ἀδιαλείπτως.

ζωγραφῆσαι τὸν τύπον τοῦ Χριστοῦ, ἐπὶ δὲ τῆς ἑτέρας τὸν τῆν Θεοτόκου· καὶ ἐξεπριονίσθησαν αἱ σανίδες, ἡ μὲν πρὸς τὴν τοῦ Σωτῆρος ζωγραφίαν ἀκέραιος ἐξελθοῦσα καὶ ἀῤῥαγής· ἀλλ' ἡ διωρισμένη πρὸς τὴν τῆς Θεομήτορος ἐξεικόνισιν διεῤῥάγη κατὰ μέρος. Δαίμονος ἐπήρεια τὸ συμβεβηκὸς ἐνομίσθη, καὶ ἠθύμει ὁ Γερμανός. Ἐπιφανεῖσα δὲ ἡ Θεοτόκος θαῤῥεῖν ἐκέλευε τὸν ὅσιον, ὡς τῆς σανίδος καλῶς ἐχούσης πρὸς ὃ διώρισται. Καὶ εὑρέθη μετ' ὀλίγον ἐπ' αὐτῆς θεία νεύσει γεγραμμένη ἡ μορφὴ τῆς Θεομήτορος ἀγκαλοφορούσης τὸν Κύριον· ὅθεν καὶ ἀχειροποίητος δικαίως αὕτη ἡ εἰκὼν ὠνομάσθη. Ἐκ δὲ ταύτης ἴσως (ὡς ἀρχαιοτάτης) ἀντίτυπα καθιστορήθησαν ὕστερον καὶ αἱ ἀνωτέρω μνημονευθεῖσαι ἀχειρότευκτοι· ὅθεν καὶ ὡς ἔκτυποι μετέλαβον τῆς τοῦ πρωτοτύπου ἐπωνυμίας· (καθὼς καὶ τῶν τοῦ θείου Λουκᾶ πρωτοτύπων τὰ ἀντίτυπα μετωνομάσθησαν παρομοίως *τοῦ Λουκᾶ*). Θαυμαστὸν δὲ καὶ ὅλως διόλου πνευματικῆς ὀπτικῆς φαινόμενον θεωρεῖται καὶ τὴν σήμερον εἰς τὴν τῆς Κοσσυφηνίσσης εἰκόνα. Μόλις ἀμαυραί τινες καὶ λεπτόταται γραμμαὶ τοῦ θεομητορικοῦ χαρακτῆρος ἐπὶ τοῦ πίνακος ἐκ τοῦ πλησίον ὁρῶνται· ὅταν δὲ πόῤῥωθεν ἀποστὰς ἀποβλέψῃς, ὅλον καταφαίνεται λαμπρὸν καὶ πάγκαλον τὸ πρόσωπον τῆς Παρθενομήτορος. Ἀλλὰ τὰ περὶ τούτων ἱστοροῦνται ἐν τῷ Κτιτορικῷ τῆς ἁγίας ἐκείνης Μονῆς.

§. β΄. Οὕτω δὲ διακείμενος (ὢ τῆς ἀφάτου σου συμπαθείας Παντάνασσα Μεγασπηλαιώτισσα!) ἐξαίφνης ἐν μιᾷ τῶν ἡμερῶν ᾐσθάνθη χειρός τινος ἀοράτως τοῦ ποδὸς ἐφαπτομένης, καὶ κουφότερον αὐτὸν ἀπεργαζομένης καὶ παντάπασι τῶν ἀλγηδόνων ἀπηλλαγμένον· καὶ παρατηρῶν ἔβλεπε καθ᾽ ἡμέραν τὸ σκέλος ἐπὶ τὸ κρεῖττον προβαῖνον· ἤδη δὲ καὶ σάρκες κατὰ μικρὸν ἀνεφύοντο, καὶ ἐνευροῦντο, καὶ ἐτρέφοντο ἡμέραν ἐξ ἡμέρας ὑπὸ τῆς θρεπτικῆς δυνάμεως αὐξανούσης, μέχρις οὗ τέλειον ὁ ποῦς ἀνακαινισθεὶς, καὶ οἷον ἐξ ὑπαρχῆς ἀναπλασθεὶς, ἀποκατέστη σῶος ὅλος καὶ ἄρτιος καὶ ὑγιὴς, ὁ πρώην ἄσαρκος καὶ σκελετώδης καὶ μονονουχὶ νεκρός. Καὶ λοιπὸν ὁ Ἰωάννης ἀναστὰς ἀρτίπους ἥλλετο καὶ περιεπάτει δοξάζων τὸν Θεὸν, καὶ θαῦμα ξένον γινόμενος καὶ τοῖς δρῶσι καὶ τοῖς ἀκούουσιν.

§. γ΄. Ἀποδιδοὺς δὲ καὶ τὰς πρὸς Θεὸν εὐχὰς ὁ Ἰωάννης ἀπῆλθεν εἰς τὸ Μοναστήριον τοῦ Μεγάλου Σπηλαίου, καὶ μονάσας Ἰωαννίκιος διὰ τοῦ μοναχικοῦ σχήματος μετωνομάσθη, καὶ διετέλεσε τὸ ὑπόλοιπον τῆς ζωῆς αὐτοῦ νεωκορῶν τὸ ἱερώτατον τέμενος τῆς Θεοτόκου, καὶ λατρεύων τῷ Θεῷ νύκτα καὶ ἡμέραν. Πρὸς δεῖγμα δὲ τῆς εὐγνωμοσύνης αὐτοῦ, καὶ μαρτύριον τῆς, ἧς ἀπήλαυσεν, εὐεργεσίας, πόδα κατασκευάσας ἀργυροῦν ἐπίχρυσον, ὑποκάτω τῆς θαυματουργοῦ καὶ παντευεργέτιδος Εἰκόνος φέρων καθιέρωσεν, ἐπιγράψας αὐτὸς εἰς αὐτὸν καὶ τὴν τοῦ θαύματος ὁμολογίαν εἰς δόξαν Χριστοῦ, καὶ αἶνον τῆς παναγίας αὐτοῦ Μητρός· καὶ ἀνάκειται ὁ ποῦς ἐκεῖνος κρεμάμενος μετὰ τῶν ἄλλων ἀναθημάτων ὑποκάτω τῆς ἁγίας Εἰκόνος μέχρι τῆς σήμερον μετὰ τῆς ἐπιγραφῆς.

Δ΄. ΘΑΥΜΑ.

Τὸ κατὰ τὴν μετοχέτευσιν τοῦ ῥύακος.

§. α΄. Ὀλίγον ὑπῆρχε τὸ ὕδωρ καὶ ἀνίκανον πρὸς τὰς χρείας τῶν ἔξω τῆς Μονῆς ὑπουργούντων ἀδελφῶν, καὶ, πλὴν τῆς ἔσω τοῦ Σπηλαίου καλλιῤῥόης κρήνης, ἄλλο νᾶμα πηγαίου ὕδατος ἔξω τῆς Μονῆς ἀνέβρυεν οὐδὲν, χρησιμεῦον ἐκ τοῦ πλησίον· ὥστε μήτε ἄλευρον ἀλήθειν εἶχον οἱ μοναχοὶ, μήτε τ᾽ ἀναγκαῖα πρὸς ἕψημα λάχανα ποτίζειν καὶ κηπεύειν· κατετρίβοντο δὲ περιϊόντες ἄνω καὶ κάτω καὶ πολλαχῶς κακοπαθοῦντες· αἱ δ᾽ ἀνάγκαι κατήπειγον αὐξάνουσαι καθ᾽ ἡμέραν, πληθυνόντων τῶν ἀδελφῶν. Ἐκρίθη λοιπὸν ἀναγκαῖον ἵνα μετοχετεύσωσι τὸ καὶ μέχρι σήμερον πρὸς τὰ νότια τοῦ Σπηλαίου καταῤῥέον ῥεῦμα τοῦ Κερυνίτου (καὶ χυδαίως Λαδοποτάμου)· δι᾽ οὗ καὶ μύλοι ἀλήθουσι, καὶ αἱ πολλαὶ τῶν ἀναγκῶν τῆς Μονῆς θεραπεύονται, καθὼς προείπομεν ἐν τῇ Χωρογραφίᾳ (κεφ. Ε. §. α.). Ὁ δὲ Κερυνίτης οὗτος ἄνωθεν ἐξ ὄρους ῥέει Κερυνείας (Κρύαν βρύσιν λέγει τούτου τὰς πηγὰς ἡ νῦν συνήθεια)· ἡ δὲ Κερύνεια, παραφυάς τις οὖσα καὶ αὐτὴ καὶ κλάδος ἢ κέρας τῆς Κυλλήνης (καὶ ἴσως καὶ αὐτὴ μετὰ τῶν Ἀροανίων ὀρέων γενικώτερον τὸ πάλαι συναριθμουμένη), καταβαίνει γείτων καὶ παράλληλος πρὸς τὸν σύνεγγυς βραχίονα τῶν Ἀροανίων, ἐν ᾧ κεῖται ἡ Πέτρα τοῦ Σπηλαίου (Χωρογραφ. κεφ. Α. §. α.). Μέσος τῶν δύω τούτων γειτόνων ὀρέων ἄνωθεν καταῤῥεῖ ὁ Κερυνίτης, καὶ καταβαίνων εἰς τὴν μεταξὺ βαθεῖαν κοιλάδα ἐκβάλλει εἰς τὴν θάλασσαν τῆς Ἑλίκης, ἢ τῆς Βούρας· ὅθεν ἔχει συνωνυμοῦσαν καὶ τὴν ἔκπαλαι πρὸς δεξιὰν τῆς θαλάσσης ἐν ὄρει κατῳκισμένην πόλιν Κερύνειαν· ἧς τινος

πλησίον κατῴκισται καὶ ἡ σημερινὴ Κερυνίτισσα (χυδ. Κερνίτσα) συνάπτουσα πρὸς τὴν Βοῦραν (τὴν Διακοπτόν) (α).

§. 6΄. Ἐκ τούτου τοίνυν τοῦ Κερυνίτου ποταμοῦ (ἐφ᾽ ὅσον ἔτι φερόμενος ὑψηλὸς διαῤῥέει, πρὶν εἰς τὰ κατώτερα τῆς κοιλάδος ἐμπέσῃ) ἤθελον οἱ Μοναχοὶ ῥυάκιον μετοχετεῦσαι δι᾽ αὔλακος ἀποστρέψαντες εἰς τὰ ἐντεῦθεν τοῦ πλησιάζοντος βραχίονος τῶν Ἀροανίων, ἐπὶ τὰ νότια καὶ σύνεγγυς τοῦ Σπηλαίου· καὶ ἀπελθόν[illegible] υσσον αὐλακοτομοῦντες. Καὶ ὁ ῥύαξ ἐπηκολούθει κελαρύζων, καὶ συνήγετο κατὰ μικρὸν, ἀδρ[illegible] καὶ πολὺς ἀπὸ τοῦ Κερυνίτου ἀποσχισθείς. Ἀλλ᾽ ἔστησε τοὺς ὀρύσσοντας πέτρα μεγάλη προσαπαντήσασα, πρὸς ἣν ὁ ῥύαξ προσβάλλων ἀνέστρεφε τὸ ῥεῦμα, καὶ οὐκ ἤθελε προχωρεῖν. Ἡ δὲ πέτρα προσίστατο ἀκλόνητος κάτω τε βαθέως ἐῤῥιζωμένη, καὶ πρὸς ὕψος ὑπὲρ τὰς τρεῖς ἀνέχουσα ὀργυιάς, τὸ δὲ πλάτος, εὐρυτέρα καὶ παχυτέρα· καὶ οὔτε πρὸς τομωτάτας ἀξίνας καὶ δικέλλας ὑπεῖκεν, οὔτε πρὸς πλῆθος χειρῶν καὶ πληγῶν καταφερομένων βαρέως, ἐστομοῦτο δὲ πρὸς αὐτὴν ἀποκάμνουσα καὶ τῶν πάνυ ῥωμαλαίων βραχιόνων ἡ ἐνέργεια· ἄλλοθεν δὲ παρατρέψαι τὸ ῥεῖθρον ἡ τραχύτης τοῦ ὄρους οὐ συνεχώρει. Πολλὰς λοιπὸν ἡμέρας εἰς μάτην πονήσαντες οἱ ἁπλοϊκοὶ καὶ ἄτεχνοι μοναχοί, κατέβησαν, τέλος, ὅσον ἐκ τῆς ἑαυτῶν δυνάμεως ἀπηλπισμένοι· καὶ τὴν Θεοτόκον ἀκάκως ἱκέτευον ταπεινοὶ προσελθόντες, ἵνα, τοὺς θεράποντας ἐλεήσασα, βοηθήσῃ πεπονημένοις. Καὶ μετὰ μίαν ἡμέραν πάλιν ἀνέβησαν τὰς δικέλλας φέροντες καὶ προσευχόμενοι. Καὶ βλέπουσι τὴν μὲν πέτραν ἐσχισμένην, τὸ δὲ ὕδωρ διαβαῖνον, καὶ τῇδε κἀκεῖσε σκεδαζόμενον καὶ περιχεόμενον ἕτοιμον πρὸς ὀχετηγίαν. Χαίροντες λοιπὸν ἐδόξαζον τὸν Κύριον καὶ τὴν ἀντίληψιν τῶν καταπονουμένων, ἥτις ἁπάσας τὰς ἀνάγκας τῶν πιστῶν αὐτῆς τέκνων φιλοστόργως συγκατανεύουσα θεραπεύει. Προσώρυξαν δὲ καὶ τὸ λειπόμενον τῆς αὔλακος, καὶ περιλαβόντες τὸν ῥύακα μετωχέτευσαν ὅπου καὶ τὴν σήμερον καταῤῥέει πρὸς τὰ νότια τοῦ Σπηλαίου. Καὶ φαίνεται μέχρι τοῦ νῦν ἡ τῆς Πέτρας ῥωγμὴ, θείῳ νεύματι ῥαγείσης· καὶ αὐτὴ ἡ πέτρα « τὸ λιθάριον τῆς Παναγίας » συνήθως ὀνομάζεται μέχρι τῆς σήμερον ἡμέρας.

(α) « Μετὰ δὲ Ἑλίκην ἀποτραπήσῃ τε ἀπὸ θαλάσσης εἰς δεξιὰν, καὶ ἥξεις εἰς πόλισμα Κερύνειαν. Ὤκισται δὲ ὑπὲρ τὴν λεωφόρον ἐν ὄρει· καὶ οἱ τὸ ὄνομα ἢ δυνάστης ἐπιχώριος, ἢ ὁ Κερυνίτης ποταμὸς πεποίηκεν, ὃς ἐξ Ἀρκαδίας καὶ ὄρους Κερυνείας ῥέων Ἀχαιοὺς τοὺς ταύτῃ παρέξεισι » κτλ. (Παυσαν. Ζ. κε. §. 3. πρβλ. καὶ Στράβ. η. 387. Ὁ δ᾽ Αἰλιαν. ποικ. ἱσ. ιγ. 6. ἔγραψε Κερυνία). Τῶν δὲ καθ᾽ ἡμᾶς περιηγητῶν Κερυνίτην ὠνόμασαν τὸν Βουραϊκὸν ποταμόν· ἀλλὰ τούτου καὶ αἱ πηγαὶ καὶ ἡ πορεία τοῦ ῥοῦ φαίνεταί πάντη διάφορος πρὸς τὴν τοῦ Παυσανίου περιγραφήν. Ὁ Βουραϊκὸς ὑπάρχει τῶν Καλαβρύτων ὁ ποταμὸς (ὡς προείπομεν), ὅστις ἐκβάλλει εἰς τὴν θάλασσαν παρὰ τὰ Τρουπεῖα. ἀπωτέρω δὲ παρὰ τὴν Διακοπτὸν, ἐκβάλλει ὁ Κερυνίτης. Τούτου δὲ καὶ αὐτῆς τῆς, ἐξ ἧς παράγεται, Κερυνείας τὸ ἔτυμον (εἴτι συγχωρεῖται καὶ μετὰ Παυσανίαν ἐτυμολογεῖν) φαίνεται παρὰ τὸ *κέρυς* αἰολικώτερον ἀντὶ *κέρος* καὶ κέρως (ὅθεν καὶ τὰ ἐκ τοῦ *κερο* σύνθετα, ὡς κεροτύπος κτλ.), τὸ αὐτὸ καὶ κέρας. Ὅθεν Κερύνεια μὲν καὶ τὸ ὄρος (ὅτι ὡς κέρας ἐκφύεται ἀπὸ τῆς Κυλλήνης), Κερύνεια δὲ κατὰ μετάληψιν καὶ ἡ πόλις, οἷον κερόεσσα, καὶ αὐτὴ, διότι κατ᾽ αὐτὸ τὸ ὄρος καὶ ἐπὶ λόφου κερατοειδοῦς ἐπῳκοδόμηται. Ὁ δὲ μακαρίτης Μελέτιος *Κερώνειαν* τὴν Κερύνειαν ἔγραψε κατὰ λάθος (Γεωγραφ. τ. 6. σελ. 383. ἔκδ. Γαζῆ). Καί τοι καὶ αὐτὸ τὸ ἑτερόσημαντον Κερώνεια, καὶ Κερωνέα, καὶ Κερωνία (τὸ δένδρον ἡ Κερατία, καὶ Ξυλοκερατία) ἐκ τοῦ *κέρως* παράγεται· (κέρως, κέρων, κερώνης, κερώνεια· καὶ κέρυς κέρυν, κερύνης, κερύνεια).

Ε΄. ΘΑΥΜΑ.

Τὸ κατὰ τὴν προϋπάντησιν τοῦ ἀρχισατράπου τῶν Ὀθωμανῶν Τζὶν Ἀλῆ Πασᾶ.

§. α. Κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν δέκατον τέταρτον σωτήριον ἔτος ὁ τότε τῆς τῶν Ὀθωμανῶν βασιλείας ἀρχισατράπης τὸ μὲν ὄνομα Ἀλῆς, τὸ δ᾽ ἐπώνυμον Τζὶν (δηλαδὴ, δαιμόνιον) ἐστράτευσε μετὰ μυριαρίθμου στρατοῦ κατὰ τῆς Πελοποννήσου, αὐτὸς ἀρχιστρατηγῶν. Ἤδη δὲ φθάσαντος αὐτοῦ κατὰ τὸν Ἰσθμὸν (τὸ ἑξαμίλιον), καὶ τὴν Κόρινθον πολιορκοῦντος, ἡ Θεοτόκος ἐφάνη κατ᾽ ὄναρ εἴς τινα τῶν εὐλαβῶν καὶ ἐναρέτων μοναχῶν τοῦ Μοναστηρίου, Γρηγόριον Προηγούμενον, κελεύουσα ταχέως εἰπεῖν πρὸς τοὺς πατέρας, ἵνα φθάσαντες προλάβωσι τὸν κίνδυνον, ἐξελθόντες εἰς προϋπάντησιν καὶ ὑποτελῆ ὑποδοχὴν τοῦ ῥηθέντος Ὑπάτου Στρατάρχου τῶν Ὀθωμανῶν· καὶ εἶπεν ὁ Γρηγόριος τὸ ὅραμα. Οἱ δὲ πατέρες διά τινας κενὰς καὶ ματαίας ἐλπίδας (αἵτινες ἔβοσχον τότε τοὺς θαῤῥοῦντας εἰς τὴν ἤδη λειποψυχοῦσαν δύναμιν τῶν Ἑνετῶν) ἀντέτεινον, οὐδ᾽ ἤκουον ὅσα πρὸς αὐτοὺς ἔλεγεν ὁ Γρηγόριος, καθὼς διετάχθη, νομίζοντες τὸ πρᾶγμα κενὸν φαντασίας ὄνειρον. Ἀλλ᾽ ἡ πάντοτε τῶν πρὸς τὸ συμφέρον τοῦ θείου σκηνώματος κηδομένη, καὶ τοὺς οἰκείους θεράποντας καθοδηγοῦσα Παντάνασσα Μητροπάρθενος ἐμφανισθεῖσα καὶ αὖθις τῷ Γρηγορίῳ κατ᾽ ὄναρ, εἶπεν αὐτῷ πάλιν προσταχτικῶς « Λέγε πρὸς τοὺς πατέρας, ἵνα, τὰς ματαίας ἀφέντες ἐλπίδας, ἐξέλθωσιν ἀνυπερθέτως εἰς προϋπάντησιν τοῦ στρατάρχου τῶν Ὀθωμανῶν, ὅστις ἐντὸς ὀλίγου καθυποτάξει πᾶσαν τὴν Πελοπόννησον· ὅτι τοῦτό ἐστι τὸ θέλημα τοῦ Κυρίου ». Ἀναστὰς λοιπὸν ὁ Γρηγόριος ἔντρομος αὐτῇ τῇ ὥρᾳ ἀνήγγειλε πάντα πρὸς τοὺς πατέρας. Συγχρόνως ἔφθασεν εἰς τὸ μέγα Σπήλαιον καί τις ὅσιος πνευματικὸς Παΐσιος τοὔνομα, Κροντηρᾶς τὸ ἐπίθετον, ἐκ τοῦ κατὰ τὴν Στρέζοβαν Μοναστηρίου τῆς ἁγίας Τριάδος, ὅστις καὶ αὐτὸς ὑπὸ Θεοῦ φωτισθεὶς, ἔδραμε καὶ συνεβούλευε τοῖς Σπηλαιώταις τὴν προϋπάντησιν τοῦ ἀρχισατράπου. Παρῆσαν δὲ καὶ ἐκ τῆς εὐαγεστάστης Μονῆς τῶν Ταξιαρχῶν ὅ,τε Καθηγούμενος κύριος Θεοφάνης καὶ ὁ τούτου θεῖος Ἀγάπιος, συμφώνως καὶ οὗτοι παροτρύνοντες πρὸς ἀπάντησιν. Ὅθεν κοινῆς ἀποφάσεως γενομένης, ὁ τότε τοῦ Μεγάλου Σπηλαίου ἡγουμενεύων Ἰωάσαφ μετὰ καὶ τῶν λοιπῶν παρευρεθέντων πατέρων ἐκλέγουσιν αὐτὸν τὸν Γρηγόριον (τὸν καὶ Ὠλένης ἐπίσκοπον μετὰ ταῦτα χρηματίσαντα), καὶ ἀποστέλλουσιν ὡς ἐκ προσώπου παντὸς τοῦ Μοναστηρίου πρὸς ὑποδοχὴν τοῦ στρατάρχου μετὰ δώρων ὑποτελοῦς εὐπειθείας ἐνδεικτικῶν. Συναπῆλθε δὲ μετ᾽ αὐτοῦ καὶ Ἀγάπιος ἐκ μέρους τῶν Ταξιαρχιτῶν.

§. β΄. Ἤδη δὲ τοῦ Γρηγορίου μετὰ τῶν περὶ αὐτὸν καθ᾽ ὁδὸν προπορευομένου καὶ φθάσαντος περὶ τὸ κοινῶς λεγόμενον Αὐγὸν, Τοῦρκοί τινες ἱππεῖς εἰς τὴν Πελοπόννησον εἰσχωρήσαντες ἀπὸ τοῦ στρατοπέδου τῶν Ὀθωμανῶν, καὶ τὰ περὶ τὴν Κόρινθον ληστεύοντες, καὶ κτείνοντες πάντα τὸν ἀπαντῶντα, ὡς εἶδον καὶ τὸν Γρηγόριον, ἐφώρμησαν κατ᾽ αὐτοῦ θέλοντες αὐτὸν θανατῶσαι μετὰ τῆς συνοδίας· καὶ τὰ ξίφη γυμνώσαντες ἐχώρουν ὁρμῇ· ὁ δὲ Γρηγόριος ἰδὼν αὐτοὺς οὕτως ᾄττοντας καὶ φονῶντας, ὅλος ἔντρομος, μέγα ἀνεβόησε, Θεοτόκε Μεγαλοσπηλαιώτισσα πρόφθασον! καὶ εὐθὺς ὢ τοῦ θαύματος! ἐπεφάνη ἡ ἑτοίμη βοήθεια καὶ ἀντίληψις τῶν εἰς αὐτὴν προστρεχόντων χριστιανῶν· διότι οἱ ἄγριοι ἐκεῖνοι καὶ ἀπάνθρωποι φονεῖς, ὡς ἤκουσαν τῆς

φωνῆς, ἔστησαν ὡς ἐννεοί· τί παθόντες; ἄδηλον· καὶ μετ' ὀλίγον καλέσαντες πρὸς ἑαυτοὺς τοὺς περὶ τὸν Γρηγόριον ἱλαροὶ καὶ χειροήθεις, ὡς ἀρνία ἄκακα, ὁμιλίας τε ἠξίωσαν φιλανθρώπου (ἐλάλει δέ τις τῶν περὶ τὸν Γρηγόριον τουρκιστὶ), καὶ παρηγορήσαντες ἀπέλυσαν εὐμενέστατα λέγοντες. « Μὴ φοβεῖσθε, διότι, καθὼς βλέπομεν, ὁ Θεὸς ὑμᾶς ἀγαπᾷ καὶ διαφυλάττει »· καὶ πλέον οὐδὲν εἰπόντες ἀφῆκαν αὐτοὺς ἀπιέναι. Διασωθέντες δὲ οἱ περὶ τὸν Γρηγόριον ὡς ἐκ στομάτων λεόντων ἔδωκαν δόξαν τῷ Θεῷ καὶ τῇ Θεοτόκῳ· καὶ μικρὸν προβάντες περιέμενον καὶ τοὺς Ταξιαρχίτας, οἵτινες κἀκεῖνοι κατόπιν ἐρχόμενοι διέβησαν ἀβλαβεῖς.

§. γ΄. Καὶ πάλιν ὁδοιπορήσας ὁ Γρηγόριος ἔφθασεν εἰς τὸν Ἰσθμὸν, καὶ διαβὰς διὰ τῶν προφυλακῶν συνωδευμένος ὑπ' αὐτῶν, παρέστη, τέλος, ἐνώπιον τοῦ Στρατάρχου τῶν Ὀθωμανῶν. Ὁ δὲ βλοσυρῶς πρὸς αὐτὸν ἀποβλέψας « Πόθεν εἶ σὺ (λέγει), καὶ τί ζητεῖς, καλόγηρε; » Καὶ ὁ Γρηγόριος ἀπεκρίνατο « Ὦ μεγάλε Ἀρχισατράπα· ἐπειδὴ καὶ ὁ Θεὸς παραδίδωσι τὴν Πελοπόννησον εἰς τὴν ἐξουσίαν τῆς κραταιᾶς τῶν Ὀθωμανῶν βασιλείας, πέμπουσί με οἱ κατὰ τὸ μέγα Σπήλαιον πτωχοὶ Μοναχοὶ πρέσβυν ὑπὲρ τοῦ Μοναστηρίου, τοῦτόν σοι κομίζοντα τὸν φόρον πρὸς ἔνδειξιν ὑποτελοῦς ὑποταγῆς »· (καὶ προσήνεγκε τὰ δῶρα). « Δέξαι, Στρατάρχα, τὴν προσφορὰν, καὶ μηδενὶ συγχωρήσῃς ἀδικῆσαι τὸ Μοναστήριον ἐν ᾧ λατρεύεται ὁ τῶν ὅλων Θεός. Φεῖσαι δὲ καὶ τῆς ἄλλης Πελοποννήσου, ἵνα ταύτην ἔχῃ ὁ βασιλεὺς ὡς κῆπον ἀδιάφθορον ἀκμάζοντα καὶ εὐθηνοῦντα πρὸς φόρου ἀπαγωγήν ». Ταῦτα ἀκούσας ὁ βάρβαρος σατράπης, ἐχάρη τε καὶ ἐπῄνεσε καὶ θαῤῥεῖν ἐκέλευσεν, ἱλαρῷ τῷ προσώπῳ πρὸς τὸν Γρηγόριον ἀπιδών· ὡσαύτως ὑπεδέχθη καὶ τοὺς Ταξιαρχίτας. Ὑπῆρχε δὲ τότε παρὰ τῷ Ἀρχισατράπῃ μέγας Διερμηνευτὴς Ἰωάννης Μαυροκορδάτος (ὅστις ἔπειτα καὶ ἡγεμόνευσεν εἰς τὴν Βλαχίαν). Καὶ οὗτος λοιπὸν ὑπεδέχθη τοὺς πατέρας εὐλαβέστατα, καί τινα ἱερομόναχον ἐκ τῆς συνοδίας τοῦ Γρηγορίου Μεγασπηλαιώτην ἐκράτησε παρ' ἑαυτῷ ὡς ἐφημέριον, Δανιὴλ καλούμενον (ὅστις καὶ σχολεῖον ἔπειτα κοινωφελέστατον συνέστησεν εἰς τὴν Πελοπόννησον). Συνεργείᾳ δὲ τῆς Θεοτόκου καὶ μεσιτείᾳ τοῦ διερμηνέως ἀνενέωσεν ὁ Ἀρχισατράπης καὶ τὰ ἐπὶ τῆς πρώτης αἰχμαλωσίας (α) δοθέντα εἴς τε τὸ Μεγασπήλαιον καὶ εἰς τοὺς Ταξιάρχας Ὀθωμανικὰ διατάγματα (φερμάνια), καὶ ἀπέλυσεν εὐμενῶς τὸν Γρηγόριον μετὰ τοῦ Ἀγαπίου, δοὺς αὐτοῖς καὶ στρατιώτας, ὅπως αὐτοὺς φρουρῶσι καθ' ὁδὸν, καὶ παραμείνωσιν εἰς τὰ Μοναστήρια φύλακες, ἵνα μηδεὶς ἐκεῖ πλησιάσῃ, ὅταν ὁ τουρκικὸς στρατὸς εἰσβάλῃ νικηφόρος εἰς τὴν Πελοπόννησον.

§. δ΄. Ἀκουσθείσης δὲ τῆς τῶν Μεγασπηλαιωτῶν ὑποδοχῆς παρὰ τῷ Ἀρχισατράπῃ, ἀπῆλθεν εἰς τούτου προϋπάντησιν καί τις Ἠλίας, Δόξας ἐπωνυμούμενος, καὶ ἄλλοι τινες ἀπὸ τῆς Σπάρτης· καὶ ὁ Σατράπης ἀπέβη ἡμερώτερος. Διότι εἶχε σκοπὸν, ἵνα, λαβὼν τὴν Κόρινθον, εὐθὺς ἀποστείλῃ μέγα μέρος τοῦ στρατοῦ πρὸς αἰχμαλωσίαν καὶ σφαγὴν καὶ παντελῆ ἐξολόθρευσιν τῆς Πελοποννήσου· ἀλλ' ὕστερον ἰδὼν τῶν αὐθαιρέτως (ὡς ἐφαίνοντο) προσελθόντων τὴν ὑποταγὴν, καὶ δυσωπούμενος τὸ διαβόητον Μέγα Σπήλαιον, ὡς κοινὸν τῆς Πελοποννήσου προσκύνημα, εἰσέβαλε πρὸς πολλοὺς ἠπιώτερος. Οὕτω συνεργείᾳ τῆς Θεοτόκου ἐσώθησαν μὲν ἀπὸ τοῦ κινδύνου

(α) Πρώτη τῆς Πελοποννήσου ὑπὸ τῶν Τούρκων ἅλωσις ἐγένετο κατὰ τὸ 1550—1560, καὶ διήρκεσε μέχρι τοῦ 1687, ὁπότε πάλιν ἐκυρίευσαν αὐτῆς οἱ Ἐνετοί· καὶ τούτων ἡ δυναστεία διήρκεσεν ἕως τοῦ 1715, ὁπότε πάλιν ἐπανῆλθον οἱ Τοῦρκοι.

αἱ ἱερώταται Μοναὶ (α), ἐσώθησαν δὲ καὶ πόλεις καὶ χῶραι τῆς Πελοποννήσου ἄλλαι τε καὶ σύμπασα τῶν Καλαβρύτων ἡ ἐπαρχία ἀπὸ τῆς τῶν βαρβάρων ἐπιδρομῆς, οἵτινες ἔμελλον καὶ εἰς ἐκείνας τὰς χώρας ἐπιπεσεῖν, ὡς λύκοι βαρεῖς, θύοντες καὶ ἀπολλύοντες τὸ πᾶν. Καὶ τοῦτο μὲν τὸ θαῦμα τῆς Παντανάσσης Θεοτόκου τοιοῦτον ἐγένετο. Ὅτι δὲ καὶ ἄλλοτε παρομοίως πολὺ τῆς Πελοποννήσου μέρος ἀπὸ τῆς μανίας τῶν Τούρκων διέσωσεν ἡ Θεοτόκος διὰ τοῦ ἁγίου σκηνώματος αὐτῆς, τοῦ μεγάλου Σπηλαίου, λέγομεν ἐφεξῆς.

ϛʹ. ΘΑΥΜΑ.

Τὸ περὶ τοὺς ἐκ τῆς καρατομίας διασωθέντας ἱερομονάχους, Παρθένιον καὶ Σωφρόνιον.

§. α. Κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν δέκατον ἕβδομον σωτήριον ἔτος τὰ πράγματα τῆς Πελοποννήσου εἰσέτι ἐκυμαίνοντο τεταραγμένα καὶ ἀστατοῦντα, διὰ τὴν πρὸ μικροῦ γενομένην τῶν Τούρκων εἰσβολήν. Τότε τοίνυν κατὰ τὸ Αἴγιον (περὶ τὰ νῦν Τρουπεῖα) πειρατῶν ἐξαίφνης ἀναφανέντων ὑπὲρ τοὺς ἑκατὸν πεντήκοντα, ὁ τῆς Πελοποννήσου Σατράπης, Ὀσμάνης τοὔνομα, κατὰ τὴν παλαιὰν Πάτραν ποιούμενος τὰς διατριβὰς, ναυτικὸν ἀποστείλας κατεπολέμησε τὸ πειρατικόν· καὶ φεύγοντες οὗτοι, τὰς μὲν λέμβους τὰς ληστρίδας προσώκειλαν εἰς τὸ παράλιον παρὰ τὸν Κρᾶθιν, Ἀρκαδίας καὶ Ἀχαΐας ποταμὸν (β), αὐτοὶ δὲ κατέφυγον ἐξελθόντες εἰς τὰ ὄρη καὶ τὰ ἐνδότερα τῆς Πελοποννήσου. Ὁ δὲ σατράπης τοῦτο μαθὼν, ἀποστέλλει κατ' αὐτῶν ληστοδιώκτην τὸν ἑαυτοῦ Ταγματάρχην (Δελίμπασσιν) Μουσταφᾶν, τὸ ἐπώνυμον Τζιλιμίγκραν, ἐπιτάξας καὶ πικρὰν ἐπιταγὴν, ἵνα πρὸς τοῖς λησταῖς ἀκρίτως φονεύῃ καὶ πάντας, οὓς ἂν μάθῃ ληστοτρόφους γενομένους, ὅσοι δηλαδὴ παρέσχον ἐκείνοις τροφὰς, ἢ καταφύγιον καὶ ἀποκρυβὴν εἰς τὰς οἰκίας, ἢ καὶ ἄλλως ὁπωσδήποτε περιεποιήσαντο τοὺς κακούργους. Ἐγίνοντο λοιπὸν συχναὶ κατηγορίαι καὶ διαβολαὶ καὶ βλάβαι μεγάλαι παρὰ τῶν Τούρκων κατὰ τῶν χριστιανῶν. Καί τινες ἀφοβίᾳ Θεοῦ φερόμενοι τὸν ῥηθέντα ταγματάρχην Τζιλιμίγκραν ἐπληροφόρησαν, ὅτι τοὺς φυγάδας πειρατὰς διαβάντας καὶ διὰ τοῦ μεγάλου Σπηλαίου ἐψώμισαν δῆθεν οἱ ἐκεῖ μοναχοὶ, καὶ παντοίως ἀνέπαυσαν καὶ ἐνίσχυσαν. Ὁ δὲ ταγματάρχης, ὡς ἤκουσε, χωρὶς ἀναβολῆς ἐξαπέστειλε τὸν

(α) Καὶ ἄλλα δύω μικρὰ Μοναστήρια, τὸ μὲν τῆς Κορίνθου, τὸ δὲ τῶν παρὰ τὴν Τροιζῆνα (Δαμαλὰ) λεγομένων Πηγάδων ἀπέστειλαν μοναχοὺς εἰς ἀπάντησιν τοῦ ἀρχισατράπου. Οὕτως οἱ πτωχοὶ μοναχοὶ ἐφρόντιζον περί τε τῆς ἑαυτῶν καὶ τῆς τοῦ πλησίον σωτηρίας, χρέος ἐκπληροῦντες Εὐαγγελικόν. Οἱ δὲ τότε προεστῶτες τῆς Πελοποννήσου, οἱ πλεῖστοι, οἱ μὲν ἔσωζον ἑαυτοὺς ἀναχωροῦντες εἰς τὰ ἔξω καὶ καταλείποντες τὴν πατρίδα· οἱ δὲ ἐβόσκοντο ματαίαις ἐλπίσι τῶν τότε χαύνων καὶ ἀναλκίδων Ἑνετῶν, οἵτινες οὔτε τοὺς οἰκείους σῴζειν, οὔτε κατὰ τῶν πολεμίων ἠδύναντο βοηθεῖν· ἀλλὰ καὶ προδόται τινες ἐφάνησαν (ὡς οἱ κατέχοντες τὸ Ναύπλιον)· καὶ ἐφ' ὅσον ἐκράτησαν τῆς Πελοποννήσου, ἐτυράννουν καὶ αὐτοὶ βίαια πράττοντες, καὶ μικρόν τι διαφέροντες τῆς δυναστείας τῆς τουρκικῆς.

(β) Ὁ Κρᾶθις λέγεται καὶ θηλυκῶς, ἡ Κρᾶθις (Παυσαν. Ζ. 25, καὶ Η. 15)· ὅθεν ἡ χυδαιολεξία εἶπε καὶ ἡ Κράθα, καὶ ἡ Κράτα, ἐξ οὗ παρεπλάσθη καὶ ἡ Ἀκράτα, ὡς λέγεται κοινότερον ἡ Κρᾶθις καὶ τὴν σήμερον.

Οἱ ἐκ τῆς καρατομίας διασωθέντες Ἱερομόναχοι. Σελ. 80.



λοχαγὸν (Μπουλούχ-μπασσιν), τοὔνομα Μεχμέτην, τὸ δ᾽ ἐπώνυμον Λεχίσταν, τὸ γένος Ἀλβανὸν, ἵνα φέρῃ πρὸς αὐτὸν ἀνυπερθέτως τὰς κεφαλὰς τῶν εἰς τὸ μέγα Σπήλαιον ἐνασκουμένων ἐπισημοτέρων μοναχῶν, καὶ πρὸ πάντων τοῦ Καθηγουμένου, πρώην Μυρέων, κυρίου Ζαχχαίου, πρὸς ὃν αὐτὸς ὁ Ταγματάρχης μεγάλως ἐνεκότει· διότι ὅτε εἰς Πάτρας ἀπῆλθεν ὁ Ἡγούμενος δώροις τιμήσων, ὡς ὑπήκοος, τὸν ῥηθέντα σατράπην Ὀσμάνην, δὲν ἐφιλοδώρησε καὶ τὸν Ταγματάρχην αὐτὸν κατ᾽ ἰδίαν (ἐξ ἀγνοίας, ἢ ἀπροσεξίας τοῦτο παθών)· τοῦτο δὲ δεινὸν ἐφάνη καὶ ἀφ[illegible] εἰς τὴν ἀλαζονικὴν τοῦ βαρβάρου πλεονεξίαν· ὅθεν ἐζήτει κατὰ τοῦ Ἡγουμένου πρόφασιν ἐκδ[illegible]ως, ἧς καὶ τότε ἐπέτυχεν.

§. 6΄. Ἀπελθὼν λοιπὸν εἰς τὸ ἱερὸν μοναστήριον ὁ λοχαγὸς Λεχίστας, τοιαύτην ἔχων ἐπιταγὴν, ἐζήτει τοὺς προεστῶτας· ἀλλ᾽ οὔτε ὁ Ἡγούμενος εὑρέθη ἐκεῖ, οὔτε οἱ λοιποὶ πατέρες, εἰμὴ οἱ διακονηταὶ μόνοι, καί τις τῶν γερόντων ποδαλγὸς, τοὔνομα Νεόφυτος, καὶ ἄλλος δέ τις γέρων πενιχρῶς ἐνδεδυμένος, Γεννάδιος ὁ Σκευοφύλαξ, καὶ δύω ἱερομόναχοι, κατ᾽ ἐκείνας τὰς ἡμέρας ἐφημερεύοντες, ὧν ὁ μὲν ἐλέγετο Παρθένιος, ἀπὸ χωρίου Σιλιβαίνων· ὁ δὲ Σωφρόνιος ἀπὸ χωρίου τῆς κάτω Ποταμίας λεγομένου (ταῦτα δὲ τὰ χωρία τελοῦσιν εἰς τὴν τῶν Καλαβρύτων διοίκησιν), ἄνδρες ἀμφότεροι εὐλαβεῖς περὶ τὰ θεῖα καὶ ἐνάρετοι, καὶ παιδιόθεν ἀνατεθραμμένοι θεαρέστως εἰς τὸ ἱερὸν τοῦτο μοναστήριον. Ὁ γοῦν Λεχίστας, ὡς ἐπληροφορήθη παρὰ τῶν διακονητῶν ὅτι τῶν πατέρων οὐδεὶς ἄλλος ἐκεῖ παρῆν, συλλαβὼν τοὺς παρατυχόντας, διὰ μὲν τοὺς ἄλλους ἡτοίμαζε σκόλοπας, ὅπως αὐτοὺς ἀνασκολοπήσῃ, τοὺς δὲ δύω ἱερομονάχους παρὰ τὸν ναὸν ἀπαντήσας καὶ συναρπάσας ἔδησεν ὀπισθάγκωνα τὰς χεῖρας, καὶ φέρων αὐτοὺς ἐγονάτισεν εἰς τὸν Νάρθηκα παρὰ τὴν θύραν τοῦ εὐαγοῦς Ναοῦ, ἵνα, καρατομήσας, ἀποστείλῃ παρευθὺς τὰς κεφαλὰς αὐτῶν πρὸς τὸν κατὰ τὸ Σοπωτὸν τότε διατρίβοντα ταγματάρχην. Ἐκεῖνοι δὲ οἱ μακάριοι στενάξαντες καὶ δακρύσαντες καὶ πρὸς τὰς θύρας τοῦ θείου σκηνώματος τὸ ἔσχατον ἀποβλέψαντες, ἔκυψαν τοὺς αὐχένας προσευχόμενοι καὶ περιμένοντες, ὡς ἀρνία ἄκακα, τὴν σφαγήν. Ἐν τούτῳ δὲ τῷ μεταξὺ φθάνει τις διάκονος, τοὔνομα Ἀβέρκιος, φέρων ἐπίταγμα παρὰ τοῦ ἡγεμόνος πρὸς τὸν λοχαγὸν, ἵνα μηδεὶς παρενοχλήσῃ τοὺς Μεγασπηλαιώτας, μηδὲ παραβλάψῃ τὸ Μοναστήριον (διότι ὁ Ἡγούμενος τότε τυχὼν εἰς τὰς Πάτρας, καὶ μαθὼν τὴν κατὰ τοῦ Μοναστηρίου λύσσαν τοῦ Ταγματάρχου, προσῆλθε πάλιν τῷ ἡγεμόνι μετὰ δώρων· καὶ ζητήσας ἔλαβε, καὶ ἀπέστειλεν αὐθωρὸν διὰ τοῦ διακόνου τὸ ἐπίταγμα). Ὡς δὲ ἦλθεν ὁ διάκονος καὶ εἶδεν ἕτοιμα τὰ σφάγια, ἐφοβήθη, μήπως ὁ λοχαγὸς Λεχίστας (ὅστις ἓν μόνον ἀπέβλεπεν, ὅπως ἀρέσῃ τὸν ἴδιον ἀρχηγὸν) ἰδὼν τὴν ἐπιταγὴν ὀργισθῇ μᾶλλον, καὶ μήτ᾽ ἐκείνων φεισθῇ, κατασφάξῃ δὲ καὶ τοὺς ἄλλους καὶ αὐτὸν τὸν κομιστὴν (τίς δὲ περὶ τούτων ἔμελλεν αὐτὸν εὐθύνειν; πρὸς αὐτὸν δὲ τὸν ἡγεμόνα, ἂν ἐξητάζετο, τυχὸν, ἠδύνατο λέγειν, ἢ ὅτι οὐδόλως, ἢ ὅτι βραδέως ἦλθε πρὸς αὐτὸν τὸ διάταγμα καὶ ὀψὲ, τῶν φόνων ἤδη πεπραγμένων), ἔκρυψε λοιπὸν ὁ διάκονος ἀνέκφορον κρατήσας τὴν διαταγὴν, καὶ ἀποστὰς καὶ συγκαλυψάμενος, ἔκλαιεν. Ὁ δὲ Λεχίστας σπασάμενος τὴν σπάθην μετ᾽ ὀργῆς πρῶτον μὲν κατέφερεν ἐπὶ τὸν τράχηλον τοῦ ὁσίου Σωφρονίου· ἀλλ᾽, ὢ τῆς ἀμάχου προστασίας σου Δέσποινα! ἡ δήμιος ἐκείνη σπάθη καταφερομένη ἐθραύσθη εἰς δύω· ἄλλος δ᾽ ἐξ ἄλλου γενόμενος ὁ σφαγεὺς ἀπὸ τοῦ θυμοῦ στρέφεται κατὰ τοῦ Παρθενίου μετὰ τοῦ ἐναπολειφθέντος ἀνὰ χεῖρας, ὑπὲρ τὸ ἥμισυ, τμήματος τῆς σπάθης. Ἐν ᾧ δὲ καὶ τοῦτο μετ᾽ ὀργῆς ἀνατείνας κατέφερεν ἐπὶ τὸν τράχηλον ἐκείνου, κατέπεσε λοιπὸν καὶ αὐτὸ τὸ λείψανον τοῦ ξίφους διατρυφὲν, καὶ ἀπέμεινεν εἰς τὴν δράκα τοῦ δημίου μόνη ἡ λαβή. Τότε ζέσας ὑπὸ θυμοῦ καὶ μανεὶς ἐκεῖνος ὁ θηρίων

ἁπάντων ὠμότατος ἔσυρε τὸν ἀκινάκην, θέλων ἀμφοτέρους τοὺς γονυπετεῖς ἱερεῖς διαπεράσαι· ἀλλ' εἷς τῶν παρόντων βαρβάρων στρατιωτῶν θεωρήσας τὸ παράδοξον τοῦ θαύματος, εἶπε πρὸς αὐτὸν ἀλβανιστί, « παῦσαι τοῦ τοσούτου θυμοῦ, καὶ ἄπεχε τὰς χεῖρας ἀπὸ τῶν καλογήρων· διότι εἴτε ὁ παρ' αὐτοῖς τιμώμενος ἅγιος, εἴτε καὶ αὐτὴ ἡ ἀθωότης αὐτοῖς βοηθεῖ· καὶ ἰδοὺ φανερῶς διασώζονται· ὥστε δὲν θέλει τὴν σφαγὴν αὐτῶν ὁ Θεός· ἡσύχασον λοιπόν, μὴ συμβῇ τι κακὸν καὶ εἰς ἡμᾶς »· τότε ὁ αἱμοβόρος ἐκεῖνος μόλις ἐλώφησε τοῦ θυμοῦ, καὶ ἀφῆκε τοὺς ἄνδρας, λαβὼν γρόσια ὀγδοήκοντα διὰ τὴν ἐκτίμησιν τῆς συντριβείσης αὐτοῦ σπάθης· ἔλαβε δὲ καὶ ἄλλα προσέτι χρήματα πρὸς ἐξαγορὰν τοῦ ποδαλγοῦ Νεοφύτου καὶ τῶν ἄλλων, τὰ πάντα περὶ τριακόσια γρόσια, καὶ οὕτως ἀνεχώρησε λαβὼν μεθ' ἑαυτοῦ καὶ τὰ τεμμάχια τῆς σπάθης πλὴν ἑνὸς μόνου, τῆς ἄκρας (ἀφῆκε δὲ τοῦτο χάριν δῆθεν δικαιοσύνης! ὡς ἀνῆκον ἤδη τὸ ξίφος εἰς τὴν Μονήν, παρ' ἧς ἔλαβεν αὐτοῦ τὴν τιμήν)· καὶ κρέμαται μέχρι τοῦ νῦν τὸ ἄκρον τοῦτο τῆς σπάθης ὑποκάτω τῆς ἁγίας εἰκόνος εἰς αἰωνίαν τοῦ θαύματος ἐνθύμησιν. Τὰ δὲ λοιπὰ θραύσματα παρέλαβε μεθ' ἑαυτοῦ δεῖγμα φέρων αὐτὰ πρὸς τὸν ἴδιον ἀρχηγόν, τὸν εἰρημένον ταγματάρχην, ὅπως κἀκεῖνος μὴ μόνον παρὰ τῶν ἄλλων, τῶν συμπαραγενομένων στρατιωτῶν, ἀλλὰ καὶ δι' αὐτῶν τῶν τῆς σπάθης θραυσμάτων πληροφορηθῇ τὸ περὶ τὰς ἐπιταγὰς αὐτοῦ πρόθυμον.

§. γ'. Ταῦτα μαθὼν ὁ ταγματάρχης ἐταράχθη, καὶ πρὸς τὸν σατράπην Ὀσμάνην περίφοβος προσελθὼν ἐποίησε κατάδηλα· καὶ ἀπ' ἐκείνης τῆς ὥρας μάλιστα περιεποιεῖτο τὸ ἱερὸν Μοναστήριον ὁ σατράπης. Ἀλλὰ καὶ ὕστερον εἰς τὸν βαθμὸν τοῦ Ὑπάτου (βεζίρη) προβιβασθείς, ἀπεμνημόνευσε τοῦ θαύματος· διότι κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν τριακοστὸν δεύτερον σωτήριον ἔτος ὑπατεύοντος αὐτοῦ ἐν Κωνσταντινουπόλει, παραστάντες οἱ πατέρες τοῦ Μοναστηρίου προσήνεγκαν ἀναφοράν, ζητοῦντες ἄδειαν πρὸς ἀνακαίνισιν τῆς ἔξω στέγης τοῦ ἱεροῦ Μοναστηρίου. Ὁ δὲ ὕπατος, ὡς ἀνέγνω τὴν ἀναφοράν, ἀνυπερθέτως διὰ βασιλικοῦ διατάγματος ἄδειαν αὐτοῖς ἐδωρήσατο· καὶ πρὸς τοὺς περιεστῶτας, ἐπὶ τοῦ βήματος αὐτοῦ καθήμενος, ἐπιδεξίως τὸν λόγον συνείρας τό,τε θαῦμα διηγήσατο, καὶ τὸ τῶν πατέρων ἐνάρετον, καὶ τοῦ Μεγάλου Σπηλαίου τὸ ἄξιον εὐλαβείας καὶ προστασίας βασιλικῆς.

§. δ'. Τοιοῦτο γέγονε καὶ τοῦτο τὸ θαῦμα τῆς Θεοτόκου· τοῦτο δὲ οὐ μόνον ὁ προειρημένος Ἀβέρκιος (μετὰ δὲ ταῦτα καὶ ἐπίσκοπος γενόμενος, καὶ Ἀθανάσιος μετονομασθείς) αὐτόπτης γενόμενος πρὸς πάντας ἐκήρυττεν· ἀλλὰ καὶ αὐτοὶ οἱ δύω ὅσιοι καὶ ὁμολογηταί, ὅ,τε Παρθένιος καὶ ὁ Σωφρόνιος, ἱκανὸν ἐπιζήσαντες χρόνον, διέμειναν στῆλαι τῆς θαυματουργίας ἔμψυχοι θεωρούμενοι παρὰ πάντων. Ἔζησαν δὲ μετὰ ταῦτα ὁ μὲν Παρθένιος (ὅστις καὶ πνευματικὸς ἐχρημάτισεν), ἔτη περίπου πέντε, διανύσας τὴν ὁσίαν βιοτὴν ἐν νηστείαις καὶ δεήσεσι καὶ παννύχοις προσευχαῖς ἐνώπιον τῆς ἁγίας εἰκόνος ἐκχεομέναις, ἕως ἀνεπαύθη ἐν Κυρίῳ, ἡγουμενεύοντος τοῦ πανοσιωτάτου Δαμιανοῦ· ὁ δὲ Σωφρόνιος (ὁ διὰ τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος Σίλβεστρος μετακληθείς) καὶ αὐτὸς ὁσίως καὶ θεαρέστως ἔτη σχεδὸν εἴκοσιν ἐπιβιώσας, ἐπὶ τῆς ἡγουμενείας τοῦ πανοσιωτάτου Ἰωνᾶ πρὸς Κύριον ἐξεδήμησε.

Ζ΄. ΘΑΥΜΑ.

Τὸ κατὰ τὸν ἐκ Πεντέλης ἱεροδιάκονον Γρηγόριον.

§. α΄. Ἱεροδιάκονός τις ἐκ τῆς οὐ μακρὰν τῶν Ἀθηνῶν κειμένης κατὰ τὴν Πεντέλην ἱερᾶς τῆς Θεοτόκου Μονῆς (Πεντέλην ἐκ τοῦ τόπου καλοῦσι καὶ τὴν Μονὴν), τοὔνομα Γρηγόριος, χρόνους ὁλοκλήρους ἓξ ὑπὸ νόσου κωλικῆς ὀδυνηρῶς ἐβασανίζετο. Καὶ μηδὲν ὑπὸ τῶν ἰατρῶν ὠφεληθεὶς, ἀλλὰ καὶ εἰς ἀρχὰς ὕδρωπος καταντήσας, ἐπειδὴ κατενόησεν ὅτι μηδεμίαν ἀνθρωπίνης ἰατρείας εἶχεν ἐλπίδα, ἐζήτει λοιπὸν μόνην τὴν ἐξ ὕψους βοήθειαν καὶ θεραπείαν. Καὶ παρὰ πολλῶν ἐνωτιζόμενος ὅσα θαύματα τελεῖ, καὶ νόσους ἀνιάτους παραδόξως θεραπεύει ἡ ἄμισθος ἐπίσκεψις καὶ θεραπεία τῶν ἀπηλπισμένων διὰ τῆς ἐν τῷ Μεγάλῳ Σπηλαίῳ πανσέπτου αὐτῆς εἰκόνος, ἀνέλαβε τὸν κόπον τῆς εἰς τὸ Μέγα Σπήλαιον ὁδοιπορίας. Καὶ φθάσας εἰς Αἴγιον κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν τριακοστὸν πέμπτον σωτήριον ἔτος, Μαΐου γ΄. ἡμέρᾳ Σαββάτου, εὗρε κατὰ τύχην συνοδοιπόρους καὶ προθύμους εἰς τὸ Μοναστήριον ὁδηγοὺς, δύω τινας ἀδελφοὺς κατὰ σάρκα, Νικόλαον καὶ Δημήτριον, υἱοὺς Πετρούτζου τοὐπίκλην Κεφαλληνοῦ, τὴν πατρίδα Ποταμίτας (ἀπὸ τῆς ἐν Ἀχαΐᾳ κάτω Ποταμίας). Οὗτοι δὲ οἱ καλοὶ συνοδῖται διελθόντες ἤδη τὸ χωρίον τὸ λεγόμενον Δουμενὰ, καὶ νομίσαντες ὅτι ὁ ἱεροδιάκονος ἔφερε μεθ' ἑαυτοῦ πολύ τι ἀργύριον καὶ χρυσίον, κενὰ κατ' αὐτοῦ δολίως ἐμελέτησαν. Καὶ ἀποπλανήσαντες αὐτὸν δι' ἄλλης ὁδοῦ στενοπόρου κατήντησαν εἰς τόπον ἄβατον καὶ ἔρημον Θαλάσσιον λεγόμενον, δι' οὗ καὶ τῶν Καλαβρύτων ὁ ποταμὸς διαῤῥεῖ. Ἐκεῖ δὲ, νυκτὸς ἤδη καταλαμβανούσης, ἐφώρμησαν κατὰ τοῦ δυστυχοῦς Γρηγορίου· καὶ οὗτος, ὡς εἶδεν αὐτοὺς ἐπιπεσόντας, οὐδὲν ἕτερον ἔφθασεν ἐκφωνῆσαι πάρεξ « Παναγία Μεγασπηλαιώτισσα βοήθει μοι ». Ἐκεῖνοι δὲ, λυσσῶντες, ὡς ἄν τινες ἀνθρωποκτόνοι δαίμονες, ἐπέβαλον ἐπ' αὐτὸν τὰς φονικὰς αὐτῶν χεῖρας, καὶ ὁ μὲν λαβὼν αὐτὸν ἀπὸ τοῦ λαιμοῦ, ὁ δὲ ἄλλοθεν τοῦ σώματος, ἦγχον στραγγαλίζοντες· καὶ νομίσαντες αὐτὸν ἤδη τεθνηκότα κατέῤῥαξαν εἰς ὄρυγμα βαθὺ καὶ πλῆρες ὕδατος, ἀφ' οὗ πρῶτον αὐτὸν ἐγύμνωσαν, λαβόντες καὶ ὅπερ ἔφερεν ὀλιγώτατον ἀργύριον (μόλις εἰς δέκα γρόσια συμποσούμενον), καὶ οὕτως οἱ ἄθλιοι ἀνεχώρησαν εἰς τὰ ἴδια.

§. β΄. Κατὰ δὲ τὸ μεσονύκτιον (ἐπέφωσκε δὲ Κυριακὴ τῆς Σαμαρείτιδος) ὁ καταβυθισθεὶς ἱεροδιάκονος, ὡς ἐξ ὕπνου ἀναστὰς, βλέπει τὴν Θεοτόκον ὀφθαλμοφανῶς, ἥτις ἀπὸ τῆς χειρὸς αὐτὸν κρατήσασα, ἐξέβαλεν ἐκ τοῦ βόθρου, καὶ λέγει πρὸς αὐτὸν, « Χάριν τῆς διὰ τοσούτων χρόνων ἄκρας ὑπομονῆς σου καὶ τῆς πρὸς Θεὸν πίστεως, ἰδοὺ διὰ τοῦ Μονογενοῦς υἱοῦ μου καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ ῥύομαί σε τοῦ ἐπικειμένου θανάτου, δωροῦμαί σοι δὲ καὶ τὴν ἴασιν τοῦ πολυχρονίου πάθους σου ». Ταῦτα πρὸς αὐτὸν εἰποῦσα, καὶ ἅμα χειραγωγήσασα πρὸς τὴν ὁδὸν τὴν φέρουσαν εἰς τὸ μέγα Σπήλαιον, ἀπῆλθεν ἄφαντος. Αὐτὸς δὲ μετὰ μικρὸν, ὡς συνῆλθε, βλέπων ἑαυτὸν ἔξω τοῦ βόθρου σεσωσμένον, ἐδόξαζε τὴν Θεοτόκον, καὶ χαίρων ἐπορεύετο τὴν ὑποδειχθεῖσαν ὁδὸν, ἕως ἔφθασεν εἰς τὸ ἱερὸν Μοναστήριον τοῦ μεγάλου Σπηλαίου.

§. γ΄. Οἱ δὲ πατέρες, ὡς εἶδον αὐτὸν οὕτως ἔχοντα, κατάγυμνον, ἐνέδυσαν εὐθὺς στολὴν ἐξενεγκόντες, καὶ τὰ κατ' αὐτὸν ἐξηκριβωμένως ἔμαθον. Ὅθεν πρῶτον μὲν πάντες ὁμοῦ συνελθόντες μετὰ καὶ αὐτοῦ τούτου, ηὐλόγουν τὸν Θεὸν, καὶ τὴν Ὑπέραγνον Θεοτόκον, ἥτις ὡς Μήτηρ τῆς

Ζωῆς καὶ πηγὴ τοῦ ἐλέους διέσωσεν αὐτὸν, καὶ ἀνεζώωσεν. Ἔπειτα δὲ μετ' ἐπιμελείας ἐξετάσαντες ἀνεῦρον ἐκείνους τοὺς ἀνδροφόνους (ἀπέστειλε δὲ τούτους πρὸς τοὺς πατέρας ὁ τότε τοῦ χωρίου τῆς Ποταμίας προϊστάμενος ἱερεὺς Βενιζέλος, πρόφασίν τινα σκηψάμενος, τῷ δὲ πράγματι πρὸς μετάνοιαν αὐτοὺς ἐκεῖ διευθύνων). Ἐλθόντες οὖν εἰς τὸ Μοναστήριον οἱ κακοῦργοι, ὡς εἶδον τὸν διάκονον ζῶντα καὶ λαλοῦντα πρὸς αὐτοὺς, ἐξέστησαν ὅλοι ἔντρομοι, καὶ τὴν μιαιφονίαν εἰλικρινῶς ὡμολόγουν, καὶ ἐξ ὅλης καρδίας μετανοοῦντες τὸ, « ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν » ἔκραζον ἐνώπιον πάντων, καὶ μυρίων θανάτων ἀξίους ἑαυτοὺς ἀνεκήρυττον. Οἱ δὲ πατέρες νουθετήσαντες αὐτοὺς χριστομιμήτως, καὶ τῆς μετανοίας ἄξια πράσσειν ἔργα τοῦ λοιποῦ παραινέσαντες, ἀπέλυσαν. Μετὰ δέ τινα καιρὸν (ἐπειδὴ « οὐκ ἔστι κρυπτὸν, ὃ οὐ φανερὸν γενήσεται ») διεβοήθη τὸ πρᾶγμα· καὶ μαθὼν ὁ Τοῦρκος τῆς χώρας διοικητὴς, εὐθέως αὐτοὺς συνέλαβεν ἀποστείλας, καὶ ἔρριψεν εἰς φυλακὴν ὡς φονεῖς, βουλόμενος μετ' ὀλίγον εἰς θάνατον παραδοῦναι. Καὶ ὁ ἱερεὺς ἐμήνυσε ταῦτα παρευθὺς εἰς τὸ Μοναστήριον. Ὡς δὲ ἤκουσεν ὁ ἱεροδιάκονος Γρηγόριος, ἔδραμε τάχιστα πρὸς τὸν τοπάρχην, καὶ παρεκάλει μετὰ δακρύων, ὅπως ἀπολύσῃ τοὺς ἀνθρώπους· διότι αὐτὸς ὁ παθὼν οὐδεμίαν ἔχει κατ' αὐτῶν ἀγωγὴν, ἀλλ' ἀφῆκε τὴν κρίσιν εἰς τὸν Θεόν. Καὶ οὕτως ἱλεωθέντος τοῦ τοπάρχου, καὶ τὰ ἱκανὰ λαβόντος, ἀπελύθησαν οἱ φονεῖς ἐκ τῶν δεσμῶν· καὶ εὐθέως ἀφέντες καὶ πατρίδα καὶ πάντα τὰ ἐν τῇ πατρίδι, μετέβησαν εἰς τὸ ἱερὸν Μοναστήριον, καὶ ἐμόνασαν διάγοντες ἐν μετανοίᾳ, καὶ γεωργοῦντες κατὰ τὸ αὐτῶν ἐπιτήδευμα τὰ τῶν μετοχίων χωράφια μέχρι τέλους τῆς ζωῆς αὐτῶν.

§. δ'. Ὁ δὲ νεκρέγερτος ἱεροδιάκονος Γρηγόριος διατρίψας χρόνον ἱκανὸν εἰς τὸ Μέγα Σπήλαιον, παρίστατο νυκτὸς καὶ ἡμέρας ἐνώπιον τῆς ἁγίας εἰκόνος μετὰ δακρύων πολλῶν καὶ εὐχῶν, ὡς εὐγνώμων δοῦλος, τὴν Κυρίαν καὶ Δέσποιναν τῶν ὅλων εὐχαριστῶν· καὶ αὐτοῦ καταμένειν ἤθελε μέχρι καὶ τῆς ἐσχάτης ἀναπνοῆς· ἀλλ' οἱ σεβάσμιοι πατέρες ὡς φύλακες ἀκριβεῖς τῶν ἱερῶν περὶ τὰ τοιαῦτα τύπων καὶ κανόνων, θεοφιλῶς αὐτὸν συνεβούλευον, ἵνα μᾶλλον εἰς τὴν ἀπ' ἀρχῆς αὐτοῦ μετάνοιαν ἐπανακάμψῃ, κατὰ τὸ « ἀπόδος τῷ Κυρίῳ τοὺς ὅρκους σου » (α). Καὶ ἐπανῆλθεν ὁ Γρηγόριος εἰς τὸ ἴδιον αὐτοῦ Μοναστήριον, τὸ τῆς Πεντέλης, ὅπου κατεβίωσεν, ἀείποτε πρὸς ἅπαντας, ὡς ἄλλη καλλικέλαδος ἀηδὼν, διηγούμενος τὰ κατ' αὐτὸν γενόμενα θαυμάσια τῆς Θεοτόκου διὰ τῆς ἐν τῷ μεγάλῳ Σπηλαίῳ πανσεβάστου αὐτῆς εἰκόνος, εἰς δόξαν Θεοῦ.

Η'. ΘΑΥΜΑ.

Τὸ περὶ τοῦ καταχωσθέντος παιδός.

§. ά. Κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν πεντηκοστὸν τρίτον σωτήριον ἔτος οἱ πατέρες τοῦ ἱεροῦ καὶ μεγάλου Σπηλαίου ἀνεκαίνιζον ἓν τῶν μετοχίων τοῦ Μοναστηρίου, Βοίνιναν λεγόμενον, ἐκ βάθρων ἀνακτίζοντες, ὡς ἤδη σεσαθρωμένον ἐκ τῆς πολυκαιρίας· καὶ ἔσκαπτον οἱ κτίσται πρὸς οἰκοδομὴν τῶν θεμελίων ἐργαζόμενοι. Καὶ ποτε περὶ μεσημβρίαν ἀπελθόντων αὐτῶν εἰς τὸ γευματίσαι, εἷς τῶν παρ' αὐτοῖς ὑπηρετούντων παίδων, ἕως ἐτῶν δώδεκα, τοὔνομα Ἀνδρέας, υἱὸς

(α) Ματθ. ε. 33. καὶ Δευτερονομ. ε. 11.

Ἡ ἀναβίωσις τοῦ καταχωσθέντος παιδός. Σελ. 84.



Σταύρου τούπίκλην Κολοκύνθα, ἀπὸ χωρίου Δουμενῶν, ἀπέμεινεν ἔσχατος κατὰ συγκυρίαν εἰς τὸν τόπον, ὅπου ἔσκαπτον. Καὶ ἐξαίφνης τὸ πέριξ ἐφεστηκὸς χωρίον ἀποκοπὲν, χῶμα μέγα μετὰ λίθων, κατέπεσε, καὶ τὸν παῖδα κατέχωσε πανταχόθεν περικαλύψαν· οἱ δὲ κτίσται μετὰ τοῦ πατρὸς τοῦ παιδίου κατανοήσαντες τὸ συμβεβηκὸς ὠδύροντό τε τὴν συμφορὰν, καὶ τὸ χῶμα καὶ τοὺς λίθους ἀνεκίνουν, ὅπως ἐξενεγκόντες ἐνταφιάσωσι τὸν νεκρόν· καὶ ἀνασκάψαντες εὗρον τὸν παῖδα κείμενον ἄφωνον καὶ ἀναίσθητον· καὶ λοιπὸν ἐφρόντιζον τὰ πρὸς ταφὴν ἐπιτήδεια.

§. β΄. Ἀλλ᾽ ἐν τούτῳ τῷ μεταξὺ τὸ κείμενον παιδίον ἐξαίφνης ἀνέπνευσε, καὶ εἰς ἑαυτὸ ἐλθὸν ἀνεκάθισε, καὶ διηγεῖτο πρὸς τοὺς παρευρεθέντας, ὅτι, τοῦ χώματος ἀποκοπτομένου, γυνή τις πάγκαλος καὶ λαμπροφόρος εὐθὺς ἐπιστᾶσα, τὸ μὲν χῶμα διεῖργεν ἀπ᾽ αὐτοῦ, τοὺς δὲ λίθους πόῤῥω διέστελλεν· ὅθεν οὔτε τὴν κεφαλὴν, οὔτε τὸ λοιπὸν τοῦ παιδίου σῶμα συνέθλασαν· αὐτὸ δὲ φοβηθὲν ἔκειτο λειπόθυμον, ἕως πάλιν ἀνέφερε, καὶ εἶδε τὸν ἥλιον. Τότε πάντες ἔκθαμβοι καὶ ἐκστατικοὶ μιᾷ φωνῇ ἐδόξαζον τὸν Θεὸν, καὶ τὴν Θεοτόκον ἐμεγάλυνον.

Θ΄. ΘΑΥΜΑ.

Τὸ κατὰ τὸν Αἰγύπτιον Ἰβραΐμην.

§. α. Εἴπομεν ἐν τοῖς ἔμπροσθεν ὅπως κατὰ τὴν εἰσβολὴν τοῦ Ζὶν-Ἀλῆ τοῦ ἀρχισατράπου διέσωσεν ἐκ τῆς τουρκικῆς μανίας τὴν Σπηλαιώτιδα μονὴν καὶ πολὺ τῆς Πελοποννήσου μέρος ἡ χάρις τῆς Παντανάσσης (βλ. Θαῦμ. ε΄.). Τοιαύτην σωτηρίαν καὶ ἄλλην περὶ τὴν φιλόχριστον Πελοπόννησον ἡ Θεοτόκος εἰργάσατο καὶ ἄλλοτε παρομοίως διὰ τοῦ μεγάλου Σπηλαίου, ἄλλους τε πολλοὺς τῶν Πελοποννησίων διασώσασα καὶ μάλιστα τοὺς κατοίκους τῆς ἐπαρχίας τῶν Καλαβρύτων. Προστιθέμεθα δὲ καὶ ταύτην τὴν θαυμαστὴν διήγησιν ἐνταῦθα, τὰ ὅμοια τοῖς ὁμοίοις ἐπισυνάπτοντες, καὶ μετὰ ταῦτα μεταβαίνομεν εἰς τὰ καὶ καθ᾽ ἡμᾶς αὐτοὺς ἐσχάτως ἐπὶ τοῦ δυσσεβοῦς Ἰβραΐμου συμβεβηκότα.

§. β΄. Κατὰ τὸ 1770, ἐπανέστη κατὰ τῶν Τούρκων ἡ Πελοπόννησος τὴν ἄωρον ἐκείνην καὶ δυστυχήσασαν ἐπανάστασιν· καὶ στρατὸς Ἑλλήνων ὁπλιτῶν ἐπολιόρκει τὰ Καλάβρυτα· ὁ δὲ τότε Ἡγούμενος Ζαχαρίας προεῖδε κατ᾽ ὄναρ ὑπὸ θείου φωτισμοῦ διδαχθεὶς τὴν ἐκ τῆς ἐπαναστάσεως προκύψουσαν μεγάλην συμφορὰν τῆς Πελοποννήσου. Καὶ δὴ συναθροίσας καὶ πείσας τοὺς πατέρας, ἐξῆλθε μετὰ τῶν προεστώτων καὶ πολλῶν ἄλλων μοναχῶν ἔχων τὸν Σταυρὸν ἀνὰ χεῖρας, καὶ βαδίζων κατευθὺ Καλαβρύτων. Καὶ προσελθόντες πρὸς τοὺς πολιορκητὰς διὰ πολλῶν ἱκεσιῶν, ἀπειλῶν, δακρύων, νουθεσιῶν, λύουσι τὴν πολιορκίαν, καὶ εἰσελθόντες εἰς τὰ Καλάβρυτα παραλαμβάνουσιν ὅλας τὰς ἐν τῇ πόλει τότε κατῳκημένας οἰκογενείας τῶν Τούρκων, καὶ σῴζουσιν αὐτὰς ἀβλαβεῖς μετὰ καὶ τῶν πολυτιμοτέρων αὐτῶν κειμηλίων ἀπαγαγόντες εἰς τὸ Μοναστήριον. Ἔπειτα δὲ πάλιν ἐκεῖθεν συνοδεύσαντες διὰ τῆς Ἀχαΐας κατάγουσιν εἰς τὴν θάλασσαν, κἀκεῖθεν διεβίβασαν αὐτὰς εἰς τὸν ἀντικρὺ Κρισσαῖον κόλπον (ὅπου σοβαρῶς ἐκυμάτιζεν ἐκπεπταμένη πρὸς ἀνέμου πνοὰς ἡ τῶν Τούρκων σημαία, καὶ στρατὸς αὐτῶν παρεκάθητο πολὺς καὶ βαρὺς ἐκδίκησιν πνέων), καὶ παρέδωκαν τὰς οἰκογενείας τοῖς ὁμοπίστοις σῴας προσαγαγόντες καὶ λίαν εὐγνωμονούσας. Τοῦτο δὲ τὸ φιλάνθρωπον ἔργον τῶν Μεγασπηλαιωτῶν ἐγένετο σωτηρία πολλῶν· διότι μετ᾽ ὀλίγον εἰσβαλόντες οἱ Τοῦρκοι μετὰ τῶν Ἀλβανῶν, καὶ πορθοῦντες τὴν Πελοπόννησον ἀπε-

μνημόνευσαν τὴν χάριν τοῖς Μεγασπηλαιώταις. Εὐθὺς ὁ Στρατάρχης ἀπέστειλε φρουροὺς μετὰ σημαίας πρὸς φύλαξιν τοῦ Μοναστηρίου· καὶ οἱ μοναχοὶ θαῤῥήσαντες ἐξῆλθον εὐθὺς, καὶ πολλοὺς τῶν αἰχμαλώτων ἐῤῥύοντο προσελθόντες εἰς τὸ στρατόπεδον ἀσφαλεῖς. Καὶ αὐτὰ δὲ τὰ Καλάβρυτα, καὶ τὸ πλεῖστον μέρος τῆς Ἀρκαδίας καὶ Ἀχαΐας ἐσώθη ἀβλαβὲς διὰ τῆς μεσιτείας τῶν Μεγασπηλαιωτῶν, οὓς αὐτὴ πάλιν ἡ τοῦ μεγάλου Σπηλαίου πολυέλεος Ἄνασσα διήγειρε καὶ ἐφώτισε πρὸς τὴν πρώτην ἐκείνην ἀγαθοποιίαν, ἐπιφανεῖσα καθ' ὕπνους τῷ Ἡγουμένῳ· καὶ ταῦτα μὲν τὰ ἀρχαιότερα. Ἤδη δὲ κηρύττομεν καὶ ἄλλο, μέγα καὶ τοῦτο, τῆς Θεομήτορος ἔλεος, ὅπερ χθὲς καὶ πρῴην κατ' αὐτὴν τὴν ἐπανάστασιν τῆς ἐλευθερωθείσης Ἑλλάδος ἐθαυμάστωσεν εἰς τὸ Σπήλαιον Αὐτῆς, ἀνάλωτον τοῦτο προπύργιον ἀναδείξασα τῆς Πελοποννήσου, καὶ λιμένα σωτηρίας πολλῶν χιλιάδων ψυχῶν.

§. γ'. Πέμπτον ἤδη περιέτρεχεν ἔτος τῆς μακρᾶς καὶ πολυπόνου τῶν Ἑλλήνων ἐπαναστάσεως (τῷ 1825), καὶ ὁ ἄθεος Αἰγύπτιος Ἰβραΐμης εἰσβαλὼν εἰς τὴν Πελοπόννησον ἦγε καὶ ἔφερε πάντα τὰ πρὸ ποδῶν, καὶ μάλιστα τὴν Ἀχαΐαν καὶ τὰ πεδινώτερα τῆς χερσοννήσου. Κατὰ δὲ τὸ μέγα Σπήλαιον πανταχόθεν ἦσαν καταφυγόντες χιλιάδες πολλαὶ, μεθ' ὧν συνηριθμοῦντο καὶ πεντακόσιαι ὁλόκληροι οἰκογένειαι. Διότι πᾶσα ἡ Πελοπόννησος, καὶ τὰ πολλὰ δὲ τῆς πέριξ Ἑλλάδος, ὀχυρώτατον καταφύγιον ἐν τοῖς ἐσχάτοις τῶν πολέμων κινδύνοις ἔχουσιν ἀνέκαθεν τὸ μέγα Σπήλαιον, οὐ μόνον διὰ τὴν τοποθεσίαν, καὶ τὴν προμήθειαν τῶν ἀναγκαίων, ἀλλὰ πολὺ μᾶλλον διὰ τὴν ἐν αὐτῷ ἐπισκιάζουσαν χάριν τῆς Θεομήτορος. Τοιοῦτος τόπος καταφυγῆς ἀνεφάνη ἡ Σπηλαιῶτις Μονὴ καὶ κατὰ τὴν καλλίνικον γενομένην ἐπανάστασιν τῶν Ἑλλήνων· καὶ πολλὰ μὲν εἰς τὸν ὑπὲρ πίστεως ἀγῶνα χρήματα κατέβαλε, μηδ' αὐτῶν τῶν ἀργυρῶν φεισαμένη σκευῶν (ὧν τὰ πλεῖστα ἐξηργύρωσε), καὶ χρέους ἀνέλαβε φορτίον βαρὺ δανεισαμένη πρός τε διεξαγωγὴν τοῦ στρατοῦ, καὶ πολλῶν πενήτων περιποίησιν καὶ διατροφήν· καὶ τὰ ἴδια δὲ σώματα παρέδωκαν οἱ Μοναχοὶ τοῦ Σπηλαίου συμμαχοῦντες τοῖς ὑπὲρ πίστεως ἀγωνιζομένοις ἀδελφοῖς, πρὸς οὓς ἔδραμον πολλάκις βοηθοὶ, καθοπλισθέντες ἐξ ἀνάγκης, πάντες οἱ ἐν ἡλικίᾳ ἰδιῶται μάλιστα καὶ ὑπηρέται τῆς Μονῆς. Τότε δὲ, τῶν Αἰγυπτίων τὸ πλεῖστον τῆς Πελοποννήσου κατεχόντων, συνέῤῥευσε προσφύγων ἀνδρῶν τε (καὶ μάλιστα τῶν ἀσθενεστέρων) καὶ γυναίων καὶ παίδων πλῆθος πολύ. Πολλῶν δὲ πολλαχόθεν καὶ πολύτιμα κειμήλια, καὶ χρήματα μεγάλα, καὶ παντοῖαι ἀποσκευαὶ μετεκομίσθησαν ἐν τῷ Σπηλαίῳ χάριν ἀσφαλείας ἐγκατατεθέντα. Τῶν δὲ μοναχῶν οἱ πλεῖστοι, καὶ σχεδὸν ἅπαντες διέτριβον αἴθριοι παραχωρήσαντες τὰ οἰκήματα εἰς τοὺς πρόσφυγας, καὶ ἔτρεφον δὲ τούτους ὑπηρετοῦντες· τὰ δὲ πέριξ τῆς Μονῆς ἐφρούρουν ὀλίγοι τινὲς ὁπλῖται μισθοφόροι, χάρακας ποιήσαντες κάτω περὶ τὰς λαγόνας τῆς ὑπωρείας· τηλεβόλα δὲ κανόνια δύω μόνον εἶχον, καὶ ταῦτα μικρὰ, τὸ μὲν ἱστάμενον εἰς τὸ ἐπάνω κανονοστάσιον παρὰ τὸν πύργον, ὃν εἶχον οἰκοδομήσαντες νεωστὶ περὶ τὸν Ναὸν τῆς Ἀναλήψεως ἐπὶ τῆς τοῦ Σπηλαίου κορυφῆς, καὶ ἄλλον μικρότερον πυργίσκον εἰς ὀχύρωσιν προσπαραβαλόντες· (ἐφύλαττον δὲ καὶ τούτους τοὺς πύργους εὐάριθμοι μισθοφόροι)· τὸ δὲ ἕτερον κανόνιον ἔκειτο κατωτέρω πρὸς τὰ βόρεια τοῦ Σπηλαίου κατὰ τὸ πλάγιον ἄντρον ἐκεῖνο, τὸ παρὰ τὴν κεκαυμένην ἅλωνα (προείπομεν δὲ περὶ τούτων ἐν Χωρογραφ. Κεφ. ε'. §. γ'. δ'.).

§. δ'. Πάντα ταῦτα ἠπίστατο ὁ Αἰγύπτιος Κεφρὴν, καὶ τῶν συγκεκομισμένων ὠρέγετο θησαυρῶν, καὶ αἵματος ἐδίψα ἑλληνικοῦ. Καὶ δὴ κατὰ τὴν ἡμέραν τῶν γενεθλίων τοῦ τιμίου Προδρόμου (Ἰουνίου κδ. τῷ 1827), τῆς ἱερᾶς λειτουργίας τελουμένης, ἔρχονταί τινες ἀγγέλλοντες ὅτι Τούρκων

καὶ Αἰγυπτίων μέγας στρατὸς ἀνέβαινεν ὄπισθεν τοῦ Μοναστηρίου πρὸς τὸν λεγόμενον Ὑψηλὸν Σταυρόν· πολὺς δὲ τοὺς ἀκούσαντας τρόμος περιεχύθη· καὶ οἱ μοναχοὶ θερμότερον προσηύχοντο. Ἤδη δὲ καὶ πυροβόλων ἠκούετο κρότος ἐξελθούσης τῆς φρουρᾶς ἄνωθεν ἐκ τῶν πύργων καὶ προμαχώνων, συνεξῆλθον δὲ καὶ τῶν διακονητῶν τῆς μονῆς οἱ ἐν ἡλικίᾳ, καὶ καταστάντες ἐμάχοντο κατὰ τὸν λεγόμενον Ζυγόν, παρὰ τὸ λιθάριον τῆς παναγίας καὶ τὸν ὑψηλὸν Σταυρόν, ὅπου πρῶτον ἔστησαν οἱ ἐχθροί, ἑπτακισχίλιοι περίπου τὸν ἀριθμόν· ὄπισθεν δὲ τούτων ἐφήδρευε καὶ ἄλλο τάγμα δισχιλίων Αἰγυπτίων, κατέχοντες τὸ λεγόμενον Πετροῦχον· οἱ δὲ φρουρὰ τοῦ Μοναστηρίου πάντες ἦσαν περὶ τοὺς ἑξακοσίους. Ἀλλὰ καὶ τοσοῦτοι ὄντες ἀνθίσταντο γενναίως πρὸς τὰς προσβολὰς τῶν ἐχθρῶν· ἐσφαιροβόλει δὲ κατ᾽ αὐτῶν καὶ τὸ μικρὸν κανόνιον ἄνωθεν ἐκ τῆς κορυφῆς τοῦ Σπηλαίου. Ἐν δὲ τούτοις φθάνουσι καὶ ἄλλος Αἰγυπτίων στρατὸς ἀναβάντες κάτωθεν ἐκ τῆς Βούρας, ἣν εἶχον ἤδη καταστρέψαντες, τὸ πρωὶ τῆς αὐτῆς ἡμέρας ἐπελθόντες· καὶ εἶχον λοιπὸν καὶ πρὸς τούτους ἀγῶνα πολὺν οἱ φρουροὶ τοῦ μοναστηρίου. Ἤδη δέ τινες δραμόντες ἀγγέλλουσι τοῖς περὶ τὸν Ἡγούμενον τῆς Μονῆς ὅτι Τούρκων ἱππέων ἐκεῖναι φαίνονται ἴλλαι παραλλάσσουσαι τὰς ὄχθας τοῦ Βουραϊκοῦ ποταμοῦ κάτωθεν τοῦ μοναστηρίου, πεντακόσιοι περίπου τὸν ἀριθμόν. Ὡς δὲ τούτους ἴδον πλησιάζοντας οἱ κατὰ τὴν Πανηγυρίστραν ἐν τοῖς χάραξι φρουροί, παρεσκευάζοντο πυροβολεῖν κατ᾽ αὐτῶν (διότι ἀπεῖχον ἔτι πυροβόλου βολῆς)· ἐσφαιροβόλει δὲ μόνον τὸ ἕτερον τηλεβόλον ἄνωθεν ἐκ τοῦ πλησίον τῆς ἅλωνος ἄντρου· καὶ ἐφικνεῖτο, καὶ ἔπεσαν ὀλίγοι τινες ἐκ τῶν ἱππέων, τὸ δὲ πλῆθος αὐτῶν ἔστη μακρὰν τῆς πέτρας τοῦ Σπηλαίου περὶ τὴν Κρήνην τὴν ἐπιλεγομένην τοῦ Ἀρσενίου. Ἡ δ᾽ ἐπάνω κατὰ τὸν Ζυγὸν τὸ πρῶτον συστᾶσα μάχη προϊούσης τῆς ἡμέρας ἐκραταιοῦτο, γινομένη καυστειρά, καὶ διήρκεσε μέχρι ἑσπέρας· πολλοὶ δὲ καὶ εἰς χεῖρας συνέμιξαν· καὶ ἔπεσον ἐκ τῶν Αἰγυπτίων πλῆθος πολύ· οἱ δὲ λοιποί, τέλος, σκεδασθέντες ἐτράπησαν ἅπαντες εἰς φυγήν, καταθέοντες ἐπὶ κεφαλῆς ὀπίσω πάλιν πρὸς τὰ Καλάβρυτα· καὶ ἡ φρουρὰ τῶν Ἑλλήνων ἐπεδίωκε μέχρι τινός, ἔπειτα στραφέντες ἀνέλαβον τοὺς τραυματίας, καὶ ἐπανῆλθον εἰς τὴν Μονήν. Ἐξ αὐτῶν δὲ τῶν Ἑλλήνων ἀπέθανεν εἷς καὶ μόνος, Ἀνδρέας Σαρδελλιανὸς ἐκ Κερπηνῆς· τῶν δ᾽ ἄλλων ἁπάντων ἀπέθανεν οὐδείς, οὔτε κατὰ τὴν μάχην πεσών, οὔτε πληγωθεὶς ἀνίατα· πάντες δὲ ὅσοι καὶ ἐτραυματίσθησαν (οὐδ᾽ οὗτοι πολλοί τινες ὄντες) θεραπευόμενοι δεόντως ἰάθησαν. Καὶ τὸ μὲν πεζὸν τῶν Αἰγυπτίων οὕτως αἰσχρῶς ἀπήλλαξεν ἀπὸ τῆς Μονῆς· τὸ δὲ κάτω παρὰ τὸν Βουραϊκὸν φανὲν ἱππικὸν προσεκαρτέρουν ὥραν πολλὴν ἀκίνητοι μένοντες κατὰ χώραν, καὶ προσδοκῶντες τὴν ὑπὸ τῶν πεζῶν κυρίευσιν τῶν ἄνω πύργων, καὶ τὴν κατάβασιν αὐτῶν παρὰ τὸ Μοναστήριον (διότι, καθὼς φαίνεται, ἐσκόπουν, ὅταν κατέλθωσιν ἐκεῖνοι παρὰ τὸ Σπήλαιον, τότε καὶ αὐτοὶ προσαναβαίνοντες ἐπιβοηθεῖν, ὅπως ἑκατέρωθεν ἐπιπεσόντες εἰς τοὺς χάρακας κατακόψωσι τοὺς φρουρούς, καὶ οὕτως ἀκώλυτοι πανταχόθεν προσβαλόντες κυριεύσωσι τὸν περίβολον τῆς Μονῆς). Ἐπειδὴ δὲ κατενόησαν εἰκάσαντες τὴν ἧτταν τοῦ πεζοῦ, ἀνέστρεψαν πάλιν εἰς τὰ ὀπίσω, καὶ ἀπῆλθον εἰς τὸ στρατόπεδον. Καὶ οἱ ἱεροὶ κώδωνες ἐκρότουν λαμπρῶς, καὶ πᾶσα τῶν ἐντὸς καὶ κύκλῳ τῆς Μονῆς μυρίων εὐσεβῶν ἡ πληθὺς ὕμνουν καὶ ἐδόξαζον τὸν Θεὸν καὶ τὴν Θεοτόκον ἐν φωναῖς ἀγαλλιάσεως ἀλαλάζοντες, οἱ δὲ βουνοὶ καὶ τὰ ὄρη πέριξ ἀντήχουν, οἷον σκιρτῶντα καὶ παιανίζοντα τὴν ἐπινίκιον τῆς εὐσεβείας ᾠδήν. Οὕτως ἡ πολιοῦχος τοῦ Μεγάλου Σπηλαίου Σώτειρα καὶ προστάτις τετύφλωκε τῶν ἀπίστων τοὺς ὀφθαλμούς, καὶ τὰς καρδίας αὐτῶν ἐνέπλησε φρίκης, καὶ τὰς φρένας ἐτάραξε, τοὺς μὲν πεζοὺς σκορπίσασα κατῃσχυμένους, ἀπράκτους δὲ πεδήσασα τοὺς ἱππεῖς, ἵνα τὸ ἱερὸν Μοναστήριον ἀνενόχλητον

καὶ ἀβλαβὲς διαμείνῃ, καὶ τὰ ἐν αὐτῷ καταφυγόντα πλήθη τῶν πιστῶν ἀπείρατα τῶν φοβερῶν τοῦ πολέμου δεινῶν διασωθῶσι.

§. έ. Θαῦμα παράδοξον! παρὰ τὴν Κερπηνὴν (μόλις μίαν καὶ ἡμίσειαν ὥραν μακρὰν τοῦ Σπηλαίου) ἐκάθητο ὁ Αἰγύπτιος Ἰμβραΐμης βαρὺς ἐστρατοπεδευμένος· μυρίαν εἶχε καὶ ἵππον καὶ δύναμιν πεζικὴν, καὶ σώματα πολλὰ τειχομαχούντων ἐπιλέκτων, καὶ ἄλλων τακτικῶς μαχομένων στρατιωτῶν (ἐνῆσαν δὲ καὶ Εὐρωπαῖοι πολεμικοὶ τὰς τάξεις ἰθύνοντες τῶν ἀπίστων). Πολλὰς δὲ περιῆγε καὶ σφαίρας πυροβόλους, καὶ ἰγδία, καὶ τηλεβόλα κανόνια παντοῖα (καὶ μάλιστα τὰ λεγόμενα ἐλαφρὰ καὶ ἀκροβόλα), καὶ τ' ἄλλα δὲ πάντα τὰ μιαιφόνα τῶν κοσμοφθόρων πολέμων ὄργανα. Τὸ δ' ἀντικρὺ τοῦ μεγάλου Σπηλαίου ὄρος τῶν Γαλατῶν ἐπίκαιρον ὑψοῦται καὶ εὐφυέστατον εἰς κανονοστάσια· καὶ φθάνουσιν ἐκεῖθεν εἰς τὸ Σπήλαιον αἱ πυρφόροι βαλλόμεναι σφαῖραι (καθὼς ἔφθανον τ' ἀνάπαλιν καὶ αἱ ἐκ τῶν βορείων τοῦ Σπηλαίου διὰ τοῦ μικροῦ κανονίου ἐκείνου καταπεμπόμεναι πρὸς τοὺς παρὰ τὸν Βουραϊκὸν σταθέντας Αἰγυπτίους ἱππεῖς). Ἀλλὰ καὶ ὀρειβάτας μαχιμωτάτους ἰδίως ὁ Ἰβραΐμης περιῆγε πολλοὺς καὶ πρὸς ἀκροβασίαν γεγυμνασμένους· ὁποῖοι καὶ τὴν Κυλλήνην αὐτὴν ἐπιβάντες, καὶ διὰ χωρίων ἀβάτων καὶ δυσπόρων προσανερπύσαντες, πολλοὺς τῶν ἐκεῖ καταφυγόντων ἀσθενεστέρων Ἑλλήνων ἐζώγρησαν, τοὺς δὲ κατέσφαξαν. Εἰς δὲ τὸ μέγα Σπήλαιον, οὕτως ὑπτίας τῆς ἀνόδου καὶ βασιμωτάτης καὶ ἱππεῦσι καὶ πεζοῖς ἀναπεπταμένης, οὐδεμίαν ἔφοδον ἐποιήσαντο οἱ βάρβαροι ἱππεῖς προσβαλόντες, οὔτε περικαθήσαντες, οὔτ' ἄλλο μάχης εἶδος ἐπιχειρήσαντες, οὐδ' ὅσον γοῦν ἀπόπειραν τῆς ἁλώσεως τοῦ χωρίου λαβεῖν, ἀλλ' ἐπελθόντες καὶ γνώμῃ καὶ χειρὶ μιαιφόνῳ εἶδον, καὶ ἀπῆλθον! οἱ δ' ἐκ τῶν ἄνωθεν παμπληθεὶ συμπλακέντες εἰς μάχην καὶ συνετρίβησαν! Τρεῖς σχεδὸν ὁλοκλήρους ἐνιαυτοὺς τὰ πολλὰ τῆς Πελοποννήσου πορθήσας ὁ Αἰγύπτιος, καὶ πάντα τὰ πέριξ τοῦ μεγάλου Σπηλαίου λεηλατήσας, αὐτὸ τὸ μέγα Σπήλαιον παρθένον ἀφῆκεν ἄψαυστον καὶ ἀκήρατον (καίτοι λύσσαν ἄσχετον λυσσῶν ὁ χριστομάχος εἰς ἅλωσιν αὐτοῦ, καὶ μέχρι θεμελίων κατασκαφήν)· οὐδ' ἄλλοτε οὐδέποτ' ἐστράτευσε κατὰ τῆς Μονῆς, ἕως οὗ, τέλος, ἀνεχώρησεν ἐκ τῆς Πελοποννήσου ἔρρων, καὶ κακὸς κακῶς φθειρόμενος. Οὕτως ἡ θεία δύναμις, ἧς ἐστι τὰ σύμπαντα δοῦλα, θαυμαστοῦται μὲν ὅταν τοὺς ὅρους τῆς φύσεως παντοδυνάμως μεταποιῇ, θαυμαστοῦται δὲ καὶ ὅταν τοὺς πονηροὺς τῶν ἀνθρώπων ἐκτυφλοῖ πρὸς τὰς κακουργίας, καὶ « ἀθετῇ μὲν λογισμοὺς λαῶν, ἀθετῇ δὲ καὶ βουλὰς ἀρχόντων » καὶ « δράσσηται σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν », σώζουσα τοὺς ἐκλεκτοὺς, καὶ ἐλεοῦσα, ὃν ἂν ἐλεῇ, καὶ τελειοῦσα τὸ κράτος αὐτῆς ἐν ἀσθενείᾳ. Καὶ μένει λοιπὸν ἀοίδιμος καὶ οὗτος τῆς νίκης ὁ στέφανος, δν ἡ Παντάνασσα περιέθηκεν εἰς τὸ ἡγιασμένον αὐτῆς σκήνωμα, τρόπαιον καὶ τοῦτο τῆς εὐσεβείας στήσασα κατὰ τῶν ἀσεβῶν ἀκατάλυτον, καὶ τῆς Πελοποννήσου πάσης ἀνάλωτον προμαχῶνα καὶ πύργον ἰσχύος, εἰς ψυχῶν σωτηρίαν καὶ δόξαν Θεοῦ.

§. ά. Ἱκανοῦσι ταῦτα τὰ ὀλίγα ἐκ τῶν πολλῶν θαυμάτων, ὅσα ἡ ἀκένωτος τῆς Θεομήτορος χάρις διὰ τῆς ἐν τῷ Σπηλαίῳ τεθησαυρισμένης Ἀποστολικῆς αὐτῆς Εἰκόνος πολλάκις ἐτέλεσε, καὶ τελεῖ, καὶ δι' αἰῶνος τελέσει πρὸς πάντας τοὺς μετὰ πίστεως προσιόντας. Ἡμεῖς δὲ πέρας ἤδη εἰς τὴν Βιογραφίαν τῶν ὁσίων πατέρων ἡμῶν καὶ εἰς ὅλον τὸ Προσκυνητήριον ἢ Κτιτορικὸν τῆς Σπηλαιώτιδος Μονῆς ἐπιθέντες διὰ τῆς θείας χάριτος, ἐγκομβοῦμεν τὸ βιβλίον ἐπάγοντες, ὡς ἱερὰν κορωνίδα, χαριστήριον ἱκεσίαν, ἣν πρὸς αὐτὴν τὴν τῶν ἁγίων ἁγίαν ἐκ βάθους καρδίας ἐπιφωνοῦμεν. Σὲ τοίνυν, ὦ Παντάνασσα καὶ Παντευλόγητε Δέσποινα, ἣν ἐν οὐρανοῖς εὐφημοῦσιν

αἱ τῶν Ἀγγέλων χορεῖαι καὶ πάντα τῶν ἁγίων τὰ τάγματα, Σέ, Μῆτερ Θεοῦ, καὶ Μῆτερ πιστῶν, ἣν πᾶσαι τῶν εὐσεβῶν αἱ γενεαὶ (καθὼς προεφήτευσας) μακαρίζουσι, Σέ, Παμμακάριστε, πιστῶς εὐλογοῦμεν, καὶ δοξάζομεν ἀσιγήτως ἡμέρας τε καὶ νυκτὸς μετὰ τοῦ Γαβριὴλ ἀνακράζοντες « Χαῖρε κεχαριτωμένη ὁ Κύριος μετὰ Σοῦ »! Εὐλόγηταί Σου τὸ ὄνομα, δεδόξασταί Σου τὸ κράτος, ἐθαυμαστώθη τὰ θαύματα. Γῆ καὶ οὐρανὸς τὴν θεομητορικήν Σου προσκυνοῦσιν ἀξίαν, καὶ πᾶσά Σε ἡ Ἐκκλησία δοξάζει, καὶ τῆς παναχράντου Σου μορφῆς τὸν ἁγιώτατον τύπον πάντες οἱ πιστοὶ σχετικῶς προσκυνοῦμεν· καὶ ὅπου ποτ' ἂν ἴδωμεν τὰς σεπτὰς εἰκόνας Σου σεβόμεθα καὶ τιμῶμεν ἁπάσας, τάς τε ἄλλας ἐπίσης, αἵτινες διεγείρουσι τῶν πιστῶν τὴν εὐσέβειαν, καὶ ἐν ὅσαις ἰδίως τὴν χάριν Σου φανεροῖς, κατὰ θείαν εὐδοκίαν, ἐπὶ σωτηρίᾳ τῶν προσιόντων· καθὼς καὶ ἐπὶ τῆς Σπηλαιώτιδος ταύτης τῆς παναγίας Σου εἰκόνος, ὦ Παμβασίλισσα ποιεῖς, ἣν ἀποστολικαὶ μὲν χεῖρες κατὰ θείαν νεῦσιν ἐξετύπωσαν, Σὺ δὲ Παρθενομῆτορ αὐτὴ, ζῶσα ἔτι ἐπὶ τῆς γῆς, τοῖς τε παναγίοις ὀφθαλμοῖς Σου κατεῖδες αὐτὴν εὐμενῶς, καὶ ταῖς παναχράντοις Σου χερσὶν ἐψηλάφησας, καὶ τῇ ζωηφόρῳ Σου φωνῇ χαριτοβρύτως ηὐλόγησας, καὶ εἰς τὸ ἱερόν Σου Σπήλαιον ἀνέκαθεν θησαυρισθῆναι κατηξίωσας, ἄφθαρτον καὶ ἀκήρατον εἰς αἰῶνας διατηροῦσα. Εὐχαριστοῦμέν Σοι πάντες, ὦ Δέσποινα, ὑπὲρ πάντων τῶν εὐεργετημάτων, ὅσα τε κατὰ τοὺς ἄνω χρόνους ἐποίησας τοῖς πατράσιν ἡμῶν, καὶ ὅσα καὶ νῦν ἡμᾶς εἰς ἐθαυματούργησας προφανέστατα, καὶ καθ' ἑκάστην θαυματουργεῖς. Καὶ καρδίᾳ καὶ νῷ καὶ ψυχῇ καὶ φωνῇ τὰς πρὸς ἡμᾶς Σου χάριτας ὁμολογοῦμεν, καὶ πρόμαχον ἀήττητον διαῤῥήδην Σε κηρύττομεν, καὶ προστάτιν ἡμῶν ἀκαταίσχυντον· καὶ ἡμᾶς αὐτοὺς ἕκαστοι, καὶ ἀλλήλους, καὶ τὰς ψυχὰς, καὶ τὰ σώματα, καὶ τὴν ἁγίαν ἡμῶν Μονὴν (μᾶλλον δὲ τὴν Σὴν) ἐπὶ Σὲ διὰ παντὸς ἀνατιθέμεθα, καὶ διὰ Σοῦ τῷ Θεῷ. Σοὶ τὰ σῶστρα, Σοὶ τὰ νικητήρια, Σοὶ τὰ χαριστήρια ἐπιγράφομεν. Καὶ Σὲ παρακαλοῦμεν καὶ ἱκετεύομεν, καὶ πρέσβυν ἀείποτε πρὸς Θεὸν προσβαλλόμεθα, Σὲ τῶν ἡμετέρων ψυχῶν τὴν ἀναψυχὴν, τὸ τῶν καρδιῶν ἡμῶν ἀγαλλίαμα, τῶν ὀμμάτων τὸν φωτισμὸν, τῶν στομάτων τὸν γλυκασμὸν, τὴν βοήθειαν τῶν ἀβοηθήτων, τῶν ἐν ἀνάγκαις τὴν λύτρωσιν, τῶν ἐν εὐτυχίαις τὴν χειραγωγὸν, τῶν ἁμαρτωλῶν τὴν ἐλπίδα, τῶν ἐναρέτων τὸ στήριγμα! Ὦ παντελεῆμον Κυρία καὶ Κυριώνυμε Μαριὰμ, τὸ ὄνομα τὸ προσκυνητὸν καὶ δεδοξασμένον, Σὺ τοῦ ἀνθρωπίνου γένους ἡ δόξα, τῶν ἁγίων ἡ ἰσχὺς, τῶν Ἀγγέλων τὸ θαῦμα, τὸ πλήρωμα τῶν χαρισμάτων τοῦ παναγίου Πνεύματος, ἡ ἀειπάρθενος Μήτηρ τοῦ σεσαρκωμένου Θεοῦ Λόγου, ἡ ἀνύμφευτος Νύμφη τοῦ Θεοῦ καὶ Πατρὸς ἡ ἐξαίρετος κατοικία τῆς ὁμοουσίου καὶ πανταιτίου Τριάδος, Σὺ καὶ νῦν καὶ εἰς τὸν ἅπαντα χρόνον τὴν Ἐκκλησίαν στερέωσον, καὶ πᾶσαν ψυχὴν καὶ πᾶσαν χώραν τῶν εὐσεβῶν, καὶ τὴν Ἑλλάδα Σου πᾶσαν μετὰ τῆς ἱερᾶς Σου Μονῆς ταύτης ἐκ παντοίων κινδύνων διάσωσον, καὶ ἐνίσχυσον ἐν ταῖς ἐντολαῖς τοῦ Θεοῦ, καὶ κράτυνον ἐν τῇ πίστει, καὶ διαφύλαξον ὀρθόδοξον, ἕως ἂν ὁ Σὸς Υἱὸς ἔλθῃ κρίναι τὸν κόσμον ἅπαντα κατὰ τὴν μεγάλην ἐπιφάνειαν Αὐτοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΠΙΜΕΤΡΟΝ

ΕΙΣ ΤΟ Α΄. ΚΑΙ Β΄. ΜΕΡΟΣ ΤΟΥ

ΚΤΙΤΟΡΙΚΟΥ,

ΗΤΟΙ

ΣΥΛΛΟΓΗ

ΕΚ ΤΩΝ ΚΤΙΤΟΡΙΚΩΝ ΓΡΑΜΜΑΤΩΝ ΤΟΥ ΙΕΡΟΥ ΜΟΝΑΣΤΗΡΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΠΗΛΑΙΟΥ,
ΠΕΡΙΕΧΟΥΣΑ ΤΑ ΕΦΕΞΗΣ:

ά) Τὸ Χρυσόβουλλον τοῦ ἀοιδίμου Αὐτοκράτορος Ἰωάννου τοῦ Κατακουζηνοῦ·
β΄) Πέντε Σιγίλλια γράμματα τῶν παναγιωτάτων καὶ Οἰκουμενικῶν Πατριαρχῶν·
γ΄) Τρία Χρυσόβουλλα τῶν εὐσεβεστάτων Ἡγεμόνων τῆς Οὐγγροβλαχίας·
δ΄) Δύω διατάγματα τῆς πρῴην ἐπὶ τῆς Πελοποννήσου Βενετικῆς Ἐξουσίας·
έ) Δύω τῆς παρελθούσης Ὀθωμανικῆς.

Α΄.

Ο ΧΡΥΣΟΒΟΥΛΛΟΣ ΛΟΓΟΣ ΤΟΥ ΑΟΙΔΙΜΟΥ ΑΥΤΟΚΡΑΤΟΡΟΣ ΙΩΑΝΝΟΥ ΤΟΥ ΚΑΤΑΚΟΥΖΗΝΟΥ.

† Ἐπεὶ ὁ τιμιώτατος Καθηγούμενος τῆς κατὰ τὴν Πελοπόννησον σεβασμίας Μονῆς τῆς βασιλείας μου, τῆς εἰς ὄνομα τιμωμένης τῆς πανυπεράγνου Δεσποίνης καὶ Θεομήτορος καὶ ἐπικεκλημένης Μεγασπηλαιωτίσσης, τῆς παρὰ τοῦ ἱερωτάτου ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ ἱστορηθείσης, ἀρχιμανδρίτης τε καὶ πρωτοσύγκελλος ἱερομόναχος κύριος Μάρκος ἀνέφερεν, ὡς ἡ κατ᾽ αὐτὸν τοιαύτη σεβασμία Μονὴ κέκτηται διὰ χρυσοβούλλων καὶ προσταγμάτων τοῦ τε αὐθέντου μου τοῦ βασιλέως, τοῦ πάππου τῆς βασιλείας μου, καὶ τοῦ θειοτάτου μου Δεσπότου καὶ βασιλέως, τοῦ ἀδελφοῦ τῆς βασιλείας μου, τῶν ἀοιδίμων καὶ μακαριτῶν, ἀλλὰ καὶ δι᾽ ἀπογραφικῶν ἀποκαταστάσεων, καὶ ἑτέρων εὐλόγων δικαιωμάτων μετόχια, καὶ λοιπὰ κτήματά τε καὶ ὑποστατικὰ ἐν διαφόροις τοποθεσίαις· ἃ δὴ καὶ κατὰ μέρος ἔχουσιν οὕτως. Εἰς τὴν Λαπάταν μετόχιον εἰς ὄνομα τιμώμενον τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς Ἀντωνίου τοῦ Μεγάλου, μετὰ τῶν αὐτῷ παροίκων, προσκαθημένων τε καὶ ἐξαλειμματικῶν ὑποστάσεων. Ἕτερον μετόχιον περὶ τὴν Βοστίτζαν, εἰς ὄνομα τῆς πανυπεράγνου τιμώμενον Δεσποίνης καὶ Θεομήτορος, καὶ ἐπικεκλημένης τῆς

Πεφανερωμένης. Περὶ τὸν Δρόγκον, ἕτερον μετόχιον εἰς ὄνομα τιμώμενον καὶ αὐτὸ τῆς πανυπεράγνου Δεσποίνης καὶ Θεομήτορος καὶ ἐπικεκλημένης τῆς Συνοθηριωτίσσης, μετὰ τῶν ἐν αὐτῷ παροίκων προσκαθημένων καὶ λοιπῶν δικαίων αὐτοῦ. Περὶ τὸ Μονοδένδριον, γῆν μοδίων τριακοσίων. Εἰς τὸ χωρίον τὸ Βραχνὶ πάροικοι ὅ,τε Δημήτριος, καὶ Κωνσταντῖνος οἱ πρεσβύτεροι, καὶ Γεώργιος ὁ Βάρδας. Εἰς τὸ χωρίον τῆς Ζαχλοροῦς, προσκαθήμενοι τινές. Εἰς χωρίον τὴν Δουμενᾶν πάροικοι καὶ ἐξαλειμματικαὶ ὑποστάσεις, ἃς προκατεῖχε. Περὶ τὸ καστέλλιον τὸν ἅγιον Ἰωάννην, χειμάδιον τὸ καλούμενον ἡ Λάμεια· καὶ ἕτερον εἰς τὴν Βλογοκίτζαν μετὰ τοῦ πλησιάζοντος ἐκεῖσε χωραφίου τοῦ καλουμένου τῆς Προυσσαίνης. Ἡ ἡμίσεια μερὶς ἡ Λατινικὴ τοῦ χωρίου τῆς Ἀβυσσαίνης, (ὡς τῆς λοιπῆς ἡμισείας μερίδος κατεχομένης παρά τινων διαφόρων Ῥωμαίων, καὶ ὑπὸ χεῖρα τῆς βασιλείας μου), καὶ αἱ ἐκεῖσε πλησιάζουσαι ἐξαλειμματικαὶ ὑποστάσεις τοῦ τε Καρβώνη καὶ τοῦ Νήφωνος· ἀλλὰ δὴ καὶ τὸ ἐν αὐτῇ μυλοτόπιον, σὺν τῷ ἐκεῖσε εὑρισκομένῳ παλαιῷ Ναῷ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου τοῦ πρωτοκλήτου· ἃ δὴ καὶ κατέχει, καὶ νέμεται τὸ μέρος τῆς τοιαύτης σεβασμίας μονῆς ἀνενοχλήτως καὶ ἀδιασείστως μέχρι τοῦ νῦν. Παρεκάλεσε δὲ ἀρτίως ὁ ῥηθεὶς τιμιώτατος ἀρχιμανδρίτης καὶ πρωτοσύγκελλος, ἵνα πορίσηται ἐπὶ τούτοις καὶ χρυσόβουλλον τῆς βασιλείας μου, τὴν τούτου δέησιν εὐμενῶς προσδεξαμένη ἡ βασιλεία μου τὸν παρόντα χρυσόβουλλον ΛΟΓΟΝ ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει τῇ κατ᾽ αὐτὸν τοιαύτῃ σεβασμίᾳ Μονῇ, δι᾽ οὗ προστάσσει, καὶ διορίζεται εἶναι μὲν καὶ εὑρίσκεσθαι τὸν αὐτὸν τιμιώτατον πρωτοσύγκελλον εἰς τὴν ἡγουμενείαν καὶ προστασίαν τῆς δηλωθείσης Μονῆς ἐφ᾽ ὅρῳ τῆς αὐτοῦ ζωῆς· κατέχειν δὲ καὶ τὴν τοιαύτην σεβασμίαν Μονὴν καὶ νέμεσθαι καὶ εἰς τὸ ἑξῆς τὰ ἀνωτέρω κατὰ μέρος εἰρημένα μετόχια καὶ λοιπὰ ὑποστατικὰ, κτήματά τε καὶ βελτιώματα, ἀνενοχλήτως παντάπασι καὶ ἀδιασείστως, ἔτι τε ἀναφαιρέτως καὶ ἀναποσπάστως, κατὰ τὰς περιλήψεις τῶν προσόντων αὐτῇ, ὡς εἴρηται, χρυσοβούλλων τε καὶ προσταγμάτων καὶ λοιπῶν εὐλόγων δικαιωμάτων, καὶ ὡς εὑρίσκεται κατέχουσα ταῦτα καὶ μέχρι τοῦ νῦν, ὀφείλοντα διατηρεῖσθαι ἀνώτερα πάσης καὶ παντοίας καταδυναστείας, καὶ ἐπηρείας, καὶ κατατριβῆς, καὶ διενοχλήσεως ἀδίκου καὶ πλεονεκτικῆς. Τῇ γοῦν ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου ΛΟΓΟΥ τῆς βασιλείας μου διατηρηθήσεται μὲν ὁ διαληφθεὶς τιμιώτατος ἱερομόναχος ἀρχιμανδρίτης καὶ πρωτοσύγκελλος κύριος Μάρκος εἰς τὴν ἡγουμενείαν καὶ προστασίαν τῆς τοιαύτης σεβασμίας Μονῆς ἐφ᾽ ὅρῳ τῆς ἑαυτοῦ ζωῆς, ὡς δεδήλωται. Καθέξει δὲ καὶ νεμηθήσεται καὶ ἡ αὐτὴ σεβασμία Μονὴ τὰ προσόντα ταύτῃ, καθὼς εἴρηται, κτήματά τε καὶ ὑποστατικὰ μετὰ τῆς περιοχῆς, καὶ τῶν δικαίων αὐτῶν καὶ τῶν ἐν τούτοις βελτιωμάτων, κατὰ τὰς περιλήψεις τῶν ἀναγεγραμμένων χρυσοβούλλων προσταγμάτων τε καὶ λοιπῶν εὐλόγων δικαιωμάτων, ἀνενοχλήτως πάντη καὶ ἀδιασείστως, ἀναφαιρέτως τε καὶ ἀναποσπάστως, καθὼς κατέχει καὶ νέμεται ταῦτα καὶ μέχρι τοῦ νῦν, μηδεμίαν παρὰ μηδενὸς τῶν ἁπάντων ὑφισταμένη ἐπὶ τῇ τούτων κατοχῇ καταδυναστείαν, ἢ ἐπήρειαν τινὰ καὶ κατατριβήν· ἐπειδὴ καὶ τούτου ἕνεκεν ἐγένετο καὶ ὁ παρὼν χρυσόβουλλος ΛΟΓΟΣ τῆς βασιλείας μου, καὶ ἐπεχορηγήθη καὶ ἐπεβραβεύθη τῷ ῥηθέντι τιμιωτάτῳ καθηγουμένῳ ἀρχιμανδρίτῃ καὶ πρωτοσυγκέλλῳ, καὶ τῇ κατ᾽ αὐτὸν τοιαύτῃ σεβασμίᾳ Μονῇ δι᾽ ἀσφάλειαν, ἀπολυθεὶς κατὰ μῆνα Ἀπρίλιον τῆς ἐνεστώσης Ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ὀκτακοσιοστοῦ πεντηκοστοῦ ἕκτου ἔτους, ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

ΙΩΑΝΝΗΣ ΕΝ ΧΡΙΣΤΩ ΤΩ ΘΕΩ ΠΙΣΤΟΣ ΒΑΣΙΛΕΥΣ ΚΑΙ ΑΥΤΟΚΡΑΤΩΡ ΡΩΜΑΙΩΝ
Ο ΚΑΤΑΚΟΥΖΗΝΟΣ.

Β΄.

ΠΑΡΘΕΝΙΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΝΕΑΣ ΡΩΜΗΣ, ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ.

† Ὡς ἐν σκιᾷ καὶ ζόφῳ κατολισθαίνοντες πάντες περιπολοῦσιν ἐν τῷ κόσμῳ, καὶ φέρειν ἀνέχονται πολλὰ τῶν δεινῶν, ἀγνοοῦντες ὅλως ὧν τε προσῆκον ἀντέχεσθαι, καὶ ἀπέχεσθαι τίνων· ἀφορᾷ δέ γε πάντων τὰ διαβήματα, εἴτε τὴν δεξιὰν τρίβον φανῶσι βαδίζειν, εἴτε τὴν ἄλλως ἔχουσαν, πρὸς τὴν τοῦ Θεοῦ ἐξομοίωσιν καὶ τὸ πάντῃ ἐλεύθερον καὶ μερίμνης ἁπάσης ἀνεπίδεκτον. Πολλὰ γὰρ πάσχειν στέργουσιν οἱ βασιλεῖς, οὐ δι' ἄλλο τι πολέμους κατὰ τῶν ἐναντίων καὶ μάχην διεγείροντες, ἢ δεῖξαι ἑαυτοὺς ἀνωτέρους ἁπάσης ὑποταγῆς καὶ δουλείας. Ταύτῃ καὶ οἱ τῆς Ἐκκλησίας προστάται παθεῖν ὑφίστανται πολλὰς τὰς τοῦ πονηροῦ προσβολὰς, ἵνα φανῶσιν ἀνώτεροι καὶ νικηταὶ πάντων τῶν αὐτοῦ ἐπηρειῶν, τῆς ψυχοφθόρου αὐτοῦ δουλείας ἑαυτοὺς ἀπαλλάξαντες καὶ πάντας τοὺς ὑπὸ τὴν αὐτῶν διοίκησιν αὐτοῖς θεόθεν ἐμπιστευθέντας εἶναι, διὰ τὸ τὴν μὲν δουλείαν αἰτίαν εἶναι καὶ πρόξενον φθορᾶς, τὸ δὲ ἐλεύθερον, ἀνέσεως καὶ χαρᾶς. Διὸ καί τινα τῶν Μοναστηρίων οἱ πάλαι ἀοίδιμοι βασιλεῖς, δι' αἰτίας τινὰς εὐλόγους τῶν ἄλλων προτιμῆσαι βουλόμενοι, τῷ τῆς ἐλευθεριας ἐξαιρέτῳ τρόπῳ καὶ λόγῳ διὰ χρυσοβούλλων ταῦτα ὠχύρωσαν, τῶν λοιπῶν πάντων εὐεργετημάτων τὴν ἐλευθερίαν ἔχειν τὰ πρῶτα κεκρικότες· παρ' ὧν καὶ ἡ Ἐκκλησία ἡ καθ' ἡμᾶς ἡ μεγάλη τὰς ἀφορμὰς λαβοῦσα, πράττει τὰ ὅμοια. Εὑρίσκομεν τοίνυν καὶ κατὰ τὴν γῆν τῆς Πελοποννήσου, ἐν τῇ περιοχῇ τῆς ἐπισκοπῆς Κερνίτζης, Μοναστήριον, εἰς ὄνομα τιμώμενον τῆς Κοιμήσεως τῆς Ὑπεραγίας Θεοτόκου, ἔχον εἰκόνα τὴν παρὰ τοῦ ἁγίου καὶ πανευφήμου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ ἱστορηθεῖσαν, Μέγα Σπήλαιον κεκλημένον, ὅπερ εἶχε τὸ πάντῃ ἐλεύθερον καὶ ἀδούλωτον παρὰ τῶν κατ' ἐκεῖνο καιροῦ ἀοιδίμων Βασιλέων καὶ Πατριαρχῶν, δι' ἃς οἱ τοῦ καιροῦ ἐκείνου ἄνθρωποι οἴδασιν αἰτίας, βασιλικὸν καὶ πατριαρχικὸν καλούμενον σταυροπήγιον, ὡς τοῖς πᾶσι καταφανὲς, καὶ τοῖς μετέπειτα τά τε βασιλικὰ αὐτοῦ χρυσόβουλλα καὶ πατριαρχικὰ σιγιλλιώδη γράμματα πολλάκις ἰδοῦσι καὶ μετελθοῦσιν. Ὅπερ σωζόμενον καὶ φυλαττόμενον μέχρι τοῦ νῦν, καὶ ἐν εὐπορίᾳ διαγόντων πάντων τῶν αὐτῷ ἐνασκουμένων περίπου πεντήκοντα πρὸς τοῖς ἑκατὸν μοναχῶν, ἐξ ἐπηρείας τοῦ δαίμονος, πυρὸς ἀνάλωμα γέγονε, τῶν πατέρων πρὸς τὸν τρυγητὸν ἐνασχολουμένων· ἀφανισθέντων δὲ πάντων τῶν ἐν τῷ σκευοφυλακίῳ ἱερῶν σκευῶν, χρυσῶν καὶ ἀργυρῶν, καὶ ἀμφίων, μόλις ἠδυνήθησαν ἀπαλλάξαι τὴν τῆς Θεομήτορος εἰκόνα, τὴν παρὰ τοῦ ἁγίου Λουκᾶ ἱστορηθεῖσαν, οἱ παρευρεθέντες μοναχοί. Δεηθέντων οὖν, διὰ τοῦ παρόντος ἡ μετριότης ἡμῶν, καὶ ἡ περὶ αὐτὴν ἱερὰ τῶν ἀρχιερέων σύνοδος, διορίζεται γράφουσα, ἵνα τὸ σεβάσμιον πατριαρχικὸν βασιλικὸν καὶ σταυροπηγιακὸν Μοναστήριον, εἰς ὄνομα τιμώμενον τῆς Κοιμήσεως τῆς Ὑπεραγίας Θεοτόκου, τὸ καὶ Μέγα Σπήλαιον καλούμενον, καθὰ ἀφ' οὗ ἤρξατο τοῦ εἶναι καὶ λέγεσθαι Μοναστήριον ἔλαβε τὴν ἐπωνυμίαν καὶ τὴν τιμὴν καὶ ἐλευθερίαν τὴν σταυροπηγιακὴν, παντελεύθερον ὂν, ἀδούλωτον, ἀδέσποτον, καὶ ἀκαταζήτητον παρὰ παντὸς προσώπου τῶν κατὰ καιροὺς ἀρχιερατευόντων ἐν τῇ ἐπαρχίᾳ Κερνίτζης καὶ τῶν πλησίον πάντων· μηδὲν τέλος παρέχον τινὶ, μέχρι καὶ ὀβολοῦ, ἐκτὸς τῶν διακοσίων ἄσπρων, τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ ἐτησίως, ὑποταγῆς χάριν· τὸν αὐτὸν τρόπον βουλόμεθα καὶ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἑξῆς ἅπαντα αἰῶνα εἶναι τὸ Μοναστήριον αὐτὸ τὸ

σταυροπηγιακὸν καὶ πατριαρχικὸν, ἀδούλωτον, ἀδέσποτον, καὶ ἀκαταπάτητον παρὰ παντὸς προσώπου, μηδενὶ μηδὲν ὀφεῖλον, ἢ τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ τὰ προῤῥηθέντα διακόσια ἄσπρα, ὑποταγῆς χάριν· ἀλλ' οὐδὲ οἱ κατὰ τύχην ἐκεῖθεν διαπερῶντες πατριαρχικοὶ ἔξαρχοι ἔχουσιν ἄδειαν ἢ ἐξουσίαν τινὰ καταπατεῖν τὸ αὐτὸ Μοναστήριον, καὶ ἐνοχλεῖν τοὺς ἐν αὐτῷ πατέρας κατά τι, καὶ ζητεῖν ἐπ' ὀνόματι πατριαρχικῷ ζημιοῦν αὐτούς. Τοὺς δὲ ἡγουμένους τοῦ Μοναστηρίου αὐτοῦ ἐκλέγεσθαι κατ' ἔτος, καὶ ἀλλάττεσθαι, καὶ ἀντικαθίστασθαι ἕτερον, τοῦ πρώτου τῆς ἡγουμενείας παραίτησιν ποιουμένου· Καὶ προσέτι μνημονεύειν αὐτοὺς τοῦ πατριαρχικοῦ ὀνόματος παῤῥησίᾳ ἐπ' ἐκκλησίας, κατὰ τὴν συνήθειαν· καὶ διάγειν αὐτοὺς κατὰ τὴν πάλαι συνήθειαν τὴν πρὸ τῆς πυρκαϊᾶς· τὰς δὲ χειροτονίας αὐτῶν γίγνεσθαι παρ' ὧν ἂν αὐτοὶ βούλοιντο τῶν ἀρχιερέων, ἄνευ τῆς τοῦ ἱεροῦ συνθρόνου ἐγκαθιδρύσεως. Ταῦτα πάντα βουλόμεθα μένειν ἀδιαλώβητα καὶ ἀπαρεγχείρητα καὶ ἀμετάτρεπτα μέχρι παντός· καὶ μηδένα τῶν πάντων ἔχειν ἄδειαν διασεῖσαι αὐτοὺς ἐπὶ προφάσει τῆς ἀναλώσεως καὶ φθορᾶς τῶν παρ' αὐτοῖς παλαιγενῶν γραμμάτων, χρυσοβούλλων τε καὶ πατριαρχικῶν σιγιλλιωδῶν, ἐν βάρει ἀργίας ἀσυγγνώστου καὶ ἀφορισμοῦ ἀλύτου, τοῦ παρὰ Θεοῦ Παντοκράτορος καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἂν δέ τις τῶν πάντων βουληθῇ ποτὲ ἐνοχλῆσαι αὐτοῖς, ἀρχιερεὺς, ἢ ἱερεὺς, ἢ ἰδιώτης, καὶ ποιῆσαι παρ' ὃ γράφομεν, οἱ μὲν, ἀργοὶ μενέτωσαν πάσης ἀρχιερατικῆς καὶ ἱερατικῆς ἐνεργείας καὶ τάξεως· οἱ δὲ λαϊκοὶ ἀφωρισμένοι ἔστωσαν παρὰ Θεοῦ, καὶ κατηραμένοι, καὶ ἀσυγχώρητοι, καὶ ἄλυτοι μετὰ θάνατον, καὶ ἔξω τῆς Χριστοῦ Ἐκκλησίας, καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικοι καὶ ταῖς πατριαρχικαῖς καὶ συνοδικαῖς ἀραῖς. Ἐπὶ γὰρ τῇ τούτου ἀμετατρέπτῳ βεβαιώσει ἐγράφη τὸ παρὸν τῆς ἡμῶν μετριότητος βεβαιωτήριον καὶ σιγιλλιῶδες γράμμα, καὶ ἐπεδόθη τοῖς ἐν τῷ πατριαρχικῷ καὶ βασιλικῷ Μοναστηρίῳ πατράσιν. Ἐν ἔτει σωτηρίῳ χιλιοστῷ ἑξακοσιοστῷ τριακοστῷ ἐννάτῳ. ἐν μηνὶ Δεκεμβρίῳ. Ἰνδικτιῶνος ὀγδόης.

Παρθένιος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἡρακλείας Ἰωαννίκιος.
Χαλκηδόνος Παχώμιος.
Ἀδριανουπόλεως Παρθένιος.
Φιλίππων καὶ Δράμας Γεράσιμος.
Βιζύης Δαμασκηνός.
Παλαιῶν Πατρῶν Θεοφάνης.
Λακεδαιμονίας Ἰωάσαφ.
Μιτυλήνης Παρθένιος.
Τουρνόβου Παρθένιος.
Λαρίσσης Γρηγόριος.
Ἀγχύρας Λαυρέντιος.
Βάρνας Παρθένιος.
Πρῴην Ῥαιδεστοῦ Θεοφάνης.
Χίου Κύριλλος.
Νέων Πατρῶν Ἰωάσαφ.
Πρῴην Ἀθηνῶν Σωφρόνιος.

Ἰδόντες τὸ παρὸν πατριαρχικὸν καὶ συνοδικὸν γράμμα, εὐλαβῶς προσκυνοῦντες ὑπογράφομεν ἰδίᾳ χειρί. Ταπεινὸς Μητροπολίτης Σεβαστείας Ἄνθιμος, καὶ πάσης Ἀρμενίας ὑπέρτιμος καὶ ἔξαρχος. Ἐν μηνὶ Ἰουνίῳ ιδ' τοῦ ᾳχλγ', ἔτους τοῦ Σωτηρίου.

Γ΄.

ΠΑΪΣΙΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΝΕΑΣ ΡΩΜΗΣ, ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ.

† Ἔργον φέριστον, καὶ παρὰ πᾶσι τοῖς εὖ φρονοῦσι σπουδῆς τῆς ἀνωτάτω ἐπάξιον κρίνεται, πᾶσαν οἰκοδομὴν καλῶς ἄνωθεν ἀρξαμένην καὶ συντελεσθεῖσαν, εἶτα τῇ τοῦ χρόνου παρόδῳ καὶ ταῖς τοῦ καιροῦ περιστάσεσι πτῶσιν τινὰ καὶ ἀνατροπὴν ὑφορωμένην, ἀνοικοδομεῖν καὶ ἀνανεοῦν ἐπὶ τῷ προκαταβληθέντι θεμελίῳ, καὶ τῆς διηνεκοῦς αὐτῆς συντηρήσεως λόγον ὅτι πλεῖστον ποιεῖσθαι· Τῆς γὰρ τοῦ πανδαμάτορος χρόνου ῥοῆς ταῖς κατὰ τὸ ἀντίξουν αὐτῆς προσβολαῖς ἀμαυροῦν πεφυκυίας τὰ καλῶς φθάσαντα συντελεσθῆναι, οἱ τούτων ἐμφρόνως προεστάναι λαχόντες οὐ διαλείπουσιν ἀναμορφοῦντες αὐτὰ, καὶ εἰς φῶς ἀνακαλοῦντες σωστικοῖς ἐπιτηδεύμασί τε καὶ ἐπεξεργάσμασιν. Ἀναγκαία γοῦν οὖσα ἡ τοιαύτη ἀνάκλησίς τε καὶ ἀνανέωσις ἐπὶ πάντων τῶν ἐγκοσμίων πραγμάτων, ὅσα τὴν ἐκ τοῦ χρόνου φθορὰν ἐπιδέχεται, ἀναγκαιοτάτη δήπουθεν ἐν τοῖς μάλιστα πέφυκεν ἐπὶ τῶν ἁγίων ἐκκλησιῶν, εὐαγῶν τε οἴκων, καὶ σεβασμίων μοναστηρίων ἐνεργουμένη, τῶν ὑποτελούντων τῇ προνοίᾳ καὶ ἐξεφενδεύσει τοῦ καθ' ἡμᾶς πατριαρχικοῦ ἀποστολικοῦ τε καὶ οἰκουμενικοῦ Θρόνου, ὧν τὴν κηδεμονίαν κληρωθέντες θεόθεν οἱ τὰς ἡνίας αὐτοῦ ἐπιτετραμμένοι ὀφείλομεν, ὅση δύναμις, ἀναλαμβάνειν καὶ ἐπανορθοῦν τὰ ἀντιλήψεως δεόμενα τῶν ἱερῶν σκηνωμάτων, καὶ τούτων μάλιστα ὅσα ἀρχαιότητι διαπρεπῆ καὶ ἀρετῇ διαβόητα, βασιλικῇ τε ἅμα καὶ πατριαρχικῇ φιλοτιμίᾳ ἐπίσημα διετέλεσαν, ἐπιβεβαιοῦντες τὴν ἀρχαίαν αὐτῶν ἐν τῷ καλῷ κατάστασιν διὰ μεταγενεστέρων γραμμάτων, καὶ μὴ ἐῶν ἐπιγενέσθαι αὐτοῖς φθοράν τινα καὶ βλάβην ἐκ τῶν τοῦ καιροῦ περιστάσεων. Ταμεῖα γὰρ ἀρετῆς ὁμολογουμένως καθέστηκε τὰ ἱερὰ ταῦτα τῶν ψυχῶν φροντιστήρια καὶ σεβάσμια μοναστήρια· ἐν αὐτοῖς γὰρ ὁ σωφροσύνης ἀσκεῖται τρόπος, καὶ ψυχῶν τελειότης πορίζεται, καὶ βίος θεοφιλὴς ἐκπαιδεύεται, καὶ τῆς ὑπομονῆς καταρτίζεται τὸ σωτήριον κλέος, ὅπου γε καὶ Θεὸς ἐν τοῖς τοιούτοις ἐπαναπαύεσθαι πιστεύεται· ταύτῃ τοι καὶ κατὰ πάντα καιρὸν ἡ καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλη Ἐκκλησία τὴν σύστασιν αὐτῶν καὶ συντήρησιν περὶ πολλοῦ ποιουμένη, χεῖρα βοηθείας ὀρέγειν αὐτοῖς ἐν πᾶσι τρόποις οὐκ ἀπαναίνεται. Ἐπειδὴ τοιγαροῦν καὶ τὰ νῦν προσεκομίσθη καὶ ἐνεφανίσθη ἡμῖν ἴσον ἀρχαίου πατριαρχικοῦ συνοδικοῦ γράμματος, γεγονότος πρὸ χρόνων ἤδη ἐπέκεινα τῶν ἑκατὸν ἐπὶ τοῦ πάλαι ποτὲ Πατριάρχου μακαρίτου κυρίου Παρθενίου, καὶ διαλαμβάνοντος, ὡς ἡ κατὰ τὴν Πελοπόννησον ἐν τῇ περιοχῇ τῆς ἐπισκοπῆς Κερνίτζης εὑρισκομένη ἱερὰ καὶ σεβασμία Μονὴ, ἡ τιμωμένη ἐπ' ὀνόματι τῆς Κοιμήσεως τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἐπικεκλημένη δὲ Μέγα Σπήλαιον, ἡ ὥσπερ κειμήλιον καὶ θησαυρὸν πολύτιμον ἔχουσα τὴν ἱερὰν εἰκόνα τῆς Θεομήτορος τὴν παρὰ τοῦ ἁγίου καὶ πανευφήμου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ ἱστορηθεῖσαν, ἄνωθεν μὲν καὶ ἐξ ἀρχῆς καὶ πρὸ χρόνων ἀμνημονεύτων διετέλεσε βασιλικὴ, πατριαρχικὴ, καὶ σταυροπηγιακὴ, ἐλευθέρα τε καὶ ἀδούλωτος πάντῃ, ὑπὸ τῶν κατ' ἐκεῖνο καιροῦ ἀοιδίμων βασιλέων καὶ πατριαρχῶν τῇ παντελεῖ ἐλευθερίᾳ καὶ ἀσυδοσίᾳ τετιμημένη, ἅτε καταφανοῦς οὔσης καὶ τοῖς πᾶσιν ὁμολογουμένης τοῖς τε πάλαι καὶ τοῖς μετέπειτα τῆς τοιαύτης αὐτῆς βασιλικῆς φιλοτιμίας καὶ σταυροπηγιακῆς ἀξίας, τοῖς θεασαμένοις καὶ ἀνεγνωκόσι τὰ χορηγηθέντα αὐτῇ καὶ σωζόμενα ἐν τῷ τότε βασιλικά τε χρυσόβουλλα καὶ πατριαρχικὰ σιγιλλιώδη γράμματα. Ἧς τινος ἐλευθερίας καὶ αὐτονομίας αὐτῆς

σωζομένης τε καὶ φυλαττομένης, καὶ διενεργουμένης ἀνενοχλήτως, ὡς παρὰ πᾶσιν ἐγνωσμένης, διῆγον ἐν ἀνέσει πάντες οἱ συνασκούμενοι ἐν αὐτῇ περίπου τοὺς πεντήκοντα πρὸς τοῖς ἑκατὸν ὁσιώτατοι πατέρες, τέμνοντες ἐλευθέρως τὴν αὔλακα τῆς σωτηρίου ὁδοιπορίας αὐτῶν, καὶ τὸν ἐν τῷ μοναδικῷ βίῳ τῆς ἀσκήσεως καὶ ἀρετῆς ἀκωλύτως ἐξασκοῦντες καὶ μετερχόμενοι τρόπον· εἶτα, κρίμασιν οἷς μόνος οἶδε Θεὸς, συμβὰν ἐξ ἐπηρείας τοῦ μισοκάλου δαίμονος τὴν ἱερὰν Μονὴν ταύτην πυρὶ καταναλωθῆναι, τῶν πατέρων, ὡς φησὶ, περὶ τὸν τρυγητὸν ἐνασχολουμένων, ἑπομένως διὰ τῆς ἐπιγενομένης ταύτης ὀλεθρίου πυρκαϊᾶς ἀπετεφρώθησαν δυςυχῶς, καὶ κατεκάησαν καὶ πάντα τὰ ἐν τῷ σκευοφυλακείῳ αὐτῆς σωζόμενα ἱερὰ σκεύη καὶ ἄμφια συνάμα τοῖς χρυσοβούλλοις καὶ σιγιλλίοις, τῶν παρευρεθέντων πατέρων μόλις δυνηθέντων διασώσασθαι καὶ ἐξελέσθαι τοῦ πυρὸς τὴν ῥηθεῖσαν τῆς Θεοτόκου εἰκόνα τὴν ὑπὸ τοῦ ἁγίου Λουκᾶ ἱςορηθεῖσαν. Μεθ' ἣν ἀτυχίαν καὶ δεινὴν περίςασιν προσελθόντες τηνικαῦτα οἱ τῆς ἱερᾶς Μονῆς πατέρες τῇ προνοίᾳ καὶ κηδεμονίᾳ τοῦ πατριαρχικοῦ καὶ οἰκουμενικοῦ τούτου Θρόνου, καὶ τὸ ἐπισυμβὰν τῆς πυρκαϊᾶς τοῦτο πάθος ἐκτραγῳδήσαντες, καὶ τὴν διὰ τοῦ πυρὸς ἀπώλειαν τῶν εἰρημένων χρυσοβούλλων τε καὶ σιγιλλίων καὶ λοιπῶν συςατικῶν γραμμάτων τῆς Μονῆς αὐτῶν ταύτης ἐμφανίσαντες καὶ δηλώσαντες, καὶ πιςώσαντες τὴν ἀρχαίαν αὐτῶν ἐλευθερίαν τε καὶ αὐτονομίαν τὴν διὰ βασιλικῆς φιλοτιμίας καὶ ςαυροπηγιακῆς ἀξίας, ἄλλως τε ἐμφανῆ καὶ κατάδηλον καὶ τοῖς πᾶσιν ὁμολογουμένην, ὡς εἴρηται, ἐν τῷ τότε διατελοῦσαν, ἔλαβον παρὰ τοῦ ῥηθέντος Πατριάρχου κυρίου Παρθενίου τὴν ἀνανέωσιν καὶ βεβαίωσιν αὐτῆς διὰ τοῦ διαληφθέντος συνοδικοῦ γράμματος, ἀποφαινομένου καὶ ἐπιβεβαιοῦντος αὐτοῖς τὸ εἶναι καὶ λέγεσθαι αὖθις ὡς καὶ πρότερον τὴν ἱερὰν Μονὴν ταύτην βασιλικὴν καὶ ςαυροπηγιακὴν, καὶ πάντη ἐλευθέραν, καὶ ἔχειν ἀναμφιβόλως καὶ ἀκωλύτως πάντα τὰ ἀνέκαθεν φιλοτιμηθέντα αὐτῇ τῆς ἐλευθερίας προνόμια, καὶ τὸ μηδεμίαν προσλογίζεσθαι αὐτῇ ἐκ τῆς περιςατικῆς ταύτης αἰτίας, δηλονότι τῆς τῶν γραμμάτων διὰ τοῦ πυρὸς ἀπωλείας, ὕφεσιν καὶ ἐλάττωσιν καὶ ἐπήρειαν ἡντιναοῦν ἐπὶ τοῖς οἷς πεπλούτηκεν ἀνέκαθεν προνομίοις. Ὅπερ ἐπιβεβαιωτήριον γράμμα προσκομίσαντες τῇ νῦν τῇ ἡμῶν μετριότητι, ἐδεήθησαν μετὰ θερμῆς παρακλήσεως ἐπικυρωθῆναι, καὶ ἐπιβεβαιωθῆναι τὴν αὐτὴν ταύτην ςαυροπηγιακὴν αὐτῶν ἀξίαν καὶ ἐλευθερίαν καὶ παρ' ἡμῶν, κατὰ τὴν ἀρχαίαν αὐτῆς διατύπωσιν, καὶ κατὰ τὰ ἀνέκαθεν φιλοτιμηθέντα προνόμια διὰ παντελοῦς ἀσυδοσίας, ἀνανεωθῆναι τε ταῦτα δι' ἡμετέρου πατριαρχικοῦ συνοδικοῦ σιγιλλιώδους γράμματος. Ὧν τὴν δέησιν καὶ ἀξίωσιν εὔλογον οὖσαν καὶ δικαίαν εὐμενῶς ἀποδεξάμενοι, ὡς χρέος ἀπαραίτητον ἔχοντες ἀντιλαμβάνεσθαι τῶν τοιούτων ἱερῶν οἴκων, καὶ συνιςᾷν τὰ ἀρχαῖα αὐτῶν προνόμια καὶ τὴν ἀνέκαθεν ἐλευθερίαν, ἐπὶ τῷ σώζεσθαι διηνεκῶς ἀνεπηρέαστα καὶ ἀδιαλώβητα, γράφομεν διὰ τοῦ παρόντος καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα ἡ διαληφθεῖσα κατὰ τὴν Πελοπόννησον ἐν τῇ περιοχῇ τῆς ἐπισκοπῆς Κερνίτζης διατελοῦσα ἱερὰ καὶ σεβασμία βασιλική τε καὶ πατριαρχικὴ καὶ σταυροπηγιακὴ Μονὴ, ἡ τιμωμένη ἐπ' ὀνόματι τῆς Κοιμήσεως τῆς Ὑπεραγίας ἡμῶν Θεοτόκου, καὶ ἐπικεκλημένη Μέγα Σπήλαιον, καθὼς ἄνωθεν καὶ ἐξ ἀρχῆς καὶ πρὸ χρόνων ἀμνημονεύτων ὑπῆρξε καὶ διετέλεσεν ἐλευθερίᾳ παντελεῖ καὶ αὐτονομίᾳ κεκοσμημένη διὰ βασιλικῆς φιλοτιμίας καὶ σταυροπηγιακῆς ἀξίας, οὕτω καὶ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς καὶ εἰς ἅπαντα τὸν αἰῶνα, ἕως οὗ ὁ ἥλιος περιτρέχει τὸν κύκλον αὐτοῦ, ἥ τε καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται βασιλικὴ καὶ σταυροπηγιακὴ, ἐλευθέρα τε πάντη καὶ ἀδούλωτος, καὶ ἀκαταπάτητος καὶ ἀνεπηρέαστος, καὶ πάντη ἀσύδοτος ὁμοῦ μετὰ τῶν ἄλλων ὑποτε-

λούντων αὐτῇ, καὶ ἐν διαφόροις τόποις κειμένων μετοχίων αὐτῆς, ἅτινα εἰδικῶς εἰσι ταῦτα. Τὸ κατὰ τὸ χωρίον Στρέζοβαν μετόχιον τῆς Εὐαγγελιστρίας, ὁμοῦ μετὰ τῶν συνημμένων αὐτῷ χωραφίων καὶ τῆς Ἐκκλησίας· τὸ κατὰ τὰ Μαῦρα Βουνὰ σὺν τῇ Ἐκκλησίᾳ τοῦ ἁγίου Νικολάου καὶ τοῖς συνημμένοις αὐτῷ τόποις· τὸ κατὰ τὰ Τρυπία μετὰ τῆς Ἐκκλησίας Ἰωάννου τοῦ Χρυσοςόμου, καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὰ Σταυρία μετὰ τῆς Ἐκκλησίας τῆς ἁγίας Μαρίνης, καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὰ Νεάματα μετὰ τῆς Ἐκκλησίας τοῦ ἁγίου Δημητρίου, καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὰ Θυννεῖα σὺν τοῖς τόποις αὐτοῦ· τὸ κατὰ τὰς Φυτείας μετὰ τῆς Ἐκκλησίας τοῦ ἁγίου Γεωργίου, σὺν τοῖς τόποις αὐτοῦ· ὁ ἅγιος Νικόλαος μετὰ τῶν ἐλαιοφύτων καὶ τόπων αὐτοῦ· τὸ κατὰ τὴν Πανηγυρίστραν μετὰ τῆς Ἐκκλησίας τῆς ἁγίας Τριάδος, καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὸν Σταυροέλατον μετὰ τῆς Ἐκκλησίας τῶν Εἰσοδίων, καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Σάλμεναν μετὰ τῆς Ἐκκλησίας τῶν ἁγίων Ἀποστόλων, καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Γουμένιτζαν σὺν τοῖς τόποις αὐτοῦ· τὸ κατὰ τὰ Λεχαινὰ σὺν τῷ ὀσπητίῳ καὶ τοῖς τόποις αὐτοῦ· τὸ ἐν τῇ παλαιᾷ Πάτρᾳ ὀσπήτιον σὺν ἄλλοις τόποις αὐτοῦ· τὸ ἐν τῷ Καλαμακίῳ μετὰ τῆς Ἐκκλησίας καὶ τῶν τόπων αὐτοῦ· τὸ Μέγα Ἀμπέλιον μετὰ τῆς Ἐκκλησίας τοῦ ἁγίου Ἀθανασίου· τὸ ἐν τῇ Βοστίτζᾳ μετόχιον μετὰ τῶν τόπων αὐτοῦ· καὶ ὅσα ἄλλα ἐν τῇ ἐπαρχίᾳ παλαιῶν Πατρῶν, καὶ ταῖς ὑποκειμέναις αὐτῇ ἐπισκοπαῖς ὁμοῦ μετὰ τῶν ἀπηριθμημένων ἀνωτέρω τόπων, οἵτινες εἰσὶν ἀμπέλια, χωράφια, κῆποι καὶ δένδρα, παλαιὰ βασιλικὰ καὶ λοιπῶν χριστιανῶν ἀφιερώματα· ἔτι δὲ καὶ ὅσα ἄλλα ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς ἀπὸ τῆς τῶν χριστιανῶν ἀφιερώσεως προσκτήσεται πράγματα καὶ κτήματα ἡ ἱερὰ Μονὴ αὕτη, ἔχωσι μένειν καὶ ταῦτα πάντα ἀναφαίρετα καὶ ἀκαταπάτητα καὶ ἀνεπηρέαστα, ὡς μετόχια τῆς σταυροπηγιακῆς Μονῆς ταύτης, μηδενὸς πώποτε τολμῶντος μηδὲ τοῦ κατὰ τόπον Ἀρχιερέως Κερνίτζης, ἢ ἄλλου τινὸς τὸ παράπαν, ἢ πατριαρχικοῦ τινος Ἐξάρχου κατεπεμβαίνειν τῆς ἱερᾶς Μονῆς ταύτης, καὶ ἐνοχλεῖν τοῖς ἐνασκουμένοις αὐτῇ πατράσιν, ἢ δόσιν ἀπαιτεῖν παρ' αὐτῶν πολλὴν ἢ ὀλίγην, ἢ ἐπὶ προφάσει ἐξαρχικοῦ δικαιώματος, ἢ δι' ἄλλην τινὰ αἰτίαν· ἀλλ' ὑπάρχῃ ἀσύδοτος ἐς τὸ παντελὲς, μηδενὶ μηδὲν ὀφείλουσα παρέχειν μέχρι καὶ ὀβολοῦ, μνημονευομένου ἐν αὐτῇ ἀεννάως τοῦ πατριαρχικοῦ ὀνόματος, ὑποκειμένη ἀμέσως τῷ καθ' ἡμᾶς οἰκουμενικῷ Θρόνῳ, καὶ ὑπ' αὐτοῦ μόνου δεσποζομένη, διεξαγομένη τε καὶ κυβερνωμένη ἐν πάσαις αὐτῆς ταῖς χρείαις καὶ ὑποθέσεσιν. Οἱ δ' ἐν αὐτῇ συνασκούμενοι πατέρες, διάγοντες ἐν ἀνέσει καὶ ἐλευθέρως, ὀφείλουσι ζῆν εὐτάκτως καὶ σωφρόνως καὶ κατὰ τὸν ὅρον τοῦ μοναδικοῦ βίου, φροντίζοντες τῆς συστάσεως καὶ αὐξήσεως τῆς ἱερᾶς Μονῆς ταύτης. Καὶ, ἐπειδὰν ἔχωσι χρείαν χειροτονίας, ἔχουσιν ἄδειαν προσκαλεῖν ὃν ἂν βούλωνται ἐκ τῶν πλησιοχώρων ἀρχιερέων, ἐπὶ τῷ ἐκτελεῖν τὰς χειροτονίας αὐτῶν μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως, ὡς νενόμισται· ἀλλὰ καὶ ἐν στερήσει ἡγουμένου γενόμενοι, ἔχουσιν ἄδειαν ἐκλέγειν ἕνα ἐκ τῆς συνοδίας αὐτῶν τὸν κοινῶς ἀναφανέντα ἄξιον, καὶ τοῦτον ἀποκαθιστᾷν ἡγούμενον. Τῷ δὲ κατὰ καιροὺς ἡγουμένῳ τῆς Μονῆς ταύτης παρέχομεν ἄδειαν σφραγίζειν ἀναγνώστας ἔνδον μόνον τῆς Μονῆς αὐτῶν αὐτῆς· καὶ πρὸς τούτοις παρέχειν ἄδειαν καὶ τοῖς ἀξίοις καὶ ἐμπείροις ἀναφανεῖσιν ἱερομονάχοις τῆς Μονῆς ταύτης δέχεσθαι τοὺς λογισμοὺς τῶν συνασκουμένων πατέρων, καὶ προσερχομένων χάριν ἐξομολογήσεως ἐξ αὐτῶν ἔνδον τῆς Μονῆς ταύτης. Μηδένα δὲ τῶν κατὰ καιροὺς ἡγουμένων ἔχειν ἄδειαν καθιστᾷν ἐπιτρόπους κοσμικοὺς καὶ λαϊκοὺς ἄνδρας ἐπὶ τῷ θεωρεῖν τὰς ὑποθέσεις τοῦ μοναστηρίου αὐτῶν, ἀλλ' ὑπὸ τῆς κοινότητος τῶν πατέρων καὶ μοναστηριακῶν θεωρεῖσθαι καὶ διεκπεραίνεσθαι. Τοὺς δὲ καθάπαξ προσηλωθέντας τῇ ἱερᾷ Μονῇ ταύτῃ

καὶ βαλόντας μετάνοιαν, καὶ τὴν κουρὰν ἐν αὐτῇ δεξαμένους μηκέτι τολμᾷν λειποτακτεῖν, καὶ ἀναχωρεῖν καὶ φεύγειν ἐξ αὐτῆς χωρὶς ἀδείας τοῦ ἡγουμένου καὶ νομίμου αἰτίας· τὸν δ' ἄλλως τολμήσαντα λειποτακτῆσαι καὶ φυγεῖν, ἱερωμένον μὲν ὄντα ἔνοχον εἶναι καθαιρέσει, μοναχὸν δὲ ἀφορισμοῦ, μέχρι τοῦ ἐπιστρέψαι εἰς τὴν μετάνοιαν αὐτοῦ. Ταῦτα γοῦν πάντα τὰ ἀνωτέρω ἐκτεθέντα καὶ διορισθέντα βουλόμεθα ἔχειν τὸ κῦρος καὶ τὴν ἰσχὺν μόνιμον καὶ διηνεκῆ ἐς ἀεί, καὶ διαμένειν ἀπαρεγχείρητα καὶ ἀμετάπτωτα μέχρι παντός· ὃς δ' ἄν τις καὶ ὁποῖος τολμήσῃ διασεῖσαι καὶ ἀνατρέψαι τι τῶν ἐν τῷ παρόντι διορισθέντων, καὶ τὴν σταυροπηγιακὴν ἀξίαν καὶ ἐλευθερίαν καὶ τὸ ἀσύδοτον τῆς ἱερᾶς ταύτης Μονῆς ὁπωσοῦν ἐπηρεάσαι, καὶ ἐνόχλησίν τινα καὶ βίαν καὶ δουλείαν ἐπαγαγεῖν αὐτῇ, οἱῳδήτινι τρόπῳ, ἀπ' ἐναντίας φερόμενος τῇ ἐκκλησιαστικῇ καὶ συνοδικῇ ἡμῶν ἀποφάσει ταύτῃ, ὁ τοιοῦτος, ὁποίας ἂν ᾖ τάξεως καὶ ὁποίου βαθμοῦ, ἀφωρισμένος εἴη παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου καὶ μακαρίας Τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος, ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ πάσαις ταῖς πατριαρχικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος, καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης. Ὅθεν εἰς ἔνδειξιν ἐγένετο καὶ τὸ παρὸν πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα, καὶ ἐδόθη τῇ ῥηθείσῃ σεβασμίᾳ Μονῇ τοῦ μεγάλου Σπηλαίου. Ἔτει Σωτηρίῳ αψμά, μηνὶ Μαρτίῳ. Ἰνδικτιῶνος δ'.

Παΐσιος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης.

Καισαρείας Γεράσιμος. — *Ἡρακλείας Μελέτιος.*
Νικαίας Καλλίνικος. — *Χαλκηδόνος Καλλίνικος.*
Κυζίκου Γεράσιμος. — *Νικομηδείας Ἄνθιμος.*
Δέρκων Μακάριος. — *Προύσσης Δανιήλ.*
Μελενίκου Κύριλλος. — *Σωζουπόλεως Θεοφάνης.*
Μετρῶν Ἄνθιμος. — *Ναυπλίας καὶ Ἄργους Νεόφυτος.*

Δ'.

ΠΡΟΚΟΠΙΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΝΕΑΣ ΡΩΜΗΣ, ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ.

† Πάντα τὰ αἰτήματα τὰ πρὸς σύστασιν ἱερῶν καὶ σεβασμίων μοναστηρίων καὶ θείων καταγωγίων καὶ σκηνωμάτων γινόμενα ἀποδέχεσθαι δεῖ, καὶ συνιστᾷν, καὶ ἐπικυροῦν γράμμασιν ἐκκλησιαστικοῖς, καὶ τὸ μόνιμον ἐπάγειν αὐτοῖς καὶ ἀσφαλὲς τρόποις ἑνοῦσι, τιμᾷν τε τὰ ἱερὰ ἑκασταχοῦ κείμενα καὶ σεβάσμια μοναστήρια, ἐπ' εὐλόγοις αἰτίαις κανονικῶς, καὶ δυνατωτέρας διαφενδεύσεως καὶ ὑπερασπίσεως ἀξιοῦν, καὶ τὰ πρὸς αὔξησιν καὶ βελτίωσιν ἐκείνων ἐπινοεῖν καὶ ἐφευρίσκειν εἰς διηνεκῆ αὐτῶν διαμονὴν καὶ συντήρησιν. Οἷς γὰρ τῶν θείων καὶ ἱερῶν σκηνωμάτων μέμηλε φροντίς, τούτους προσήκει ἐναβρύνεσθαι καὶ φιλοτιμεῖσθαι μὴ ἐφ' οἷς ὁ πόρος διαρκῶς καὶ βεβαίως τὰ πρὸς διαμονὴν ἔχει, ἀλλὰ μάλιστα τὴν ἐπιμέλειαν καταβλητέον περὶ ἐκεῖνα, ὅσα περ ἂν ἀπόρως ἔχοντα ἐν κινδύνῳ καταστῇ ἀπωλείας, καὶ μὴ μόνον αὐτοὺς τοῦτο ποιεῖν, ἀλλὰ καὶ εἵτινες ἄλλοι τοιαύτης ἐπιμελείας ὑπομνήσειεν ἀποδέχεσθαί τε καὶ ἐς δύναμιν ἐπικυροῦν. Αὕτη οὖν ἡ ἐπιμέλεια

γεγένηται ἤδη καὶ περὶ τὸ κατὰ τὴν ἐπαρχίαν Χαλκηδόνος ἐν τῇ νήσῳ Ἀντιγόνου ἱερὸν καὶ σεβάσμιον μοναστήριον, ἐπ' ὀνόματι τιμώμενον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Δημητρίου. Οἱ γὰρ χρήσιμοι μαγίστορες ἐκ τοῦ ῥουφετίου τῶν καπήλων, τῶν δουλευόντων ἐν τῇ βασιλευούσῃ τῶν πόλεων κατὰ τὸ Φανάριον, δηλαδὴ, Τσουπαλῆ, Παλατᾶ, Κοντοσκάλλιον καὶ Ὑψωμαθεῖα, παραστάντες ἐνώπιον τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης, ἀνήγγειλαν καὶ ἐξετραγῴδησαν τὰ κατὰ τὸ μοναστήριον τοῦτο δυστυχήματα· πρὸ χρόνων γάρ τινων εἶχον περιποιούμενοι αὐτὸ, καὶ ἀγωνιζόμενοι καὶ προθυμούμενοι εἰς ἀνάκτησιν τούτου· μὴ κατορθωμένου δὲ αὐτοῖς τοῦ σκοποῦ, ἀλλὰ καὶ μᾶλλον ἐρημώσεως ἐπαπειλουμένης, τελευταῖον ἰδίᾳ αὐτῶν γνώμῃ καὶ θελήσει, ᾐτήσαντο θερμῶς συνενῶσαι αὐτὸ τοῦτο τὸ μοναστήριον τῷ κατὰ τὴν Πελοπόννησον κειμένῳ ἱερῷ καὶ σεβασμίῳ ἡμετέρῳ πατριαρχικῷ καὶ σταυροπηγιακῷ μοναστηρίῳ τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, Μεγασπήλαιον ἐπικεκλημένῳ, εἰς ἀνάσωσιν αὐτοῦ· καὶ δῆτα τὴν ἀφιέρωσιν αὐτῶν ταύτην ἐζήτησαν ἐπικυρωθῆναι καὶ κατασφαλισθῆναι διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ ἐν μεμβράναις σιγιλλιώδους γράμματος εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν, ἵνα μὴ τῇ τοῦ χρόνου παρατάσει εἰς λήθης ἐμπέσῃ βυθὸν, καὶ ἐξίτηλος γένηται ἡ τούτων ἀφιέρωσις. Διὸ τὴν αἴτησιν αὐτῶν ταύτην εὐμενῶς ἀποδεξάμενοι, εὔλογον οὖσαν καὶ πρὸς ὠφέλειαν καὶ βελτίωσιν τοῦ ῥηθέντος Μοναστηρίου ἀφορῶσαν, κοινῇ καὶ συνοδικῇ διαγνώσει γράφοντες ἀποφαινόμεθα μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ῥηθὲν σεβάσμιον μοναστήριον τὸ ἐν τῇ νήσῳ Ἀντιγόνου τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου, πάλαι ποτὲ ὑπὸ τὴν ἐπίσκεψιν ὑπάρχον τοῦ ῥουφετίου τῶν καπήλων, ὡς διὰ κοινῆς αὐτῶν γνώμης καὶ θελήσεως καὶ προαιρέσεως ἀφιερωθὲν καὶ προσηλωθὲν τῷ κατὰ τὴν Πελοπόννησον κειμένῳ ἱερῷ Μοναστηρίῳ τοῦ μεγάλου Σπηλαίου, μετὰ πάντων τῶν σκευῶν καὶ κτημάτων καὶ ἀφιερωμάτων αὐτοῦ, κινητῶν τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων, ἀμπελίων τε καὶ κήπων (μπαχσέδων), καὶ τῶν εἰσέπειτα προσκτηθησομένων, ὑπάρχῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ὑπὸ τὴν ἐπίσκεψιν καὶ προστασίαν τῶν ὁσιωτάτων πατέρων τοῦ ἱεροῦ μοναστηρίου τοῦ μεγάλου Σπηλαίου, καὶ λέγηται καὶ γνωρίζηται μετόχιον ἐκείνου, συνηνωμένον καὶ προσηλωμένον καὶ ἀφιερωμένον ἐκείνῳ· δεσποζόμενον καὶ διακυβερνώμενον παρὰ τοῦ κατὰ καιροὺς ἐνταῦθα εἰς βασιλεύουσαν τὴν διατριβὴν ποιουμένου ἡγουμένου τοῦ μεγάλου Σπηλαίου καὶ τῶν ἐν αὐτῷ πατέρων, ὀφείλοντος καὶ προθυμοποιουμένου ἀντιλαμβάνεσθαί τε τούτου ἀμφοτέραις χερσὶ, καὶ ζεούσῃ προθυμίᾳ φροντίζειν τὰ πρὸς καλλωπισμὸν καὶ σύστασιν καὶ ἐπὶ τὰ πρόσω αὔξησιν καὶ βελτίωσιν αὐτοῦ, μηδενὶ μηδὲν ὀφείλοντος διδόναι, εἰμὴ τῷ κατὰ τόπον ἀρχιερεῖ καὶ κυριάρχῃ καθ' ἕκαστον ἔτος δεκαὲξ γρόσια, λόγῳ ἐνοριακῆς ὑποταγῆς, ἱερωτάτῳ μητροπολίτῃ Χαλκηδόνος ὑπερτίμῳ καὶ ἐξάρχῳ πάσης Βιθυνίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητῷ ἀδελφῷ καὶ συλλειτουργῷ τῆς ἡμῶν μετριότητος κυρίῳ Παρθενίῳ, μνημονευομένου ἐν αὐτῷ τοῦ ἀρχιερατικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις, ὡς κατὰ τόπον προϊσταμένου. Ὀφείλουσι δὲ οἱ ῥηθέντες μαγίστορες τῶν καπήλων διδόναι κατ' ἔτος ὑπὲρ μνημοσύνου καὶ ψυχικῆς αὐτῶν σωτηρίας ἕκαστον μέρος (σέμπτιον) ἐκ τῶν τριῶν ἀνὰ ἑκατὸν γρόσια, συμποσούμενα τὰ πάντα εἰς τριακόσια γρόσια. Καὶ δὴ διατρίβοντος ἤδη ἐν Κωνσταντινουπόλει, καὶ ὄντος ἡγουμένου τοῦ ῥηθέντος Μοναστηρίου τοῦ μεγάλου Σπηλαίου, τοῦ ὁσιωτάτου ἐν ἱερομονάχοις κυρίου Βησσαρίωνος, παρέδωκαν οἱ ῥηθέντες μαγίστορες πρὸς αὐτὸν τοῦτ' αὐτὸ τὸ μοναστήριον· ὅστις καὶ ὑπέσχετο φροντίζειν τὰ πρὸς σύστασιν αὔξησίν τε καὶ βελτίωσιν αὐτοῦ, καὶ τὰ

πρὸς καλλωπισμὸν καὶ εὐπρέπειαν, κατὰ τὴν ἐνοῦσαν ἐπ' αὐτῷ τούτῳ ἐπιμέλειαν· χρείας τε γενομένης ἐπισκευῆς καὶ ἀπαρτισμοῦ ἔχειν αὐτὸν τοῦτον τὸν Ἡγούμενον τὴν φροντίδα περὶ πάντων τῶν γενησομένων ἐξόδων καὶ δαπανημάτων, μηδενὸς ἑτέρου ἱερωμένου ἢ λαϊκοῦ ἔχοντος εἰς τὸ ἑξῆς μετοχήν τινα ἢ ἐξουσίαν εἰς αὐτὸ τὸ Μοναστήριον, εἰμὴ μόνον αὐτῶν τῶν πατέρων τοῦ ἱεροῦ Μοναστηρίου τοῦ μεγάλου Σπηλαίου, ὡς γνωριζόμενον καὶ λεγόμενον μετόχιον αὐτοῦ, καὶ κτῆμα ἴδιον καὶ πρᾶγμα ἀναφαίρετον καὶ ἀναπόσπαστον· Ὑπέσχετο δὲ ὁ διαληφθεὶς νῦν ἡγούμενος καὶ τοῦτο, ὅτι, ἐάν ποτε ἰδίᾳ γνώμῃ καὶ προαιρέσει καὶ συγκατανεύσει τῶν ὁσιωτάτων πατέρων τοῦ εἰρημένου μοναστηρίου τοῦ μεγάλου Σπηλαίου παραιτηθῇ τῆς ἐπισκέψεως καὶ φροντίδος αὐτοῦ τοῦ μοναστηρίου τοῦ ἁγίου Γεωργίου, ἢ αὐτὸς, ἢ ὁ κατὰ καιροὺς ἡγούμενος, μὴ ἔχειν αὐτοὺς ἐξουσίαν διδόναι τὸ ῥηθὲν μοναστήριον ἄλλῳ τινι, ἢ ἐσναφίῳ, ἢ μοναστηρίῳ, εἰμὴ μόνον τοῖς ῥηθεῖσι μαγίστορσι τοῦ ῥουφετίου τῶν καπήλων, παρ' ὧν ἔλαβον τοῦτο. Ἐπειδὰν δὲ ἐν στερήσει Ἡγουμένου γένηται, ἔχουσιν οἱ πατέρες τοῦ εἰρημένου μοναστηρίου τοῦ μεγάλου Σπηλαίου αἱρεῖσθαι καὶ ἐκλέγειν καὶ ἀποκαθιστᾷν κοινῇ γνώμῃ αὐτῶν τὸν σεμνότερον καὶ ἀξιώτερον ἀναφανέντα.

Ὅστις δ' ἂν καὶ ὁποῖος ἐπιχειρήσῃ καὶ τολμήσῃ μετακινῆσαί πως καὶ ἀνατρέψαι τὰ ἐν τῷ παρόντι συνοδικῶς ἐπικυρωθέντα περὶ τοῦ εἰρημένου μοναστηρίου, μετοχίου γεγονότος τοῦ ἡμετέρου πατριαρχικοῦ καὶ σταυροπηγιακοῦ μοναστηρίου τοῦ κατὰ τὴν Πελοπόννησον μεγάλου Σπηλαίου, ὁ τοιοῦτος, ὁποίας ἂν ᾖ τάξεως καὶ βαθμοῦ, ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ Κυρίου παντοκράτορος, καὶ κατηραμένος καὶ ἀσυγχώρητος, καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος καὶ ὑπόδικος. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν ἐν μεμβράναις γράμμα, καὶ σταυροπηγιασθὲν, καὶ καταστρωθὲν ἐν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, ἐδόθη τῷ ῥηθέντι ἡγουμένῳ κυρίῳ Βησσαρίωνι. Ἐν ἔτει Σωτηρίῳ χιλιοστῷ ἑπτακοσιοστῷ ὀγδοηκοστῷ ἕκτῳ, κατὰ μῆνα Ἰούλιον· ἐπινεμήσεως δ'.

Προκόπιος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἐφέσου Σαμουήλ.
Ἡρακλείας Μεθόδιος.
Νικομηδείας Ἀθανάσιος.
Δέρκων Ἀνανίας.
Ἀδριανουπόλεως Καλλίνικος.
Κυζίκου Ἀγάπιος.
Χαλκηδόνος Παρθένιος.
Θεσσαλονίκης Ἰάκωβος.
Δράμας Γρηγόριος.
Ναυπλίου Μελέτιος.

Ε΄.

ΝΕΟΦΥΤΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΝΕΑΣ ΡΩΜΗΣ, ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ.

† Ἡ κηδεμονία καὶ πρόνοια τῶν ἁγίων Ἐκκλησιῶν καὶ τῶν ἱερῶν καὶ σεβασμίων Μοναστηρίων, τῶν εἰς δόξαν θεοῦ καὶ μνημόσυνον αἰώνιον τῶν ὀρθοδόξων κατὰ καιροὺς ἀνεγηγερμένων παρὰ φιλοθέων καὶ εὐσεβῶν ἀνδρῶν τῶν ἠγαπηκότων ἐξαιρέτως τὴν εὐπρέπειαν τῶν τοῦ Θεοῦ σκηνωμάτων, οὐ μόνον ὀφειλομένη ἐστὶ καὶ χρειώδης τοῖς παρ' αὐτοῦ ἠξιωμένοις τὴν προστασίαν

καὶ μέριμναν καὶ διοίκησιν τῶν τοιούτων εὐαγῶν οἴκων, ἀλλὰ καὶ πρὸ πάντων τῶν ἄλλων ἀναγκαιοτάτη καθέστηκεν. Ὅσα γὰρ συνιστῶσι τὴν εὐσέβειαν, καὶ τὴν τοῦ Θεοῦ καθαρὰν λατρείαν χαρακτηρίζουσι, καὶ πᾶσαν ἀρετὴν καὶ θεογνωσίαν τοὺς μυουμένους ἐκδιδάσκουσι, καὶ τὴν τῶν ψυχῶν σωτηρίαν ἐπιβραβεύουσιν, ἐν τούτοις τοῖς ἱεροῖς σκηνώμασι διενεργεῖσθαι ὀφείλουσι καὶ διεκπεραιοῦσθαι· ταύτῃ τοι καὶ ἡ τούτων διαδοχὴ καὶ συντήρησις ζέοντι πόθῳ φιλοθέως ἀνέκαθεν ἐσπουδάζετο τοῖς εὐαγγελικῶς προϊσταμένοις τοῦ ὀρθοδόξου λαοῦ, καὶ ἡ τούτων σύντονος μέριμνα καὶ φροντὶς οὐ διέλιπέ ποτε ἀπαραιτήτως ἐνεργουμένη· καὶ γὰρ ἀπρονόητα ἐναπομείναντα καὶ τῆς προσηκούσης κηδεμονίας ἐστερημένα εἰς φθορὰν παρεκτρέπεται, καὶ κατὰ μικρὸν ἐξίτηλα γίνεται, καὶ τῷ τῶν ὀρθοδόξων πληρώματι μεγάλη βλάβη καὶ ζημία προστρίβεται. Διὸ καὶ ἡ μετριότης ἡμῶν, κατὰ θείαν νεῦσιν τοὺς πνευματικοὺς οἴακας τοῦ παγκοίνου σκάφους ἐγκεχειρισμένη, οὐ διαλείπει ἀποδέχεσθαι εὐμενῶς τὰς θεοφιλεῖς αἰτήσεις τὰς ὑπὲρ τῶν ἱερῶν σκηνωμάτων γινομένας, ἐπὶ τῷ κατασφαλίζεσθαι αὐτὰς καὶ ἐπικυροῦσθαι, εἰς διαμονὴν καὶ συντήρησιν τῶν ἱερῶν καταγωγίων. Καὶ γὰρ προσεκομίσθη ἡμῖν καὶ πάσῃ τῇ περὶ ἡμᾶς ἀδελφότητι καὶ ἁγίᾳ συνόδῳ ἓν πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα, ἐκδοθὲν ἐπὶ τοῦ προκατόχου ἡμῶν κατὰ τὸ παρεληλυθὸς χιλιοστὸν ἑπτακοσιοστὸν ὀγδοηκοστὸν ἕκτον σωτήριον ἔτος, κατὰ μῆνα Ἰούλιον ἐπινεμήσεως τετάρτης, περιέχον, ὅτι τὸ κατὰ τὴν ἐπαρχίαν Χαλκηδόνος ἐν τῇ νήσῳ Ἀντιγόνου κείμενον ἱερὸν καὶ σεβάσμιον μοναστήριον, τιμώμενον ἐπ' ὀνόματι τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου, οἱ χρήσιμοι μαγίστορες τοῦ ρουφετίου τῶν καπήλων τῶν δουλευόντων ἐν τῇ βασιλευούσῃ τῶν πόλεων κατὰ τὸ Φανάριον, δηλαδή, Τζουπαλῆ, καὶ Παλατᾶ, καὶ Κοντοσκάλλιον καὶ Ὑψωμαθεῖα, θεῖον ζῆλον ἀναλαβόντες περιποιήσαντο αὐτὸ, καὶ οὐκ ὀλίγους ἀγῶνας κατέβαλον εἰς ἀνάκτησιν αὐτοῦ· τοῦ δὲ σκοποῦ αὐτῶν μὴ εἰς ἔκβασιν ἐλθόντος, ᾐτήσαντο ἐνθέρμως συνενῶσαι αὐτὸ τῷ κατὰ τὴν Πελοπόννησον κειμένῳ ἱερῷ ἡμετέρῳ πατριαρχικῷ καὶ σταυροπηγιακῷ μοναστηρίῳ τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, τοῦ μεγάλου Σπηλαίου ἐπικεκλημένῳ, εἰς ἀνάσωσιν αὐτοῦ καὶ ἀγαθὴν κατάστασιν, ἐνοριακοῦ μέν τοι τυγχάνοντος. Καὶ δὴ τὴν ἀφιέρωσιν αὐτοῦ ταύτην ἀποδεξάμενοι οἱ τοῦ πατριαρχικοῦ ἡμῶν καὶ σταυροπηγιακοῦ Μοναστηρίου ὁσιώτατοι Πατέρες, οὐκ ὀλίγους ἀγῶνας καταβαλόντες, περιεποιήσαντο πρὸς αὔξησιν καὶ βελτίωσιν αὐτοῦ. Ἀλλ' ἵνα διαμένῃ ἀπὸ τοῦδε καὶ εἰς τὸ ἑξῆς ἀναφαίρετον καὶ ἀναπόσπαστον ἀπὸ τοῦ πατριαρχικοῦ ἡμῶν ἐκείνου μοναστηρίου τοῦ μεγάλου Σπηλαίου, ἐξῃτήσαντο ἐνθέρμως ἀναδειχθῆναι καὶ τοῦτο ἡμέτερον πατριαρχικὸν καὶ σταυροπηγιακὸν, ἐλεύθερον, ἀδούλωτον, ἀκαταπάτητον, καὶ ἀνεπηρέαστον καὶ ἀσύδοτον, καὶ πάντῃ ἀνενόχλητον παρὰ παντὸς προσώπου ἱερωμένου καὶ λαϊκοῦ, ἡνωμένον δὲ, ἢ προσηλωμένον τῷ πατριαρχικῷ ἡμῶν Μοναστηρίῳ τοῦ μεγάλου Σπηλαίου, συναινούντων ἐν τούτῳ καὶ τῶν μαγιστόρων ἐκ τοῦ ρουφετίου τῶν καπήλων, καὶ πρὸ πάντων στέργοντος καὶ ἀποδεχομένου τὴν ἕνωσιν ταύτην τοῦ ἱερωτάτου μητροπολίτου Χαλκηδόνος, ὑπερτίμου καὶ ἐξάρχου πάσης Βιθυνίας, ἐν ἁγίῳ πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἡμῶν ἀδελφοῦ καὶ συλλειτουργοῦ κυρίου Ἱερεμίου· ὅστις ἰδίαις χερσὶ φέρων ἀπεκόμισεν, οἰκείᾳ αὐτοῦ βουλῇ καὶ αὐθαιρέτῳ γνώμῃ καὶ ἀβιάστῳ προαιρέσει, τὸ ῥηθὲν πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα, ἐξαιτούμενος κατὰ ζῆλον φιλόθεον τὴν παντελῆ ἐλευθερίαν τοῦ ῥηθέντος μοναστηρίου τοῦ ἁγίου Γεωργίου, καὶ τὴν ἐπισφράγισιν τῆς αἰτήσεως τῶν ὁσιωτάτων πατέρων, ὥστε ἀποκατασταθῆναι αὐτὸ ἡμέτερον πατριαρχικὸν σταυροπηγιακὸν μετὰ πάντων τῶν προσόντων αὐτῷ ἀφιερωμάτων, καὶ κτημάτων κινητῶν τε καὶ ἀκινήτων, ἀδούλωτον, ἀσύδοτον καὶ ἀκαταπάτητον, συνηνωμένον δὲ

καὶ προσηλωμένον τῷ ἱερῷ μοναστηρίῳ τοῦ μεγάλου Σπηλαίου, καὶ μετόχιον ἐκείνου λεγόμενον ἀναφαίρετον καὶ ἀναπόσπαστον. Ταύτην οὖν τὴν ἔνθερμον αἴτησιν αὐτῶν εὐμενῶς ἀποδεξάμενοι, καὶ ταῖς προσηκούσαις εὐφημίαις καταστεψάμενοι τὴν αὐτοῦ ἱερότητα, καὶ τὸν θεοφιλῆ αὐτοῦ σκοπὸν χριστομιμήτως προσηκάμενοι, ὡς εὔλογον καὶ νόμιμον καὶ πρὸς ὠφέλειαν τοῦ ῥηθέντος ἱεροῦ Μοναστηρίου ἀφορῶντα, ἔγνωμεν, γνώμῃ κοινῇ καὶ συνοδικῇ διαγνώσει, ἐπινεῦσαι πρὸς τὸ αἴτημα αὐτῶν. Τούτου χάριν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ ῥηθὲν ἱερὸν καὶ σεβάσμιον μοναστήριον τοῦ ἁγίου ἐνδόξου καὶ μεγαλομάρτυρος Γεωργίου, τὸ ἐν τῇ νήσῳ Ἀντιγόνου, ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ἡμέτερον πατριαρχικὸν σταυροπηγιακὸν Μοναστήριον, μετὰ πάντων τῶν ἱερῶν αὐτοῦ σκευῶν καὶ κτημάτων καὶ ἀφιερωμάτων κινητῶν τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων, ἀμπελίων καὶ κήπων (μπαχτσέδων), καὶ τῶν εἰσέπειτα προσγενησομένων ἄν, προσηλωμένον δὲ καὶ ἡνωμένον ἀναποσπάστως τῷ κατὰ τὴν Πελοπόννησον κειμένῳ σεβασμίῳ ἡμετέρῳ πατριαρχικῷ καὶ σταυροπηγιακῷ μοναστηρίῳ τοῦ μεγάλου Σπηλαίου, καὶ γνωρίζηται μετόχιον ἐκείνου, δεσποζόμενον καὶ διακυβερνώμενον παρὰ τοῦ κατὰ καιροὺς ἐνταῦθα εἰς βασιλεύουσαν τὰς διατριβὰς ποιουμένου ὁσιωτάτου καθηγουμένου τοῦ Βλὰχ Σαραγίου, μετοχίου τοῦ μεγάλου Σπηλαίου, καὶ τῶν συνασκουμένων αὐτῷ πατέρων, καὶ μόνον ὑπ' αὐτῶν διεξαγόμενον, ἐλεύθερον δὲ, ἀδούλωτον, ἀσύδοτον, ἀκαταπάτητον, καὶ μηδενὶ μηδὲν ὀφεῖλον διδόναι μήτε τῷ κατὰ τόπον ἀρχιερεῖ καὶ κυριάρχῃ τῆς ἐπαρχίας ἐκείνης ἱερωτάτῳ μητροπολίτῃ Χαλκηδόνος, μήτε ἄλλῳ τινὶ προσώπῳ ἱερωμένῳ καὶ λαϊκῷ μέχρις ὀβολοῦ, μνημονευομένου ἐν αὐτῷ τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς καὶ ἀκολουθίαις, ὡς νενόμισται καὶ εἴθισται τοῖς πατριαρχικοῖς ἡμῶν σταυροπηγιακοῖς μοναστηρίοις· μηδ' ἔχῃ ποτὲ ἄδειαν ὁ κατὰ καιροὺς ἱερώτατος μητροπολίτης Χαλκηδόνος, μηδ' ἄλλος τις ὁποιασοῦν τάξεως καὶ βαθμοῦ, ἱερωμένος, ἢ λαϊκὸς ἐπηρεάσαι, ἐνοχλῆσαί τε καὶ καταπατῆσαι τὴν ἐνοῦσαν αὐτῷ σταυροπηγιακὴν ἡμῶν χάριν καὶ ἐλευθερίαν, ἢ ὅλως ἀπαίτησίν τινα πολλὴν ἢ ὀλίγην μέχρι καὶ τοῦ ἐλαχίστου προβαλεῖν, ἢ βίαν ἐπενεγκεῖν τοῖς ἐν αὐτῷ συνασκουμένοις πατράσι καὶ ἰδιώταις, ἐφ' οἱᾳδήτινι αἰτίᾳ καὶ προφάσει. Οἱ δὲ ἐν αὐτῷ συνασκούμενοι πατέρες ὀφείλουσι διάγειν ἐν εἰρήνῃ, καὶ πολιτεύεσθαι εὐτάκτως, καὶ ῥυθμίζειν τὸν ἑαυτῶν βίον κατὰ τὸ μοναδικὸν ἐπάγγελμα καὶ πρὸς τὸν κανόνα τῆς ὀφειλομένης ἀσκήσεως. Καὶ ἐπειδὰν ἐν χρείᾳ χειροτονίας καὶ ἀρχιερατικῆς λειτουργίας καὶ μνημοσύνου γένωνται, ἔχουσι πᾶσαν ἄδειαν προσκαλεῖν ὃν ἂν βούλωνται τῶν ἀρχιερέων, διὰ πατριαρχικῆς μέντοι ἐκδόσεως, ἐπὶ τῷ ἐκτελεῖν τὰς ἀρχιερατικὰς λειτουργίας καὶ μνημόσυνα καὶ χειροτονίας αὐτῶν μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως. Ἔτι δὲ ὁ κατὰ καιρὸν προϊστάμενος τοῦ αὐτοῦ μοναστηρίου ἡγουμενεύων, ὡς γηραιὸς καὶ ἄξιος, ἔχῃ ἄδειαν ἐκτελεῖν τὸ τῆς πνευματικῆς πατρότητος ἱερὸν λειτούργημα, καὶ ἐξομολογεῖν τοὺς προσερχομένους αὐτῷ συγκοινοβιάτας πατέρας καὶ μοναχοὺς καὶ λοιποὺς χριστιανοὺς ἐντὸς τοῦ ἱεροῦ Μοναστηρίου, καὶ ἀνερευνᾷν τὰ βάθη τῶν καρδιῶν αὐτῶν, δι' ἐκκλησιαστικοῦ μέντοι ἐνταλτηριώδους γράμματος, ὡς νενόμισται. Τὰς δὲ ἐκλογὰς καὶ ἀποκαταστάσεις τῶν ἐν αὐτῷ προϊσταμένων, καὶ τὰς λοιπὰς μοναστηριακὰς διοικήσεις ἔχωσι ποιεῖν τῇ εἰδήσει καὶ γνώμῃ τῶν πρωτίστων πατέρων τοῦ ἱεροῦ Μοναστηρίου τοῦ μεγάλου Σπηλαίου, μηδὲν τολμῶντες ἐν μηδενὶ παραβῆναι καὶ ἀθετῆσαι τὴν ἐπιχορηγηθεῖσαν αὐτῷ σταυροπηγιακὴν χάριν, καὶ τὴν ἕνωσιν καὶ προσήλωσιν αὐτοῦ πρὸς τὸ ἱερὸν Μοναστήριον τοῦ μεγάλου Σπηλαίου. Ὃς δ' ἂν καὶ ὁποῖος ἐπιχειρήσῃ οἱῳδήτινι τρόπῳ ἀνατρέψαι

ὁπωσοῦν τὰ ἐν τῷ παρόντι συνοδικῶς ἀποφανθέντα καὶ ἐπικυρωθέντα, καὶ ὑπὸ δουλείαν ἀγαγεῖν καὶ φόρον τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο Μοναστήριον, ἢ ἀποσπᾶσαι καὶ ἀποξενῶσαι ἀπὸ τοῦ ῥηθέντος ἱεροῦ Μοναστηρίου τοῦ μεγάλου Σπηλαίου, ὁ τοιοῦτος, ὁποίας ἂν ᾖ τάξεως καὶ βαθμοῦ, ἀφωρισμένος ὑπάρχει παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου μακαρίας Τριάδος, τοῦ ἑνὸς τῇ φύσει καὶ μόνου Θεοῦ, καὶ κατηραμένος καὶ ἀσυγχώρητος καὶ μετὰ θάνατον ἄλυτος καὶ τυμπανιαῖος, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος, καὶ ὑπόδικος τῷ αἰωνίῳ ἀναθέματι, καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης. Ταῦτα γοῦν ἀπεφάνθη, καὶ κεκύρωται κατὰ κοινὴν γνώμην καὶ συνοδικὴν διάγνωσιν. Εἰς δὲ τὴν περὶ τούτων ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἀπελύθη καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγιλλιῶδες γράμμα, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, καὶ ἐδόθη εἰς τὸ ῥηθὲν ἱερὸν ἡμέτερον πατριαρχικὸν καὶ σταυροπηγιακὸν μοναστήριον τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου, τὸ ἐν τῇ νήσῳ Ἀντιγόνου. Ἐν ἔτει αψϛϐ'· κατὰ μῆνα Ἰαννουάριον· ἐπινεμήσεως α'.

Νεόφυτος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης.

Καισαρείας Γρηγόριος.
Ἡρακλείας Μεθόδιος.
Νικομηδείας Ἀθανάσιος.
Δέρκων Ἀνανίας.
Ἐφέσου Σαμουήλ.
Κυζίκου Ἀγάπιος.
Χαλκηδόνος Ἱερόθεος.
Ἄρτης Μακάριος.

ϛ'.

ΓΡΗΓΟΡΙΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΝΕΑΣ ΡΩΜΗΣ, ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ.

† Ὅσα μὲν κατὰ τοὺς θείους θεσμοὺς καὶ τοὺς ἱεροὺς ἀποστολικοὺς καὶ συνοδικοὺς κανόνας τυγχάνει διακυβερνώμενα, πολλὴν ἔχουσι τὴν χάριν παρὰ Θεοῦ, καὶ τὸ κλέος μέγιστον· ὅσα δὲ τοὐναντίον παραβαίνει τῶν ὅρων ἐκτρεπόμενα, ἐν τούτοις προφανὴς ἡ ἀκοσμία, καὶ κατάδηλος ἡ φθορά, καὶ ἐπὶ πᾶσιν ἡ τῶν ψυχῶν ἀπώλεια. Εἰ γάρ, καθάπερ οἱ περὶ τῶν καθ' ἕκαστα ἐκκλησιῶν νόμοι, οὕτω καὶ οἱ περὶ τῶν σταυροπηγιακῶν μοναστηρίων, τῶν ὑπὸ τῷ καθ' ἡμᾶς ἀποστολικῷ καὶ οἰκουμενικῷ Θρόνῳ, ἀπαράτρεπτοι διαφυλάττοντο, καὶ τῆς κατὰ νόμους ἐπιμελείας καὶ προστασίας κἀκεῖνα ἠξιοῦντο παρὰ τῶν ἀεὶ πατριαρχευόντων, οὐκ ἂν τοσαῦτα καὶ τηλικαῦτα τὰ δεινὰ τοῖς μοναστηρίοις συνέβαινεν· ἀλλ' ἐπειδή, οὐκ οἴδαμεν ὅπως τῶν ἱερῶν παρημελημένων νόμων, εἰς τοσαύτην προῆλθον ἀκαταστασίαν καὶ ἐλεεινὴν ἀπώλειαν τὰ ἱερὰ ταῦτα καταγώγια, διὰ ταῦτα εὐθὺς ἀνειληφόσιν ἡμῖν τοὺς οἴακας τοῦ παγκοίνου τουτουὶ σκάφους, ἔδοξε πρὸς τοῖς ἄλλοις καὶ τὰ παρημελημένα αὐτὰ εὐαγῆ μοναστήρια διορθώσασθαι, ἀφορῶσι πρὸς τὸ ἐκείνων συμφέρον, ὡς μέλη γνήσια ὄντα τῆς καθ' ἡμᾶς ἁγίας τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, καὶ τῷ σταυροπηγιακῷ καὶ πατριαρχικῷ προνομίῳ τετιμημένα· ἄλλως τε οὐδὲ καινούς τινας ἀφ' ἑαυτῶν νόμους φέρομεν, ἀλλ' ἀρχαίους τοῖς ἐνασκουμένοις καὶ γεραρούς. Τὴν γὰρ τῶν ἐκκλησιαστικῶν πραγμάτων προστασίαν τοῖς ἐπισκόποις ἐπιτρέπουσιν οἱ ἱεροὶ νόμοι καὶ κανόνες, τὸν τοῦ Θεοῦ νόμον προτίθεσθαι

διακελευόμενοι, ἵνα, εἴγε δέοιντο, καὶ αὐτοὶ μεταλαμβάνωσιν, ὃν τρόπον ὁ λή. τῶν ἁγίων Ἀποςόλων Κανὼν, καὶ ὁ κέ. τῆς ἐν Ἀντιοχείᾳ ἱερᾶς Συνόδου, καὶ ἡ ἐν Χαλκηδόνι· οὐμὴν ἀλλὰ καὶ τῆς ἐν Νικαίᾳ, ὅ,τε ιά. καὶ ὁ ιβ΄., καὶ τῆς ἐν Ἀγκύρᾳ ὁ ιέ., καὶ ὁ μθ΄. τῆς ἐν Τρούλλῳ, καὶ ἄλλοι πλεῖστοι ὅσοι σεπτοὶ νόμοι καὶ κανόνες σαφῶς φαίνονται τὴν τῶν ἱερῶν μοναστηρίων ἐξουσίαν τοῖς ἐπισκόποις διδόντες, ὥστε μεταλαμβάνειν μὲν καὶ αὐτοὺς τῶν δεόντων, εἴγε δέοιντο εἰς τὰς ἑαυτῶν χρείας, τὴν δὲ περὶ ἐκεῖνα ἐπιμέλειαν μεγίστην τε καὶ ὡς Θεοῦ ἐφορῶντος ποιεῖσθαι, ἵνα προστατεύωσιν αὐτῶν, καὶ οἰκονόμους καὶ ἐπιτρόπους καὶ ἡγουμένους ἀποκαθιστῶσιν ἐν αὐτοῖς, καλῶς περὶ τῆς αὐξήσεως καὶ βελτιώσεως τούτων ἐπιμελούμενοι, ἵνα μὴ δι' ἀμέλειαν ἔνοχοι γένωνται τοῖς ἐκ τῶν νόμων ἐπιτιμίοις. Οἱ δὲ οἰκονόμοι, ἡγούμενοί τε καὶ ἐπίτροποι, διαμένωσιν ὑπὸ τὴν ἐξουσίαν τῶν ἐπισκόπων, καὶ δίχα τῆς ἀδείας αὐτῶν μήτε πωλῶσι μήτ' ἀγοράζωσι μοναστηριακόν τι κτῆμα, ἀλλ' οἰκονομῶσι καλῶς πρὸς τὴν ἐκείνων ὁδηγίαν καὶ ἄδειαν· ὅπως μὴ καὶ αὐτοὶ, ὡς ἀνατρέποντες τοὺς ἐκκλησιαστικοὺς τούτους ὅρους καὶ κανόνας, βαρυτάτοις ὑποπέσωσι τοῖς ἐπιτιμίοις καὶ τιμωρίαις. Ταῦτα μὲν οὖν οἱ θεῖοι νόμοι ἀποφαίνονται περὶ τῶν ἱερῶν μοναστηρίων· τούτων δὲ τὰ μὲν τοῖς κατὰ τόπον ἐπιτετραμμένοις ἐνοριακὰ τῆς προσηκούσης ἀρχιερατικῆς, ὡς εἰκὸς, ἐπ' αὐξήσει τυγχάνει ἐπιμελείας· μόνα δὲ τὰ τῇ σταυροπηγιακῇ ἀξίᾳ τετιμημένα, οὐκ οἴδαμεν ὅπως, πρὸ χρόνων πολλῶν παρημέληται· καὶ δέον, ὡς Θεοῦ ἐφορῶντος διοικεῖσθαι αὐτὰ, καὶ ἐκ παντὸς τρόπου ἐπιμελείας τῆς ἀναλόγου ἀξιοῦσθαι· ὅπως τῶν ἐν αὐτοῖς ἀγαθῶν, τὰ μὲν ὑπάρχοντα διαμένῃ, περιποιῆται δὲ τὰ προσγενησόμενα ἄν· τῶν δὲ φαύλων, τὰ μὲν προσόντα ἀποδιοπομπῆται, τὰ δὲ συμβησόμενα ἂν διακωλύωνται. Τοιαύτην οὖν κατὰ νόμους τὴν ὑπὲρ αὐτῶν ἁπάντων τῶν σταυροπηγιακῶν ἡμῶν μοναστηρίων καθόλου φροντίδα κατεβάλλομεν, ἐπιθέμενοι, κατὰ κοινὴν γνώμην καὶ συνοδικὴν διάγνωσιν, ἱερὸν τόμον ἀποφαινόμενον συνῳδὰ τοῖς ἱεροῖς νόμοις, καὶ τοῖς ὧδε γραφομένοις, περὶ τῆς ἐξῆς ἀρίστης διοικήσεως ἑκάστου σταυροπηγιακοῦ μοναστηρίου, καὶ εὐνομίας τῶν ἀσκουμένων ὁσιωτάτων πατέρων, καὶ τῆς δυνατῆς ἀντιλήψεως καὶ ἀμέσου προστασίας αὐτῶν παρὰ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, ἀνανεοῦντες τὰ παλαιγενῆ πατριαρχικὰ καὶ συνοδικὰ αὐτῶν σιγίλλια δωρεὰν, καὶ ἐπικυροῦντες ἅπαξ τὰ σταυροπηγιακὰ αὐτῶν προνόμια εἰς διηνεκῆ συντήρησιν αὐτῶν καὶ ἀσφάλειαν, μὴ δεόμενα ποτὲ ἀνανεώσεως καὶ ἐπικυρώσεως· ὡς καὶ περὶ τοῦ ἐν τῇ κατὰ τὴν Πελοπόννησον ἐπισκοπῇ Κερνίτζης ἱεροῦ καὶ σεβασμίου Μοναστηρίου τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἐπικεκλημένου Μέγα Σπήλαιον. Ἐνεφανίσθη γὰρ ἤδη ἡμῖν πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα τοῦ ἀοιδίμου ἐν πατριάρχαις Παϊσίου, ἐπικυροῦν ἴσον ἀρχαίου συνοδικοῦ γράμματος τοῦ ἀοιδίμου Παρθενίου, περιέχοντος, ὅτι τὸ Μοναστήριον τοῦτο ἔχει τὴν σεπτὴν καὶ ἱερὰν εἰκόνα τῆς Θεομήτορος τὴν ἱστορηθεῖσαν παρὰ τοῦ πανευφήμου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ· καὶ ὅτι ἀνέκαθεν διὰ σιγιλλίων καὶ βασιλικῶν χρυσοβούλλων ςαυροπηγιακῇ ἀξίᾳ τετίμηται· καὶ ὅτι ἐν συμβάσῃ ἐκεῖ πυρκαϊᾷ, κατακαέντων πάντων τῶν ἐν τῷ σκευοφυλακείῳ χρυσοβούλλων, σιγιλλίων, καὶ ἄλλων γραμμάτων τε καὶ πραγμάτων, μόλις οἱ ἐκεῖ πατέρες ἠδυνήθησαν διασῶσαι τὴν ῥηθεῖσαν ἱερὰν εἰκόνα, χάριτας βρύουσαν τοῖς μετ' εὐλαβείας προσερχομένοις· καὶ ἀποφαινόμενον ἵνα τὸ Μοναστήριον τοῦτο, κατὰ τὸ ἔκπαλαι, ὑπάρχῃ πάντῃ ἐλεύθερον ςαυροπήγιον, μετὰ τῶν ὑποτελούντων αὐτῷ ἐν διαφόροις τόποις κειμένων μετοχίων, ἅτινα εἰσὶ ταῦτα: Τὸ κατὰ τὰ Μαῦρα Βουνὰ μετόχιον σὺν τῇ Ἐκκλησίᾳ τοῦ ἁγίου Νικολάου, καὶ τοῖς συνημμένοις αὐτῷ τόποις· τὸ κατὰ τὰ Τρυπία μετὰ τῆς Ἐκκλησίας τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοςόμου, καὶ τῶν τόπων αὐτοῦ· ὁ ἅγιος Νικόλαος μετὰ τῶν

ἐλαιοφύτων καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Πανηγυρίστραν μετὰ τῆς Ἐκκλησίας τῆς ἁγίας Τριάδος, καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὸν Σταυροέλατον μετὰ τῆς Ἐκκλησίας τῶν Εἰσοδίων, καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Σάλμεναν μετὰ τῆς Ἐκκλησίας τῶν ἁγίων Ἀποστόλων, καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὰ Σταυρία μετὰ τῆς Ἐκκλησίας τῆς ἁγίας Μαρίνης, καὶ τῶν τόπων αὐτοῦ· τὸ κατὰ τὴν Γουμένιτζαν σὺν τοῖς τόποις αὐτοῦ· τὸ ἐν τῇ παλαιᾷ Πάτρᾳ ὀσπήτιον σὺν ἄλλοις τόποις· τὸ ἐν τῷ Καλαμακίῳ μετὰ τῆς Ἐκκλησίας καὶ τῶν τόπων αὐτοῦ· τὸ Μέγα Ἀμπέλιον μετὰ τῆς Ἐκκλησίας τοῦ ἁγίου Ἀθανασίου· τὸ ἐν τῇ Βοστίτζῃ μετόχιον μετὰ τῶν τόπων αὐτοῦ, καὶ ὅσα ἄλλα ἀμπέλια, χωράφια, κήπους, δένδρα, καὶ ἄλλα ἀφιερώματα ἔχει ἐν τῇ ἐπαρχίᾳ παλαιῶν Πατρῶν καὶ ταῖς ὑποκειμέναις αὐτῇ ἐπισκοπαῖς· μετὰ τούτων οὖν καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ πραγμάτων καὶ ἀφιερωμάτων αὐτοῦ ὑπάρχει σταυροπήγιον· καὶ ὅπως ὁ Ἡγούμενος ἔχῃ τὴν ἄδειαν σφραγίζειν ἀναγνώστας ἔνδον τῆς Μονῆς· καὶ παρέχειν ἄδειαν καὶ τοῖς ἀξίοις ἱερομονάχοις δέχεσθαι τοὺς λογισμοὺς τῶν συνασκουμένων πατέρων, καὶ μηδεὶς τῶν ἡγουμένων δύνηται καθιστᾶν ἐπιτρόπους κοσμικοὺς καὶ λαϊκοὺς ἄνδρας, ἐπὶ τῷ θεωρεῖν μοναστηριακὰς αὐτῶν ὑποθέσεις, ἀλλ᾽ ὑπὸ τῆς κοινότητος τῶν πατέρων αὗται διαπεραίνωνται· καὶ μηδεὶς τῶν προσηλωθέντων τῇ Μονῇ ταύτῃ δύνηται λειποτακτεῖν ἄνευ ἀδείας τοῦ ἡγουμένου, καὶ νομίμου αἰτίας· ὁ δὲ παρὰ ταῦτα πράττων, ἱερωμένος μὲν, ἔνοχος ὑπάρχῃ καθαιρέσει, μοναχὸς δὲ ἀφορισμῷ, μέχρι τοῦ ἐπιστρέψαι εἰς τὴν μετάνοιαν αὐτοῦ. Εἰς ἀνακαίνισιν οὖν τούτου γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὸ Μοναστήριον τοῦτο μετὰ τῶν ἀνωτέρω ἀπηριθμημένων μετοχίων αὐτοῦ, καὶ μετὰ τοῦ ἐν τῇ νήσῳ Ἀντιγόνου μοναστηρίου τοῦ ἁγίου Γεωργίου Καρύπι ἐπιλεγομένου, ὄντος κἀκείνου μετοχίου τοῦ μοναστηρίου τούτου, κατὰ τὸ ἐπὶ τοῦ προπατριαρχεύσαντος Νεοφύτου πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα, καὶ μετὰ τῆς ἐν τῷ Βλὰχ Σεραγίῳ τῆς Κωνσταντινουπόλεως κατὰ τὸν Ταχτὰ Μιναρὲ Ἐκκλησίας τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, κατὰ τὰ περὶ τούτου πανέκλαμπρα αὐθεντικὰ χρυσόβουλλα, καὶ μετὰ τοῦ νεωνήτου μετοχίου τοῦ Ἀλῆ Τσελεπῆ μετὰ τῆς Ἐκκλησίας αὐτοῦ, καὶ μετὰ πάντων τῶν λοιπῶν κτημάτων καὶ πραγμάτων αὐτοῦ καὶ ἀφιερωμάτων κινητῶν τε καὶ ἀκινήτων, τῶν τε ἤδη ὄντων καὶ τῶν εἰσέπειτα προσγενησομένων ἂν, ὡς ἀνέκαθεν καὶ ἐξ ἀρχῆς, οὕτω καὶ εἰς τὸν ἑξῆς ἅπαντα χρόνον ὑπάρχῃ καὶ λέγηται καὶ παρὰ πάντων γινώσκηται ἡμέτερον πατριαρχικὸν, σταυροπηγιακὸν, ἀδούλωτον, ἀκαταπάτητον καὶ ὅλως ἀνενόχλητον παρ᾽ οὑτινοσοῦν προσώπου ἱερωμένου ἢ λαϊκοῦ, μνημονευομένου ἐν αὐτῷ τοῦ κανονικοῦ πατριαρχικοῦ ὀνόματος, ἔχον καὶ προνόμιον κατὰ πατριαρχικὴν φιλοτιμίαν, ὥστε τὸν κατὰ καιροὺς ἐν αὐτῷ ἡγούμενον, ἐν ταῖς ἑορτασίμοις ἡμέραις, φορεῖν ἐπ᾽ ἐκκλησίας μανδύαν, προχειριζόμενον καὶ πατερίτζαν. Ἀποφαινόμεθα δὲ καὶ τὰ ἐφεξῆς· ἵνα, πρῶτον μὲν ὑπάρχῃ ἀπηλλαγμένον πάσης ἐξαρχικῆς ἐξουσίας καὶ δεσποτείας· δεύτερον δὲ, λόγῳ ὑποταγῆς, ἀποδιδῷ καθ᾽ ἕκαστον ἔτος ἀπαραιτήτως γρόσια τριακόσια εἰς τὸ κοινὸν τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας, καὶ λαμβάνῃ ἐξοφλητικὴν ἀπόδειξιν· καὶ οὕτως ᾖ διατηροῦν τὸ ἀρχαῖον γεραρὸν τῆς σταυροπηγιακῆς ἀξίας προνόμιον, καὶ καλῶς διοικούμενον, ὡς μέλος γνήσιον τοῦ καθ᾽ ἡμᾶς ἁγιωτάτου ἀποστολικοῦ καὶ πατριαρχικοῦ Θρόνου· ὁ δ᾽ ἐν αὐτῷ κατὰ καιροὺς ἡγούμενος, ὥσπερ ὁ Ἀρχιερεὺς, οὕτω καὶ αὐτὸς γράφῃ ἀμέσως πρὸς τὴν καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλην Ἐκκλησίαν, καὶ ἀξιῶται τῆς προσηκούσης ὑπερασπίσεως ἐν ταῖς συμβαινούσαις χρείαις καὶ ὑποθέσεσι· τρίτον, ἵνα διαφυλάττωνται καταγεγραμμένα ἐν τῷ

διωρισμένῳ κώδηκι τῆς μεγάλης Ἐκκλησίας ἅπαντα τὰ κτήματα καὶ ἀφιερώματα αὐτοῦ καὶ τὰ χρέη καὶ τὸ τοῦ ἡγουμένου ὄνομα· τέταρτον, τὸ σιγίλλιον αὐτοῦ ἔχῃ μένειν ἀπαράτρεπτον καὶ ἀπαράβατον, μὴ δεόμενον ποτὲ ἀνανεώσεως καὶ ἐπικυρώσεως ἐκκλησιαστικῆς· πέμπτον, ἐπειδὰν ἐν ςερήσει ἡγουμένου γένωνται, φυλαττομένης ἀπαραβάτου τῆς ἀρχαίας μοναςηριακῆς τάξεως, ἔχωσιν ἄδειαν ἐκλέγειν ἕνα ἐκ τῆς συνοδίας αὐτῶν, τὸν κοινῶς ἀναφανέντα ἄξιον, καὶ τοῦτον ἀποκαθιςᾷν Ἡγούμενον, ἐκτὸς εἰμὴ εἴη διαφωνία τῶν προκριτοτέρων πατέρων περὶ τῆς ἐκλογῆς τοῦ νέου ἡγουμένου· τότε γὰρ δι' ἐνυπογράφων ἀναφορῶν ὀφείλουσιν ἀναφέρειν τὴν ὑπόθεσιν ταύτην εἰς τὸν κατὰ καιροὺς οἰκουμενικὸν Πατριάρχην, περιγράφοντες ἐν φόβῳ Θεοῦ τὰ ἤθη, τὸν βίον, καὶ τὴν φρόνησιν τῶν εἰς ἐκλογὴν ἐπὶ τῇ ἡγουμενείᾳ προκειμένων μοναςηριακῶν πατέρων, ἵνα, ἐπικρίσεως ἐκκλησιαςικῆς ἀκριβοῦς γενομένης πρὸς τὸ κοινῇ συμφέρον τοῦ ἱεροῦ τούτου μοναςηρίου, ἀποκαθιςᾶται διὰ πατριαρχικοῦ ἐκκλησιαςικοῦ γράμματος καὶ διορίζηται ὁ νέος ἡγούμενος, σημειουμένου καὶ τοῦ ὀνόματος αὐτοῦ ἐν τῷ ῥηθέντι κώδηκι· ἕκτον, ἡ σφραγὶς τοῦ μοναςηρίου νὰ διαιρεθῇ εἰς τμήματα τέσσαρα, καὶ ἡ μὲν λαβὴ παρακατατεθειμένη ὑπάρχῃ τῷ ἡγουμένῳ, τὰ δὲ τέσσαρα τμήματα, τέσσαρσι συγκοινοβιάταις πατράσιν, ἐκλεγόμενοις κοινῶς παρὰ πάντων τῶν συγκοινοβιατῶν πατέρων· ἕβδομον, οἱ ἐπιτετραμμένοι τὰ τέσσαρα τμήματα καὶ τὴν λαβὴν, μὴ ἔχωσιν ἄδειαν καθ' ἑαυτοὺς σφραγίζειν μοναςηριακὰς χρεωςικὰς ὁμολογίας, ἀλλ' ἐπὶ παρουσίᾳ τῶν προκριτοτέρων ἐν τοῖς συγκοινοβιάταις, ὑπογραφομένων κἀκείνων ἰδίαις χερσίν· αἱ δὲ μὴ κατὰ τὸν εἰρημένον τρόπον γεγραμμέναι καὶ ἐσφραγισμέναι ὁμολογίαι νομίζωνται μὴ τοῦ Μοναςηρίου, ἀλλ' ἴδιαι τῶν κατ' ἰδίαν σφραγισάντων, καὶ ἐκεῖνοι ἐξ ἰδίων ἀποπληρῶσι τὰς ἐμπεριεχομένας ἐν ταῖς τοιαύταις ὁμολογίαις χρηματικὰς ποσότητας· οὗτοι δὲ, δηλαδὴ ὁ ἡγούμενος μετὰ τῶν τεσσάρων τῶν ἐπιτετραμμένων τὰ τῆς σφραγῖδος τμήματα, ἔχωσι πᾶσαν πληρεξουσιότητα τῆς Ἐκκλησίας ἐπιτιμᾷν, σωφρονίζειν, ἀποβάλλειν ἐκ τῆς Μονῆς τοὺς ἀτακτοῦντας καὶ ἐκνευροῦντας τοὺς μετερχομένους τὸ ἆθλον τῆς ἀσκήσεως, καὶ μὴ πειθομένους, τελευταῖον, διὰ κοινῆς αὐτῶν ἀναφορᾶς ἀναγγέλλειν τῇ Ἐκκλησίᾳ· ὄγδοον, μηδεὶς τοῦ Μοναστηρίου τούτου δύνηται πωλεῖν τοῦ λοιποῦ μοναστηριακὸν ὑποστατικὸν, ἄνευ τῆς νομίμου εἰδήσεως τοῦ κατὰ καιρὸν οἰκουμενικοῦ Πατριάρχου, εἰμὴ μόνον τὰς κατ' ἔτος ἐπικαρπίας, καὶ τὰ γεννήματα, καὶ τὰ μοναστηριακὰ θρέμματα, διὰ τὰς ἀναγκαίας αὐτῶν χρείας· ἔννατον, ἐπειδὰν ἐν χρείᾳ χειροτονίας γένωνται, ἔχωσιν ἄδειαν προσκαλεῖν εἰς τὸ σταυροπηγιακὸν ἡμῶν τοῦτο Μοναστήριον, ὃν ἂν βούλωνται τῶν ἀρχιερέων φέροντα ἔγγραφον ἄδειαν πατριαρχικὴν καὶ συνοδικὴν, ἐπὶ τῷ ἐκτελεῖν αὐτὰς μετὰ πάσης τῆς κανονικῆς παρατηρήσεως· δέκατον δὲ καὶ τελευταῖον, ὀφείλουσιν οἱ ἐν αὐτῷ συνασκούμενοι ὁσιώτατοι πατέρες φυλάττειν τὰ ἐν τῷ παρόντι ἐκτεθέντα, ἀπαράτρεπτα καὶ ἀπαράβατα διὰ παντὸς, καὶ πείθεσθαι τῷ κατὰ καιροὺς ἡγουμένῳ, καὶ διάγειν σεμνῶς, εἰρηνικῶς, καὶ ἀμέμπτως κατὰ τὸν τύπον τοῦ μοναδικοῦ ἐπαγγέλματος, ἀφορῶντες πρὸς τὴν κοσμιότητα αὐτῶν καὶ τὴν κατὰ Θεὸν διαγωγὴν καὶ πολιτείαν, καὶ πρὸς τὴν βελτίωσιν καὶ αὔξησιν τοῦ ἱεροῦ ἡμῶν τούτου σταυροπηγιακοῦ καταγωγίου, ἑπόμενοι τῷ θεοφιλεῖ σκοπῷ τῆς Ἐκκλησίας, τῆς ἀγρύπνως προνοούσης περὶ τῆς εὐσταθείας τῶν ὑποκειμένων αὐτῇ σταυροπηγιακῶν ἱερῶν μοναστηρίων, καὶ ἐν ταῖς ἱεραῖς ἀκολουθίαις διαφυλάττειν τὴν ἀρχαίαν διατύπωσιν ἀπαράτρεπτον. Ὅστις δὲ καὶ ὁποῖος τῶν χριστιανῶν ἱερωμένος ἢ λαϊκὸς, ὁποιασοῦν τάξεως καὶ βαθμοῦ, τολμήσῃ παραβῆναι ὁπωσοῦν τὰ ἐν τῷ παρόντι νομίμως καὶ κανονικῶς ἀποφανθέντα, καὶ ἀνατρέψαι τι τῶν ἀνωτέρω καταγεγραμμένων, ὁ τοιοῦτος ἀφωρισμένος εἴη καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ

μετὰ θάνατον ἄλυτος, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος, καὶ ὑπόδικος καὶ ἔνοχος τῷ αἰωνίῳ πυρὶ τῆς γεέννης. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν, ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν συνοδικὸν σιγιλλιῶδες γράμμα ἐν μεμβράναις, καταστρωθὲν κἀν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης Ἐκκλησίας τῷ ἐπ' αὐτῷ τούτῳ διορισθέντι, καὶ ἐδόθη εἰς τὸ ῥηθὲν μοναστήριον. Ἐν ἔτει Σωτηρίῳ, χιλιοστῷ ἑπτακοσιοστῷ ἐννενηκοστῷ ὀγδόῳ, κατὰ μῆνα Φεβρουάριον, ἐπινεμήσεως πρώτης.

Γρηγόριος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ἐφέσου Σαμουήλ. — *Ἡρακλείας Μελέτιος.*
Κυζίκου Ἰωαννίκιος. — *Νικομηδείας Ἀθανάσιος.*
Νικαίας Καλλίνικος. — *Δέρκων Μακάριος.*
Θεσσαλονίκης Γεράσιμος. — *Νεοκαισαρείας Ἡσαΐας.*
Λαρίσσης Διονύσιος. — *Εὐρίπου Ἱερόθεος.*

Ζ'.

ΙΩΑΝΝΗΣ ΓΡΗΓΟΡΙΟΣ ΑΛΕΞΑΝΔΡΟΥ ΓΚΙΚΑΣ ΒΟΕΒΟΔΑΣ, ΕΛΕΩ ΘΕΟΥ ΑΥΘΕΝΤΗΣ ΚΑΙ ΗΓΕΜΩΝ ΠΑΣΗΣ ΟΥΓΚΡΟΒΛΑΧΙΑΣ.

Μέγιστον ὄντως καὶ ἐπαινετὸν παρά τε Θεῷ καὶ ἀνθρώποις τὸ τῆς ἐκκλησιαστικῆς εὐκοσμίας μεριμνᾶν τοὺς ἐν ἀρχῇ ὄντας, καὶ τῆς τῶν ἱερῶν καταγωγίων συστάσεως καὶ βελτιώσεως φροντίζειν, καὶ τῆς καλῆς διαγωγῆς αὐτῶν κήδεσθαι· καὶ μέγιστον καύχημα πρὸς Θεὸν οἱ οὕτω διακείμενοι κέκτηνται, καὶ ἐν ἀγαλλιάσει ψυχῆς κατὰ τὸν προφητάνακτα Δαβὶδ μετὰ παῤῥησίας τῷ Θεῷ ἐκβοῶσι, « Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου », καὶ τὴν ἑαυτῶν σωτηρίαν διὰ τοῦτο θαῤῥοῦσι παρὰ Θεοῦ ζητεῖν λέγοντες, « Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου »· ὥστε οἱ περὶ τὴν σύστασιν τῶν ἱερῶν καταγωγίων προσανέχοντες, καὶ τῆς τούτων συστάσεώς τε καὶ εὐπρεπείας ἐφιέμενοι εὐτόλμως παρὰ Θεοῦ τὴν ἄφεσιν τῶν ἑαυτῶν ἁμαρτιῶν ἐξαιτοῦνται, ἐξιλεούμενοι τὴν αὐτοῦ ἀγαθότητα διὰ τῆς πρὸς τοὺς ἱεροὺς αὐτοῦ ναοὺς μερίμνης τε καὶ ἐπιμελείας· καὶ μάλα δικαίως, ἐν αὐτοῖς γὰρ ὑμνεῖται τὸ ἅγιον αὐτοῦ ὄνομα ἀεννάως, καὶ δοξολογεῖται παρὰ πάντων τῶν εὐσεβῶν μετὰ συντριβῆς καρδίας καὶ ταπεινώσεως. Αὐτῆς τοίνυν ταύτης τῆς ἐκκλησιαστικῆς εὐκοσμίας, κατὰ μίμησιν τοῦ ἐν μακαρίᾳ τῇ λήξει ἀοιδίμου θείου ἡμῶν Ἰωάννου Γκίκα Βοεβόδα καὶ λοιπῶν φιλελεημόνων ἀδελφῶν ἡμῶν Αὐθεντῶν, φροντίζοντες καὶ ἡμεῖς κατ' ὀφειλὴν ἀπαραίτητον, καὶ τῆς τῶν ἱερῶν καταγωγίων συστάσεως ὑπέρ τι ἄλλο ἐφιέμενοι, ἔγνωμεν, ὡς θεόθεν τὴν διοίκησιν τοῦ αὐθεντικοῦ Θρόνου τῆς Δακίας λαχόντες καὶ τὰς αὐθεντικὰς αὐτῆς ἡνίας διέποντες, τὴν ἐν τῇ βασιλευούσῃ τῶν πόλεων κειμένην ἱερὰν Ἐκκλησίαν εἰς τὸ Βλὰχ Σεράγιον κατὰ τὸν Ταχτὰ Μιναρὲ, σεμνυνομένην ἐπ' ὀνόματι τῆς Θεοτόκου Κοιμήσεως, ἰδίαν οὖσαν τῆς αὐθεντείας Οὐγκροβλαχίας, προσηλῶσαι καὶ ἀφιερῶσαι τῇ ἐν Πελοποννήσῳ οὔσῃ σεβασμίᾳ μονῇ βασιλικῇ τε καὶ πατριαρχικῇ τῆς Ὑπεραγίας Θεοτόκου, τῆς ἱστορηθείσης ὑπὸ τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ, ἐπικαλουμένῃ τοῦ Μεγάλου Σπηλαίου, ἐπὶ τῷ ἐπισκέπτεσθαι παρὰ τῶν

οσιωτάτων πατέρων τῆς αὐτῆς μονῆς, διακυβερνᾶσθαί τε καὶ διεξάγεσθαι διὰ παντὸς πρὸς σύστασιν αὐτῆς κρείττονα καὶ εὐκοσμίαν καὶ αὔξησιν καὶ βελτίωσιν· καὶ δι' αὐθεντικοῦ ἡμῶν χρυσοβούλλου τὴν ἀφιέρωσιν ταύτην ἐπικυρῶσαι, ἐπὶ τῷ ἔχειν διὰ παντὸς τὸ μόνιμον, καὶ τὸ εἰς αἰῶνα τὸν ἅπαντα ἀμετάτρεπτον καὶ ἀμεταποίητον· συμψήφων ὄντων ἐπὶ τῇ ἀποφάσει ἡμῶν ταύτῃ, ὡς ὅλως θεαρέστῳ καὶ ἐνθέου ζήλου πλήρει, καὶ τῶν φιλτάτων ἡμῶν υἱῶν. Καὶ δὴ γράφοντες ἀποφαινόμεθα μετὰ τῶν περὶ ἡμᾶς πιστῶν ἀρχόντων τοῦ ἡμετέρου αὐθεντικοῦ διβανίου, τοῦ τε δηλαδὴ μεγάλου Βορνίκου Κωνσταντίνου Κρετσουλεσκούλου, Μπάνου Παύλου Καντακουζηνοῦ, Βορνίκου Ῥάδου Βακαρέσκου, μεγάλου Σπαθάρη Δημητράκη Γκίκα, μεγάλου Λογοθέτου Σωτηρίου Στιρμπέη, μεγάλου Βεστιάρη Μιχαὴλ Καντακουζηνοῦ, Παχαρνίκου Νικολάου Στιρμπέη, Στολνίκου Στεφάνου Τοπλιτζάνου, Κωστάκη Κομίσου, καὶ Χριστοδούλου Λογοθέτου β'. ὅπως ἡ ῥηθεῖσα Ἐκκλησία τῆς Ὑπεραγίας Θεοτόκου τῆς Κοιμήσεως, ἡ ἐν τῇ βασιλευούσῃ τῶν πόλεων κειμένη πλησίον τοῦ Ταχτᾶ Μιναρὲ εἰς τὸ Βλὰχ Σεράγιον, μετὰ τῶν περὶ αὐτὴν ὀσπητίων καὶ περιοχῶν καὶ πάντων ὧν κέκτηται κτημάτων ἀφιερωμένη εἴη, λέγηταί τε καὶ γνωρίζηται ἀφιέρωμα τῆς σεβασμίας ταύτης Μονῆς τοῦ μεγάλου Σπηλαίου, παρ' αὐτῆς διεξαγομένη καὶ κυβερνωμένη ὡς μετόχιον αὐτῆς, μενούσης τῆς ἀφιερώσεως ταύτης αὐτῇ ἀναποσπάστου καὶ ἀναφαιρέτου εἰς αἰῶνα τὸν ἅπαντα. Ἀξιοῦμεν δὲ καὶ τοὺς μεθ' ἡμᾶς ἀδελφοὺς αὐθέντας τοὺς ἀναδεξομένους τὴν ἡγεμονικὴν διοίκησιν τοῦ αὐθεντικοῦ τούτου Θρόνου τῆς Οὐγκροβλαχίας, κατὰ μίμησιν τοῦ διαληφθέντος ἐν μακαρίᾳ τῇ λήξει ἀοιδίμου θείου ἡμῶν, ὡς πρωταιτίου ὄντος αὐτῆς τῆς ἀφιερώσεως, μηδόλως διασεῖσαι καὶ ἀνατρέψαι τὴν ἀφιέρωσιν ταύτην, ἀλλ' ἐπικυρῶσαι καὶ βεβαιῶσαι πρὸς ψυχικὴν αὐτῶν σωτηρίαν ἄνεσίν τε καὶ ἀγαλλίασιν. Ἐπὶ τούτῳ γὰρ ἐξεδόθη καὶ τὸ παρὸν ἡμέτερον ἐν μεμβράνῃ χρυσόβουλλον, καὶ ἐπεδόθη τῇ διαληφθείσῃ σεβασμίᾳ Μονῇ τῆς θαυματοβρύτου εἰκόνος τῆς Ὑπεραγίας Θεοτόκου.

αψξθ' ἐν μηνὶ Φεβρουαρίῳ. Ἐγράφη ἐν τῷ ά χρόνῳ τῆς Οὐγκροβλαχικῆς ἡμῶν αὐθεντείας ἐν Βουκορεστίῳ.

ΓΡΗΓΟΡΙΟΣ ΑΛΕΞΑΝΔΡΟΥ ΓΚΙΚΑΣ ΒΒ.

(Τ. Σ.)

Η'.

ΙΩΑΝΝΗΣ ΜΙΧΑΗΛ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΣΟΥΤΖΟΣ ΒΟΕΒΟΔΑΣ, ΕΛΕΩ ΘΕΟΥ ΑΥΘΕΝΤΗΣ ΚΑΙ ΗΓΕΜΩΝ ΠΑΣΗΣ ΟΥΓΚΡΟΒΛΑΧΙΑΣ.

Ἐπειδὴ καὶ ἡ Βλαχία ἔχει ἐν τῇ βασιλικῇ περιφανεστάτῃ καθέδρᾳ τῆς Κωνσταντινουπόλεως, μίαν ἱερὰν Μονὴν ὀνομαζομένην Βλὰχ Σαράγι, ἥτις εἶναι καὶ κατάλυμα τῶν αὐθεντικῶν ἀνθρώπων ὅσοι ὑπάγουσι καὶ ἔρχονται ἐδῶθεν ἐκεῖσε, καὶ ἐπειδὴ ἡ ἱερὰ αὕτη Μονὴ δὲν ἔχει κἀνὲν αὐθεντικὸν ἔλεος μήτε εἰσόδημα ἀπὸ τῆς Βλαχίας, καθὼς ἄλλα μοναστήρια καὶ μοναὶ ἔχουσιν εἰς διάφορα μέρη καὶ ξένα καὶ ἐντόπια, καὶ μηδ' ἐκεῖ εἰς βασιλεύουσαν δὲν ἔχει ἀρκετὴν ἐνορίαν συνοίκων (καθὼς καὶ ἄλλαι ἔχουσιν ἐκκλησίαι), ἀπὸ τῆς συνδρομῆς τῶν ὁποίων νὰ ἠμπορέσῃ νὰ προφθάσῃ ὅλα τὰ ἀναγκαῖα, καὶ οὕτως εἶναι στερημένη πάσης προμηθείας, ἐκρίναμεν ὅτι μία Μονὴ τοῦ τόπου τῆς Βλαχίας εὑρισκομένη εἰς τὴν βασιλικὴν Καθέδραν (τὸ ὁποῖον τοῦτο εἶναι πρὸς

τιμὴν καὶ χάριν τοῦ τόπου) δὲν εἶναι εὔλογον νὰ ἦναι ἐγκαταλελειμένη, καὶ ἀπεστερημένη πάσης βοηθείας τοῦ τόπου τούτου, ἐν ᾧ θείῳ ἐλέει τόσα καὶ τόσα μοναστήρια ἀλλοδαπῇ βοηθοῦνται καὶ κυβερνῶνται μὲ τὰ ἐλέη τῆς χριστιανικῆς ταύτης ἡγεμονείας· πόσῳ μᾶλλον πρέπει νὰ βοηθῆται καὶ τὸ εἰς αὐτὴν ἀνῆκον ἰδιαιτέρως ἀβοήθητον μοναστήριον. Διὸ καὶ διὰ τὸ χρέος ὅπερ ἔχει ὁ τόπος οὗτος πρὸς τὸ ῥηθὲν ἱερὸν μοναστήριον, καὶ διὰ τὴν εὐλάβειαν ἣν ἔχομεν ἡμεῖς πρὸς ὅλα τὰ ἱερὰ σκηνώματα, καὶ δι' ὅσην καταβάλλομεν προσπάθειαν εἰς τὸ νὰ βλέπωμεν τά τε ἄλλα ἱερὰ σκηνώματα καὶ τὸ ῥηθὲν ἐντόπιον μοναστήριον μετὰ τῆς ἀπαιτουμένης εὐκοσμίας καὶ χωρὶς ἐλλείψεως τῶν ἀναγκαίων, ἀπεφασίσαμεν ἐξ οἰκείας μας βουλῆς καὶ προαιρέσεως, καὶ ἐκδίδομεν τὸ παρὸν ἡμέτερον αὐθεντικὸν χρυσόβουλλον, ἵνα λαμβάνῃ ὁ ὁσιώτατος ἡγούμενος (ὅςτις εἶναι κηδεμὼν καὶ κυβερνήτης τῆς ἱερᾶς ταύτης Μονῆς) καθ' ἕκαστον χρόνον ἔλεος καὶ εἰσόδημα ἀπὸ τὸν τόπον τοῦτον, ἐκ τῶν 27 δηλαδὴ ποπορίων τῶν ἐν τῷ Καδηλικίῳ Ῥωμανατζίου (ἅτινα ποπόρια δὲν εἶναι μέχρι τοῦδε ἀφιερωμένα εἰς κἀνὲν ἄλλο μοναστήριον) ἀνὰ δύω ἄσπρα εἰς τὸ μέτρον, καθὼς καὶ ἄλλα μοναστήρια, καὶ τὸ πάρπαρον κατὰ τὸ σύνηθες· τὰ δὲ λοιπὰ τρία ἄσπρα νὰ μένωσι καὶ αὖθις αὐθεντικά· τὰ ὁποῖα ποπόρια εἶναι τὰ ἐφεξῆς: **Δοπρολοβένι, Φατκόγι, Πραγκοβένι, Βαλένι, Πατζόγιουλ, Πρανέτζουλ, Πρασκοβένι, Δοπρονοὺλ, Ῥοσιγένι, Ὀσίκα, Κοσοβάνι, Βασιγ3όρα, Ποπουζελέστι, Πρίζπα ἀπιλέβι, Κιζδαβέστι, Μαρσάνι, Γκαλέσουλ, Σορόϊ παρσάβου, Δοπροτέστι, Ζβόρκλα, Ἀμαρέστι δὲ σοὺς, Κέζος, Τζελέγ3ουλ, Πούπιτζουλ, Στοῦδικα, Ῥέδια, Γκίρποβου βέρδε**· ὡσαύτως νὰ λαμβάνῃ καὶ ἀπὸ τὸ καδηλῆκι τοῦ **Γκορζίου** ἐκ τῶν 89 ποπορίων, τῶν μὴ εἰσέτι ἀφιερωμένων, πάλιν ἀνὰ δύω ἄσπρα τὸ μέτρον, καὶ τὸ πάρπαρον κατὰ τὸ σύνηθες, ἤτοι ἀπὸ **Πράτουγ3α, Ῥάσινα, Ῥογκόσινα, Βιέσανι, Παράουλ, Καμινέστι, Κοζοτζένι, Δετζέςι, Βατέστι, Γκολδιάνου, Τζέπουλ, Σουρπάψιλε, Τουρπάψι, Πουζέστι, Γκρούγ3ουλ, Διν πλάσα τζιλότουλουΐ, Δ3άλου πλοποσορου, Πεστζ3άνα, Παλτ3άνου, Βλαδουλ3άνι, Τζιάρα, Κούκα, Κορνέστιϊ, Στροέστι, Λιψόρα, Ἀρκάνι, Παλτισόρα, Ῥίγκουλ, Λιλέστι, Ἀμιξένι διάλου παλάνιλορ, Πορτζάνι, Μοσνένι, Πιρνέτζι, Σιμποτίνουλ, Χουρέζουλ, Σχέλλα, Περκουρίλε, Δ3άλουλ πατρίνι, Σαργκόγ3ουλ, ἢ βουτζιβαλὰρ, Κοὺρ πάνουλ πιρσέστι, Τίργκου ζίγ3ουλουΐ, Βλαδιμὶρ, Πετζένι, Πατζόστι, Ζικόγιουτ ὀπίρσιγ3α, Δὶν πλάσα ζίγ3ουλουΐ, Χουραζάνιϊ δὲ αμαρὰδ, Πισκόγ3ουλ, Πουσιγ3ότζι, Κολτζέστι, Τινδολέστι, Γκιτζέστι, Νεγκρένι διν πλάσα αμερέζι, Δὲ σοὺς, Σκράδα περέστι, Ποπέστι, Ῥακίτα, Σάκα, Λικουρίτζιϊ, Γκλαβ3άνι, Ποζάρουλ, Πογ3άνα, Σετζουρίλα, Ἀλούνουλ, Ῥόσιγια δέζος, Σιτόγ3α, Περτζένι, Τζοκάδι, Ποτζοβάλεστε, Ζοστλέστι, Παρέςι, Ποκοάραλε, Τζουπέρτζιλε, Πουντζέστιϊ**, τὸ **Παρζογ3ουλ** ὅλον τῆς **πλάσας Χάρμε ῥίζουνι, Γ3ουράτζι, Δ3άλου βαλέστι, Κορμανέστι, Πικοόσα, Πλασόγ3α, Τελέτζιϊ, Διαλουλ μάϊτζιλορ, Δ3άλου γκουράνι, Πίλτα, Ἰζ βάρκα, Διάλου κοτένι, Διάλου, Κολτζέστι διν πλάσα τισμένι**. Διὰ ταῦτα ὁ ὁσιώτατος ἡγούμενος, ὅςτις κατὰ καιρὸν ἐπιστατεῖ εἰς τὸν καιρὸν τοῦ εἰσοδήματος, ἔχει νὰ διορίζῃ ἐπίτροπόν του, ὅςτις νὰ συμπεριέρχηται μετὰ τῶν αὐθεντικῶν βιναριτζέριδων, καὶ συγκαταγράφῃ τὴν ποσότητα τῶν μέτρων ἐκείνων ὅσοι πληρώνουσι βιναρίτσιον, καὶ ἐκ τῶν πέντε ἄσπρων εἰς τὸ μέτρον ὅσα συνήθως λαμβάνονται, τρία ἄσπρα νὰ τὰ λαμβάνωσιν οἱ αὐθεντικοὶ βιναριτζέριδες, τὰ δὲ λοιπὰ δύω ἄσπρα καὶ τὸ πάρπαρον νὰ τὰ λαμβάνῃ ὁ διωρισμένος ἐπίτροπος τοῦ μοναστηρίου, χωρὶς νὰ ἔχωσι νὰ ἐπεμβαίνωσι παντάπασιν οἱ αὐθεντικοὶ βιναριτζέριδες εἰς τὸ μέρος τοῦ μοναστηρίου. Ἐκ τούτων δὲ τῶν ἄσπρων τοῦ βιναριτζίου τοῦ μοναστηρίου, ὅσα συναχθῶσιν ἀπὸ τὰ δύω ταῦτα καδηλίκια, χρεωστεῖ νὰ δίδῃ ὁ ἡγούμενος τοῦ Βλὰχ Σαραγίου εἰς τὸ νέον νοσοκομεῖον τὸ κατὰ

τὰ Θεραπεῖα καθ' ἕκαστον χρόνον ἀνὰ διακόσια γρόσια εἰς σύστασιν ἑνὸς πνευματικοῦ, πρὸς παρηγορίαν καὶ ψυχικὴν θεραπείαν τῶν ἐκεῖσε ἀῤῥώστων, καὶ μνημόσυνον τῶν ἀφιερωτῶν· τὰ δὲ λοιπὰ ἄσπρα, ὅσα ἤθελαν συναχθῶσι, νὰ δαπανῶνται εἰς πληρωμὴν τῶν πρὸς εὐπρέπειαν τῆς Ἐκκλησίας ψαλτῶν καὶ τῶν λοιπῶν ἀναγκαίων τῇ ἐκκλησίᾳ. Ὀφείλουσι δὲ, ὅ,τε ἡγούμενος καὶ οἱ ἐφημέριοι, νὰ μνημονεύωσι δεόμενοι ἐν ταῖς ἱεραῖς λειτουργίαις ὑπὲρ εἰρήνης καὶ καλῆς καταστάσεως καὶ ἀφθόνου καρποφορίας καὶ σωτηρίας τοῦ ὀρθοδόξου πληρώματος καὶ τόπου τῆς Βλαχίας. Καὶ δὴ ἀξιοῦμεν καὶ τοὺς ἀδελφοὺς ἡμῶν αὐθέντας, ὅσοι μεθ' ἡμᾶς ἀξιωθῶσι τῆς ἐξουσίας τοῦ αὐθεντικοῦ τούτου Θρόνου, ἵνα συμφώνως ἀνανεόνωσι καὶ ἐπικυρόνωσι τὸ ἔλεος τοῦτο, τὸ ὁποῖον κατὰ δίκαιον λόγον ἐχορηγήθη τῷ ῥηθέντι ἱερῷ μοναστηρίῳ· οὕτω γὰρ καὶ τὰ τῆς ἐκλαμπρότητός των χρυσόβουλλα καὶ ἐλέη ἔσονται παρ' ἄλλοις αὐθένταις ἰσχυρὰ καὶ κύρια καὶ σεβάσμια. Ἐπεκυρώσαμεν δὲ τὸ παρὸν ἡμέτερον χρυσόβουλλον καὶ τῇ ἰδίᾳ τῆς ἡμετέρας αὐθεντείας ὑπογραφῇ, Ἰωάννης Μιχαὴλ Κωνσταντίνου Σοῦτζος βοεβόδας, καὶ τῇ τῶν φιλτάτων ἡμῶν τέκνων, Ἰωάννου βοεβόδα, Γρηγορίου βοεβόδα, καὶ Ἀλεξάνδρου βοεβόδα· ὡσαύτως καὶ πάντων ἁπαξαπλῶς τῶν τιμιωτάτων καὶ εὐγενεστάτων ἀρχόντων, τῶν πρώτων τοῦ ἡμετέρου διβανίου, πὰν Δημητρίου Γκίκα μεγάλου Μπάνου, πὰν Στεφάνου Βραγκοβάνου μεγάλου Βορνίκου τῆς ἄνω Τζάρας, πὰν Γιανάκη Μουρούζη μεγάλου Βορνίκου τῆς κάτω Τζάρας, πὰν Μανολάκη Βραγκοβάνου μεγάλου Λογοθέτου τῆς ἄνω Τζάρας, πὰν Γρηγορίου Παλιάνου μεγάλου Λογοθέτου τῆς κάτω Τζάρας, πὰν Γρηγορίου Παλασάκη μεγάλου Σπαθάρη, πὰν Γιανάκη Βαχαρέσκου μεγάλου Βιστιάρη, πὰν Ἀλεξάνδρου μεγάλου Ποστελνίκου, πὰν Γεωργίου Σούτζου μεγάλου Κλουτζιάρη, πὰν Δημητρίου Ῥακοβίτζα μεγάλου Παχαρνίκου, πὰν Ἰωάννου Ηραϊλόη μεγάλου Στολνίκου, πὰν Ἀλεξάνδρου Μάνου μεγάλου Καμαράση, πὰν Γρηγορίου Δούνα Σλουτσιάρη, πὰν Κωστάκη Παλατζάνου μεγάλου Πιτάρη. Διατάσσομεν τὸν πὰν Μανωλάκη Βραγκοβάνον μεγάλον Λογοθέτην ἐκτελεστήν. Ἐγράφη τὸ παρὸν ἡμέτερον χρυσόβουλλον κατὰ τὸ β'. ἔτος τῆς πρώτης ἡμῶν αὐθεντείας ἐνταῦθα ἐν τῇ πρωτευούσῃ πόλει καὶ καθέδρᾳ ἡμῶν, Βουκορεστίῳ τῆς Βλαχίας, κατὰ τὸ 1784 ἔτος τὸ Σωτήριον Ἰουνίου 25.

ΙΩΑΝΝΗΣ ΜΙΧΑΗΛ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΣΟΥΤΖΟΣ ΒΟΕΒΟΔΑΣ ΕΛΕΩ ΘΕΟΥ, ΑΥΘΕΝΤΗΣ ΚΑΙ ΗΓΕΜΩΝ ΠΑΣΗΣ ΟΥΓΚΡΟΒΛΑΧΙΑΣ.

(Τ. Σ.)

Προσθήκη. ΙΩΑΝΝΗΣ ΜΙΧΑΗΛ ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΣΟΥΤΖΟΣ κτλ.

Ἐπειδὴ καὶ ἐκ τῶν ἄνω ῥηθέντων ποπορίων τέσσαρα εὑρέθησαν πρὸ καιροῦ ἀφιερωμένα εἰς τὸ ἱερὸν Μοναστήριον Πίστριτζας, ἀντ' ἐκείνων ἐπιβραβεύομεν εἰς τὴν μονὴν τοῦ Βλὰχ Σαραγίου νὰ λαμβάνῃ ἀπὸ τὰ ποπόρια Λέουλ καὶ Ῥοκοβίτζα τῶν ἐν τῷ Ῥωμανατζίῳ ἀνὰ τρία ἄσπρα τὸ μέτρον, ἐπειδὴ καὶ τὰ λοιπὰ δύω ἄσπρα καὶ τὸ πάρπαρον εἶναι ἀφιερωμένα εἰς ἄλλο μοναστήριον. 1785 Νοεμβρίου 25.

(Τ. Σ.)

Θ΄.

ΙΩΑΝΝΗΣ, ΙΩΑΝΝΗΣ ΓΕΩΡΓΙΟΥ ΚΑΡΑΤΣΑΣ ΒΟΕΒΟΔΑΣ ΕΛΕΩ ΘΕΟΥ ΑΥΘΕΝΤΗΣ ΚΑΙ ΗΓΕΜΩΝ ΠΑΣΗΣ ΟΥΓΚΡΟΒΛΑΧΙΑΣ.

Ἐπειδὴ τὸ θεῖον καὶ ἱερὸν Μοναστήριον Καρῆπι ἐπονομαζόμενον ἐν τῇ Νήσῳ Ἀντιγόνου, ὅπερ νεωστὶ ἀνηγέρθη ἐκ θεμελίων, ἐν ᾧ πανηγυρίζεται ἡ μνήμη τοῦ μεγαλομάρτυρος ἁγίου Γεωργίου τοῦ θαυματουργοῦ, ὑπάρχει γνωστὸν τῇ ἡμετέρᾳ αὐθεντείᾳ, ὅτι εὑρίσκεται ἐν πτωχῇ καταστάσει καὶ ἐν στερήσει πολλῶν ἃ χρήζουσι βοηθείας, μὴ ἔχον μέσον νὰ βοηθῆται εἰς τ' ἀναγκαῖά του ἔξοδα, καθ' ἣν πρὸς τὰ θεῖα καταγώγια τρέφομεν εὐλάβειαν εἰς τὸ νὰ συντρέχωμεν, ὅσον τὸ δυνατὸν, δὲν παρεβλέψαμεν αὐτό. Ἔχομεν δὲ καὶ ὑπόδειγμα ἐκ τῶν χρυσοβούλλων τῶν πρὸ ἡμῶν ἀδελφῶν ἡγεμόνων, ἅπερ καὶ ἡμεῖς ἐκυρώσαμεν, ὅσα γε ἐξ αὐτῶν ἐνεφανίσθησαν, ὅπως παρέχηται ἐν τῆς ἐνταῦθα Τσάρας εἰς τὰ ἱερὰ σκηνώματα ἡ ἀνήκουσα βοήθεια τῶν ἐλεῶν. Διὰ τοῦτο καὶ ἡ ἡμετέρα Αὐθεντεία διὰ τοῦ παρόντος αὐθεντικοῦ χρυσοβούλλου, τοῦ δοθέντος τῷ ῥηθέντι ἱερῷ μοναστηρίῳ, διορίζομεν νὰ λαμβάνῃ ἔλεος βιναριτσίου ἀνὰ δύω ἄσπρα τὸ μέτρον ἀπὸ τρία ποπόρια τὰ ἐν τῷ καδηλικίῳ Μπουτσέσκου κείμενα, ὀνομαζόμενα Βεσπέστι, Μπαδένι, καὶ Μπονιτσέλον, ὅπου καὶ τὸ μοναστήριον τοῦ Ξενοφῶντος ἔχει ἀνὰ 3 ἄσπρα τὸ μέτρον. Ἐν δὲ τῷ καιρῷ τοῦ βιναριτσίου ὀφείλει νὰ διορίζῃ τὸ μοναστήριον ἐπίτροπον, ὅστις, ὁμοῦ μὲ τὸν ἄνθρωπον τοῦ μοναστηρίου Ξενοφῶντος καὶ μὲ τοὺς αὐθεντικοὺς βιναριτζέριδες, νὰ καταγράφῃ παρευρισκόμενος παρὼν εἰς τὸ μέτρημα καὶ εἰς τὴν παραλαβὴν τῶν ἄσπρων, γινομένου κατασίχου, ὥστε νὰ λαμβάνῃ ἐκ τῶν ἄσπρων τὸ μερίδιόν του σῶον. Ἐξ αὐτῶν δὲ κρατηθήσεται τὸ δέκατον τῶν Μποδούρων, οἱ δὲ αὐθεντικοὶ βιναριτσάριδες νὰ μὴ κρατῶσιν οὐδ' ὀβολὸν ἐπ' οὐδενὶ λόγῳ· μηδὲ νὰ ἀναβάλλωσι τὴν λῆψιν τῶν ἄσπρων ἐπὶ προσχήματι νὰ τὰ δίδωσιν ἐκ τῶν κουσουρίων· ἀλλὰ γινομένης τῆς συντάξεως παρὰ τῶν δασμοφόρων ἐγκατοίκων, οἵτινες πληρόνουσι βιναρίτσιον καὶ εὑρίσκεται καταγεγραμμένον ἐν τῷ καταστίχῳ του, τότε καὶ ὁ ἄνθρωπος τοῦ μοναστηρίου ἀμέσως νὰ λαμβάνῃ τὸ μερίδιον τῶν ἄσπρων. Διὰ τούτου τοῦ ἐλέους διατάσσομεν νὰ βοηθῆται τὸ ἱερὸν μοναστήριον τοῦ ἁγίου Γεωργίου τοῦ Καρῆπι εἰς ὅσας χρείας ἔχει, ὅπως καὶ οἱ ἐν αὐτῷ πατέρες δέωνται τοῦ πανοικτίρμονος Θεοῦ ὑπὲρ τῆς κατευοδώσεως τῆς ἡμετέρας αὐθεντείας, καὶ ὑπὲρ τῆς εὐφορίας καὶ εὐτυχίας τῆς Τσάρας ταύτης ἐξ ἧς ὠφελοῦνται. Δεόμεθα δὲ καὶ τῶν ἄλλων ἀδελφῶν αὐθεντῶν τῶν μεθ' ἡμᾶς ἀξιωθησομένων ἀναδέξεσθαι τοὺς οἴακας τούτου τοῦ Θρόνου, ὅπως εὐδοκήσωσι νὰ ἀνακαινίσωσι καὶ ἐπικυρώσωσι τὸ τεταγμένον τοῦτο ἔλεος, ὥστε καὶ τὰ αὐτῶν ἐλέη νὰ ἦναι ἐν ἰσχύει καὶ ἐνεργείᾳ παρ' ἄλλων. Ἐβεβαιώσαμεν δὲ τὸ παρὸν χρυσόβουλλον δι' ἰδίας ἡμῶν ὑπογραφῆς ἐγὼ Ἰωάννης Γεωργίου Καρατσᾶς βοεβόδας, καὶ δι' ὑπογραφῆς τῶν παμφιλτάτων ἡμῶν τέκνων Γεωργίου βοεβόδα, καὶ Κωνσταντίνου βοεβόδα. Μάρτυρες δὲ, οἱ εὐγενέστατοι καὶ πιστοὶ ἄρχοντες βουλευταὶ τοῦ Διβανίου τῆς αὐθεντείας ἡμῶν, πὰν Κωνσταντῖνος Φιλιππέσκος μέγας Μπάνος· πὰν Ῥάδος Γολέσκος μέγας Βόρνικος τῆς ἄνω Τσάρας· πὰν Γρηγόριος Μπραγκοβάνος μέγας Βιστιάρης· πὰν Γρηγόριος Γκίκας μέγας Λογοθέτης τῆς ἄνω Τσάρας· πὰν Ῥάδος Σλαβηνιάνος μέγας Βόρνικος τῆς κάτω Τσάρας· πὰν Δημητράκος Ῥακοβίτσκης μέγας γ΄. Βόρνικος· πὰν Ἰστράτης Κροτσουλέσκος μέγας δ΄.

Βόρνικος· πὰν Σωριδιάκης Σλαβηνιάνος μέγας Λογοθέτης τῆς κάτω Τσάρας· πὰν Κωνσταντῖνος Σοῦτζος μέγας Χάτμανος· πὰν Μιχαλάκης Μάνος μέγας Βόρνικος τῆς πολιτείας· καὶ λοιποί.

Ἐγράφη τὸ παρὸν ἡμέτερον χρυσόβουλλον τῷ β'. ἔτει τῆς ἡμῶν αὐθεντείας ἐν Βουκορεστίῳ, 1814 Ἀπριλίου 5.

ΙΩΑΝΝΗΣ ΓΕΩΡΓΙΟΥ ΚΑΡΑΤΣΑΣ ΒΒ.

(Τ. Σ.)

Ι.

ΒΕΝΕΤΙΚΗ ΕΞΟΥΣΙΑ

Παρὰ τοῦ εὐγενοῦς καὶ σοφοῦ ἀνδρὸς Ἀντωνίου Ζήνου, Γενικοῦ Διοικητοῦ τῶν εἰς τὴν Πελοπόννησον στρατευμάτων, πίστιν, ἀγάπην, ὑγείαν, καὶ φιλίαν.

Ἐνεφανίσθησαν εἰς τὴν σεβάστὴν Γαληνότητά μας ὁ Ἡγούμενος καὶ οἱ Καλόγηροι τῆς Μονῆς τῆς ἀφιερωμένης εἰς τὴν ὑπεραγίαν Θεοτόκον τοῦ μεγάλου Σπηλαίου, τῆς ἐν τῇ περιοχῇ τῶν Καλαβρύτων, καὶ διʼ εὐσεβάςου ἀναφορᾶς των ἐπαρεκάλεσαν, ὅτι μὲ ἐκεῖνον τὸν φόρον τοῦ δεκάτου, ὅσος ἐγκριθῇ δίκαιον νὰ προσδιορισθῇ παρὰ τῆς δημοσίου ἐξουσίας, νὰ συγχωρηθῇ εἰς αὐτοὺς ἡ εἰρηνικὴ κάρπωσις τῶν κτημάτων, ὡς διωρισμένη πρὸς ἐξοικονόμησιν τοῦ ῥηθέντος Μοναστηρίου αὐτοῦ. Περὶ τῆς παρακλήσεως αὐτῶν ἐλήφθησαν αἱ ἀπαιτούμεναι πληροφορίαι, καὶ ἰδοὺ κατὰ τὴν τούτων συνέπειαν ἐκδίδει ἡ Γερουσία τὴν ἀπόφασιν ταύτην. Ὅτι ἐπάνω εἰς τὰ κτήματα καὶ ὅλην τὴν περιουσίαν τοῦ αὐτοῦ Μοναστηρίου, ὅσην κατὰ τὸ παρὸν κατέχει, νὰ πληρώνηται μέχρι νέας δημοσίας ἀποφάσεως τὸ χρέος τοῦ δεκάτου φόρου εἰς ῥιάλια 200 κατʼ ἔτος. Διευθύνθησαν ἤδη πρὸς τὴν αὐτοῦ Γαληνότητα τὸν Γενικὸν ἀρχηγὸν τῆς θαλάσσης αἱ εἰδοποιήσεις διʼ ἐκείνας τὰς διαταγὰς, τὰς ὁποίας ἡ ἰδία του φρόνησις ἐνέκρινεν ἀναγκαίας νὰ ἐκδώσῃ εἰς τὴν προθεσμίαν μας πρὸς παρηγορίαν τῶν ἱκετῶν.

Ἐδόθη ἐν τῷ Δουκικῷ οἰκήματι τῇ 5 Σεμτεβρίου Ἰνδικτ. 3.

ΑΝΤΩΝΙΟΣ ΖΗΝΟΣ, κτλ.
ΑΥΓΟΥΣΤΙΝΟΣ ΓΑΔΑΛΔΙΝΟΣ Γράμματεύς.

Τῇ 11 Φεβρουαρίου 1693, (ἔτους νέου) ἐν Πάτραις.

Ἐπαρουσιάσθη εἰς χεῖρας τοῦ ἐκλαμπροτάτου καὶ ἐξοχωτάτου Ἀντωνίου Ζήνου, γενικοῦ Διοικητοῦ τῶν στρατευμάτων ἐν ἐνεργείᾳ, παρὰ τοῦ Ἡγουμένου τῆς Μονῆς τῆς Ὑπεραγίας τοῦ μεγάλου Σπηλαίου. Παρεδέχθη αὐτὴν διὰ τὴν ἀπαράλλακτον ἐκτέλεσίν της.

ΑΝΤΩΝΙΟΣ ΖΗΝΟΣ, κτλ.
ΑΥΓΟΥΣΤΙΝΟΣ ΓΑΔΑΛΔΙΝΟΣ Γραμματεύς.

1693 Φεβρουαρίου 12 (ἔτ. ν.) ἐν Πάτραις. Κατεχωρίσθη εἰς τὸ βιβλίον τῆς συλλογιστικῆς ὑπηρεσίας.

ΙΩΑΝΝΗΣ ΑΓΟΡΑΣ Γραμματεύς.

ΙΑ'.

ΔΙΑΤΑΓΜΑ.

Ἰωάννης Κορνήλιος, χάριτι θεία ἡγεμὼν τῶν Βενετῶν καὶ ἑνὸς ἑκάστου ὑμῶν, καὶ σοφώτατος ἀνὴρ, διατάσσω πρὸς τοὺς γραμματεῖς, ὁπλαρχηγοὺς, εἰσπράκτορας, καὶ λοιποὺς ὑπηκόους πάσης γῆς καὶ τόπου τῆς ἐξουσίας μου, καὶ πρὸς τοὺς διαδόχους μου τοὺς πιστοὺς καὶ ἀγαπητοὺς ἐπευχόμενος ὑγείαν καὶ ἀγάπην.

Σᾶς γνωστοποιοῦμεν, ὅτι τῇ 29 ἡμέρα τοῦ ἐκπνέοντος μηνὸς, ἐν τῷ ἡγεμονικῷ ἡμῶν συμβουλίῳ ὁ ἐπὶ τῆς ἐγκληματικῆς ἐξετάσεως διωρισμένος Κύριος Ἰωάννης Λεπομάνος Ἀνέμ. Κόμης καθυπέβαλεν ἡμῖν πρότασιν, ἥτις καὶ παρεδέχθη ὡς πρέπουσα εἰς τὴν δικαιοσύνην καὶ ἀξιοπρέπειαν τῆς ἡμετέρας κυριαρχίας, ἵνα προβληθῶσι καὶ διαταχθῶσι τὰ μέσα τῆς δικαιοσύνης, ὥστε ἕκαστος εἰς τὴν ἐλευθέραν ἡμῶν ἐπικράτειαν νὰ δύναται νὰ ζῇ εἰρηνικῶς, καὶ νὰ νέμεται καὶ χαίρῃ τὰ ἀγαθά του, νὰ τιμωρῶνται δὲ διὰ τῶν ἀνηκουσῶν ποινῶν πρὸς παραδειγματισμὸν οἱ κακοποιοί. Καὶ ἐπειδὴ διὰ ταπεινῆς ἱκεσίας τῶν μοναχῶν τῆς Μονῆς τῆς Θεοτόκου τοῦ μεγάλου Σπηλαίου τῆς ἐν τῇ ἐπαρχίᾳ τῶν Καλαβρύτων κατὰ τὴν περιοχὴν τῆς Ἀχαΐας, καὶ τοῦ Ἱερομ. Σεραφεὶμ Φραντζῆ, ἀντιπροσώπου τῆς αὐτῆς ἁγίας Μονῆς, ἀνεφέρθη εἰς τοὺς ἡμετέρους συνηγόρους, ὅτι διάφοροι ἄγνωστοι κλέπται καὶ κακοῦργοι προξενοῦσιν εἰς αὐτοὺς ἡμέραν καὶ νύκτα μεγάλας ζημίας εἰς τὰ ὑποστατικά των, γαίας, πεδιάδας, λειβάδια, βοσκὰς, μύλους, βουνὰ, οἰκίας, αὐλὰς, κήπους, δένδρα, ἀμπελῶνας, καστανῶνας, λίμνας, νερὰ, ὑδραγωγεῖα, περιστερῶνας, καὶ ἄλλα κτήματά των τοποθετημένα εἰς τὴν ἐξουσίαν μας, κόπτοντες τὰ δένδρα καὶ τὰ κούρβουλα καὶ ξυλικὴν μετὰ διαφόρων καρπῶν, συντρίβοντες καὶ χαλῶντες τοὺς φράκτας καὶ ἄλλα περιτειχίσματα κτισμένα διὰ τὰ ὕδατα καὶ τὰ ζῶα, βόσκοντες ζῶα διαφόρων εἰδῶν, κλέπτοντες σιτάρια, κριθάρια, ἀστάχυα, γεννήματα, ξύλα, λινάρια, σανὸν, μέλι, σταφύλια, καὶ ὀπωρικὰ καὶ ἄλλους καρποὺς, οἵτινες γίνονται ἐκεῖ, κάμνοντες πολλὰς διόδους καὶ διαβάσεις καὶ ἔφιπποι καὶ πεζοὶ ἐπάνω εἰς αὐτὰ τὰ ὑποστατικὰ καὶ τὴν φυτευμένην γῆν, καὶ ἀνασπῶντες δένδρα, κατεδαφίζοντες τοίχους, ἀναβαίνοντες καὶ πιάνοντες τοὺς δρόμους, χαλῶντες τὰ χανδάκια καὶ τὰς γούβας, ἀνοίγοντες σκάμματα, ἁρπάζοντες ζῶα καὶ αὐτὰς τὰς ὄρνιθας καὶ τὰ περιστέρια, καὶ σκοτόνοντες ὡς καὶ τὰ ὀρνιθόπουλα καὶ περιστερόπουλα, ὀψαρεύοντες εἰς τὰς λίμνας καὶ ἰχθυοτροφεῖα καὶ ἁρπάζοντες τὰ ὀψάρια, καὶ τέλος πάντων, μυρίας ἄλλας τοιαύτας ἀνυποφόρους ζημίας προξενοῦντες, τὰς ὁποίας ἐὰν τὰ μέσα τῆς δικαιοσύνης δὲν ἀναχαιτίσωσιν, ἄνευ ἀμφιβολίας ὅλα τὰ ῥηθέντα κτήματα θέλουσιν ἀφανισθῶσι καὶ διαρπαγῶσι. Διὰ ταῦτα κατ' ἐξουσίαν τοῦ Συμβουλίου τούτου ἀπεφασίσθη νὰ συλλαμβάνωνται οἱ τοιοῦτοι κακοῦργοι ὁποιοιδήποτε διὰ τῶν ἐν τῇ ἡγεμονείᾳ Γραμματέων, ὁπλαρχηγῶν, εἰσπρακτόρων, καὶ λοιπῶν τῆς ὑπακοῆς μας καὶ τῶν κληρονόμων καὶ διαδόχων των, ἀφ' οὗ πρῶτον οὗτοι διακηρύξωσιν ὅτι, ὅταν καὶ ὀψέποτε παρὰ τοῦ ἰδίου ἀναφέροντος Μοναστηρίου, εἴτε ἄλλου ὁποιουδήποτε ἐπιτρόπου του προσκληθῶσιν εἰς βοήθειαν, οὐδεὶς θέλει ὑποφέρει νὰ προξενηθῇ ζημία κάμμία παρὰ τῶν προειρημένων κακοποιῶν, οὔτε κατ' οὐδένα ἄλλον τρόπον, εἰς τὰ κτήματα καὶ γαίας καὶ τόπους τοῦ ἱεροῦ μοναστηρίου τῶν ἀναφερομένων. Καὶ εἶναι ὑπὸ ποινὴν ὁ ἐξελεγχθεὶς κακοποιὸς, ἐκτὸς τῆς προσδιωρισμένης παιδείας καὶ τῆς ἀποζημιώσεως, νὰ πληρώνῃ καὶ ἓν πρόστιμον πεντήκοντα μικρῶν λιτρῶν (τῶν ὁποίων τὸ ἓν ἥμισυ θέλει δίδεται εἰς τὸν ἀνακαλύπτοντα καὶ

ἀναφέροντα τὴν ζημίαν, καὶ τὸ ἀπολειφθὲν εἰς τὸν εἰσπράκτορα καὶ τὸν ἐνεργοῦντα καὶ ἐκτελοῦντα τὰ δημόσια χρέη), καὶ θέλει καταδικάζεται εἰς τρία σχοινία, καὶ νὰ δουλεύῃ εἰς τὰς γαλιώτας τῆς κυριαρχίας μας δι' ἰδίων ἐξόδων, ἐὰν εἶναι ἱκανὸς καὶ δυνατὸς, εἰς τρεῖς χρόνους κατὰ συνέχειαν. Ἐξ ἐναντίας δὲ, ἐὰν οἱ κακοῦργοι τύχωσι ἀδύνατοι, τρεῖς φοραῖς νὰ δέρνωνται εἰς τὴν πλατεῖαν τοῦ τόπου καὶ περιοχὴν, καὶ νὰ ἐξορίζωνται 15 μίλια μακρὰν τῶν συνόρων διὰ δύω ἔτη· καὶ ἂν παραβιασθῇ αὕτη ἡ ζημία καὶ συλληφθῶσι, νὰ φυλακίζωνται διὰ ἕνα ὁλόκληρον χρόνον, καὶ νὰ ἐπιστρέφωσι πάλιν εἰς τὴν ἐξορίαν των, καὶ τοῦτο, ὁσάκις μὲ τὰς αὐτὰς περιστάσεις ἤθελαν συλληφθῶσιν· οἱ δὲ ὁπωσδήποτε δυνατοὶ ἐξ αὐτῶν νὰ πληρώνωσι καὶ ἑκατὸν λίτρας μικρὰς ἐκ τῆς ἰδιοκτησίας των ἐὰν ἔχωσιν, ἢ ἀπὸ τὰ χρήματα τοῦ ἀναφερομένου· καὶ ὅστις ἐκατηγόρησε τοὺς κακούργους αὐτοὺς ὁπωσδήποτε εὑρεθῇ ἡ ἀλήθεια, νὰ ἀπολαμβάνῃ τὰς 50 μικρὰς λίτρας, τὰς πληρωτέας ὡς ἄνω, καὶ νὰ κρατῆται μυστικῶς. Ἀλλ' ἐὰν οἱ κακοῦργοι δὲν δυνηθοῦν νὰ συλληφθῶσιν ὑπὸ τῆς δημοσίου δυνάμεως, νὰ ἦναι ἀποκεκηρυγμένοι καὶ ἀπόντες, καὶ ἐννοοῦνται ἐξωρισμένοι, καὶ ὑπὸ περίστασιν παραβιάσεως τῆς ἐξορίας. Καὶ ἂν εἷς ἐξ αὐτῶν τῶν ἐγκληματικῶν συντρόφων ἤθελε μαρτυρήσῃ τοὺς συναιτίους, οἱ συναίτιοί του τότε νὰ παιδεύωνται ὅπως ἔχῃ ἡ ἀλήθεια, καὶ αὐτὸς ἂς κερδίζῃ τὴν συγχώρησίν του καὶ τὴν ἐλευθερίαν του καὶ τὰ ἔξοδα καὶ τὰς 50 λίτρας τὰς μικρὰς, αἱ ὁποῖαι νὰ τῷ πληρόνωνται ὡς ἄνω, καὶ νὰ κρατῆται τοῦτο κρυφόν. Ἡ ἐκτέλεσις ταύτης τῆς διαταγῆς παραδίδεται εἰς τοὺς ὑπαλλήλους τῆς ἡγεμονείας μας εἰς ὅσους ἀνήκει, καὶ εἰς τοὺς διαδόχους των, πρὸς τοὺς ὁποίους ἤθελε γίνῃ γνωστὴ ἡ ζημία παρὰ τῶν ἀναφερομένων. Καὶ ἐπειδὴ αὐτὴ ἡ διαταγή μας ἔγινε κατὰ θέλησίν μας, προστάζομεν ὡς καὶ ἄνωθεν ἵνα μένῃ μοναδικὴ, καὶ εἰς ὅλα της τὰ μέρη νὰ θεωρηθῇ καὶ ἐκτελεσθῇ καὶ ἐνεργηθῇ, καὶ παρὰ πάντων νὰ σεβασθῇ, καὶ ἕκαστος νὰ τὴν παραπέμπῃ πρὸς τὸν ἄλλον, καὶ νὰ κάμῃ νὰ δημοσιευθῇ εἰς ἅπαντας πᾶν ὅ,τι αὕτη ἡ διαταγὴ διαλαμβάνει· αὐτὴ δὲ νὰ καταχωρισθῇ καὶ νὰ ἐπιστραφῇ εἰς τὸ ἀναφερόμενον Μοναστήριον.

Ἐδόθη ἐν τῷ ἡγεμονικῷ παλατίῳ, τῇ 3 Ἰουλίου, Ἰνδικτιῶνος 6.

(Τ. Σ.)

ΙΩΑΝΝΗΣ ΦΡΑΓΚΗΣ.

ΚΟΡΝΗΛΙΟΣ Ἐπιτρ. ὑπ.

Τῇ 13 Ἰαννουαρίου 1713. Ε. Ν.

Ἐπαρουσιάσθη εἰς χεῖρας τοῦ ἐξοχωτάτου Ἀντωνίου Λορετάνου Γενικοῦ Ἐπάρχου τῶν ὅπλων τῆς Πελοποννήσου παρὰ τοῦ ἡγουμένου τῆς ἁγίας Μονῆς τοῦ μεγάλου Σπηλαίου, ὅστις ἰδὼν αὐτὴν διώρισε νὰ καταχωρισθῇ διὰ τὴν ἀκριβῆ ἐκτέλεσίν της.

ΙΩΑΝΝΗΣ ΣΟΥΚΑΤΟΣ Γραμματεύς.

ΤΟΥΡΚΙΚΑ

ΙΒ΄.

ΣΟΥΛΤΑΝ ΜΕΧΜΕΤ (ὁ Δ΄.)

(Τ. μονοκονδυλίας τοῦ ὀνόματος τοῦ Σουλτάνου, ἢ *Τουρᾶ*.)

Οἱ καλόγηροι τοῦ ἐν τῇ ἐπαρχίᾳ τῶν Καλαβρύτων κειμένου Μοναστηρίου Μέγα Σπήλαιον ἀνέφερον εἰς τὸ κράτος μου δι' ἀναφορᾶς των, λέγοντες ὅτι, « ἀπὸ τὴν ἅλωσιν τῆς Πελοποννήσου καὶ ἐφεξῆς, τὰ δέκατα, τὸ χαράτζιον, καὶ οἱ λοιποὶ φόροι τῶν παρ' ἡμῶν καλλιεργουμένων τόπων, οἵτινες κεῖνται ἐν ταῖς ἐπαρχίαις τῶν Καλαβρύτων, τῆς Βοστίτζας, τῶν Παλαιῶν Πατρῶν, καὶ τῆς Γαστούνης, ἀπεκόπησαν προσδιωρισμένως· καὶ κατὰ τὸ 1053 ἔτος, ὁ προσδιωρισμένος διὰ τὴν καταγραφὴν τοῦ Μωρέως Χατζῆ Ἀχμὲτ κατέγραψεν εἰς τὰ βασιλικὰ κατάστιχα τρεῖς χιλιάδες λεπτὰ (ἄσπρα) διὰ προσδιωριμένον ἐτήσιον φόρον μας. Ἀλλ' ἐπειδὴ τὰ ἀνὰ χεῖρας μας δοθέντα βασιλικὰ ἐνδεικτικὰ, καὶ ἀντίγραφα τοῦ βασιλικοῦ καταστίχου κατεκάησαν εἰς τὴν πυρκαϊὰν, ἥτις κατέκαυσε πρὸ μικροῦ τὰς κατοικίας μας, διάφοροι ξένοι ἐπέβαλλον χεῖρας εἰς τὰ κτήματά μας καὶ μᾶς ἠνώχλουν· διὸ ἀναφέροντες ἡμεῖς τὴν ἐνόχλησίν μας κατὰ τὸ 1084, καὶ προσθέσαντες εἰς τὸν διωρισμένον φόρον μας τρεῖς χιλιάδες λεπτὰ (ἄσπρα), χρονικῶς πεντήκοντα γρόσια γινόμενα ὅλα, ἤτοι ἓξ χιλιάδες ἄσπρα ὡρισμένως, ἐδίδομεν αὐτὰ εἰς τοὺς συντάκτας τῶν φόρων διὰ νὰ μὴ ἐνοχλούμεθα ὁλότελα, καὶ κατεγράφησαν εἰς τὸ ἀρχεῖον τῶν χαρατζίων, καὶ ἐξεδόθησαν αὖθις βασιλικὰ ἐνδεικτικὰ ἔγγραφα καὶ ἀντίγραφα τοῦ βασιλικοῦ καταστίχου, καὶ ὅμως πάλιν μᾶς ἐνοχλοῦν καὶ δὲν μᾶς ἀφίνουν ἐν ἡσυχίᾳ. Διὰ ταῦτα, ἀφ' οὗ κατ' ἔτος πληρόνωμεν εἰς τοὺς συντάκτας τῶν φόρων τὸν προσδιωρισθέντα φόρον μας, διὰ τὰ ἔκπαλαι ὑπὸ τὴν ἐξουσίαν μας ὄντα χωράφιά μας, ἀμπέλια μας, λειβάδιά μας, δένδρη μας, καὶ ἄλλα κτήματά μας, εὑρισκόμενα εἰς τὰ ἐν ταῖς ἐπαρχίαις Καλαβρύτων, Βοστίτζης, παλαιῶν Πατρῶν, καὶ Γαστούνης κείμενα μετόχιά μας, διὰ νὰ διαμένωσιν ὑπὸ τὴν κυριότητά μας, καὶ μηδεὶς ἄλλος, εἴτε Μιριμηράνης, εἴτε χὰσ Βοεβόνδας, εἴτε ἐπιστάται τῶν τιμαρίων, εἴτε γεντικτζίδες, εἴτε ἀρχηγοὶ τῶν στρατευμάτων, εἴτε ἄλλοι ἐξουσιασταὶ, νὰ μὴ μᾶς ἐνοχλῶσι μὲ ἀπαιτήσεις χαρατζίων, καὶ ἄλλων φόρων χωρὶς βασιλικὸν φερμάνιον, καὶ χωρὶς ἀντίγραφον τοῦ βασιλικοῦ καταστίχου, παρακαλοῦμεν νὰ μᾶς δοθῇ εἰς χεῖρας βασιλικὸν δίπλωμα (μπεράτιον) σύμφωνον μὲ τὰ πρὸ καιροῦ δοθέντα εἰς ἡμᾶς, τὸ βασιλικὸν φερμάνιον καὶ τὸ ἀντίγραφον τοῦ βασιλικοῦ καταστίχου ». Θεωρηθέντων λοιπὸν τῶν βασιλικῶν μου καταστίχων τῶν φυλαττομένων εἰς τὰ ἀρχειοφυλάκια τῶν χαρατζίων (ἰτζιζιά), καὶ τῶν λογαριασμῶν (μπᾶς μουχασαπὲ), ἐπειδὴ εὑρέθη καταγεγραμμένον, ὅτι εἰς τὸν ἐτήσιον φόρον τοῦ κατὰ τὴν ἐπαρχίαν Καλαβρύτων κειμένου Μοναστηρίου Μέγα Σπήλαιον, ὄντα ἀποκεκομένον διὰ τρεῖς χιλιάδες ἄσπρα (λεπτὰ), καὶ ἔγειναν πεντήκοντα γρόσια κατ' ἔτος, δηλ. σωστὰ ἓξ χιλιάδες ἄσπρα, καὶ κατὰ τὸ ἔτος 1084, τὴν ἐννάτην ἡμέραν τῆς σελήνης ρεμπιοὺλ ἐβὲλ, ἐδόθη εἰς αὐτοὺς βασιλικὸν φερμάνιον καὶ ἀντίγραφον τοῦ βασιλικοῦ καταστίχου, διὰ τοῦτο ἔγεινε βασιλικὴ προσταγή μου. Καὶ διδοὺς εἰς χεῖράς των τὸ παρὸν βασιλικὸν μπεράτιον διατάττω ὅτι τὸ μοναστήριον Μέγα Σπήλαιον, ἀφοῦ δώσῃ κατ' ἔτος εἰς τοὺς συνάκτας τῶν φόρων τὰ πενῆντα γρόσια, ἤτοι ἓξ χιλιάδες λεπτὰ (ἄσπρα), τὸν προσδιωρισθέντα φόρον διὰ τὰ ἐν ταῖς

ἐπαρχίαις Καλαβρύτων, Βοστίτζης, παλαιῶν Πατρῶν, καὶ Γαστούνης μετόχιά του, καὶ τὰ παρ᾽αὐτοῦ καλλιεργούγενα χωράφια, ἀμπέλια, λειβάδια, δένδρη, καὶ λοιπὰ κτήματα ὄντα ὑπὸ τὴν ἐξουσίαν του, νὰ μὴ τὸ ἐνοχλήσουν πλέον μὲ ἀπαιτήσεις χαρατζίων, δεκάτων, καὶ ἄλλων φόρων, οὔτε οἱ Μιριμηράνιδες, οὔτε οἱ χὰσ Βοεβόνδαι, οὔτε οἱ ἐπιστάται τῶν τιμαρίων, οὔτε οἱ φύλακες τῶν φρουρίων, οὔτε ἄλλοι ἔχοντες ἐξουσίαν τινά· οὕτως ἂς ἠξεύρωσι, καὶ ἂς δώσωσι πίςιν εἰς τὸ βασιλικόν μου σημεῖον.

Ἐξεδόθη τῇ 25 τῆς Σελήνης τζεμάζουλ ἐβέλ. ἐν ἔτει 1090. (ἀπὸ Χριστοῦ 1674).

[Ὅτι πιστὴ ἡ μετάφρασις· τῇ 12 Ἰουλίου 1834 ἐν Ἄργει. Ὁ διερμηνεὺς τοῦ Βασιλείου τῆς Ἑλλάδος. Ἰουσουφμπεῖς Ἀχμετπασαζαδές.]

ΙΓ΄.

ΣΟΥΛΤΑΝ ΑΧΜΕΤ (ὁ Γ.)

(Τουρᾶς.)

Ἐξοχώτατε καὶ ὑπέρτατε Βεζίρη, μουχασίλη τοῦ Μωρέως, καὶ λογιώτατοι κριταὶ τῶν Καλαβρύτων, καὶ τῆς Βοστίτζας, καὶ τῆς παλαιᾶς Πάτρας, καὶ τοῦ Χλουμουτζίου, πληθυνθείη ἡ δόξα ὑμῶν. Ἐρχομένου τούτου τοῦ ὑπερτάτου καὶ αὐτοκρατορικοῦ ὁρισμοῦ, γνωστὸν ὑμῖν ἔστω, ὅτι οἱ καλόγηροι τοῦ Μοναστηρίου Σπηλαίου, ὅπερ εἶναι εἰς τὴν διοίκησιν τῶν Καλαβρύτων ὅπου ὑπάρχει εἰς τὸν Μωρέα, πρὸς τὸ αὐτοκρατορικόν μου κριτήριον ἔδοσαν ἀναφορὰν διαλαμβάνουσαν ὅτι, ὁπόταν ἐμβῆκεν ὁ στρατὸς τῶν μουσουλμάνων εἰς τὸν ῥηθέντα Μωρέα διὰ νὰ τὸν κυριεύσῃ καὶ νὰ τὸν αἰχμαλωτίσῃ, πρῶτοι ἀπὸ ὅλους αὐτοὶ μετὰ σπουδῆς ἐδέχθησαν νὰ ἦναι ὑπήκοοι (ῥαγιάδες). Καὶ διὰ τοῦτο ἀπὸ τὸν καιρὸν τοῦ ἀοιδίμου Σουλτὰν Μεχμέτη, κατὰ τὴν ἀρχαίαν συνήθειαν ἐξουσιάζοντες τοὺς τόπους τόσον ἐκείνους ὁποῦ σπέρνονται, ὅσον καὶ ἐκείνους ὁποῦ δὲν σπέρνονται, ὅσοι εἶναι εἰς τοὺς τόπους των, καὶ εἰς τὰ κτήματά των (μούλκια) ὁποῦ ἐξουσιάζουσι καὶ εὑρίσκονται εἰς τὰ Καλάβρυτα, καὶ Βοστίτζαν, καὶ παλαιὰν Πάτραν, καὶ εἰς τὸ Χλουμούτζιον, καὶ τὰ Τρυπία, ὡρίσθη νὰ δίδωσι δι᾽αὐτὰ εἰς τὸ δημόσιον (Μιριμακτοῦ) δεκαπέντε χιλιάδες ἄσπρα, κατ᾽ἔτος, ἀντὶ τοῦ οὐσουρίου καὶ ρεσμίου, καὶ τῶν ἄλλων τεκιλιφίων, καὶ νὰ μὴ ἀνακατώνεται τινὰς εἰς τὰ κτήματα, καὶ εἰς τὰ χώματα, καὶ εἰς τὰ χωρία (τζιφτιλίκια), καὶ εἰς τὰ κουρία, καὶ εἰς τοὺς μύλους, καὶ εἰς τὰς ἐλαίας, καὶ εἰς τὰ περιβόλια, καὶ ἀμπέλια, καὶ ἀλώνια, καὶ ξεχειμάδια, καὶ μετόχια αὐτῶν, οὔτε νὰ ἐμποδίζῃ αὐτοὺς τινὰς ἐξουσιάζοντας αὐτά, οὔτε νὰ τοὺς πειράζῃ ζητῶν παρ᾽αὐτῶν οὐσοῦρι, καὶ ρέσμι, καὶ ἄσπρα, καὶ χαρίσματα, καὶ πράγματα, καὶ ζωοτροφίας (ζαχιρὲ), καὶ κτήνη, καὶ τετράποδα, καὶ ἄλλο τίποτε, καὶ ὁμολογίαν ταπίσματος, ὁποῦ νὰ δίδεται εἰς ἄλλον· Μ᾽ὅλον τοῦτο οἱ ὁρίζοντες τὸν μαλχιανὲ τῆς Βοστίτζας καὶ τοῦ χωρίου Διακοπτοῦ ὁποῦ εἶναι εἰς τὴν γειτονείαν των λέγουσιν εἰς τοὺς μοναχούς, ὅτι ἐσεῖς εἰς τοὺς προτητερινούς μας ἐδίδετε πρᾶγμα, τὸ λοιπὸν δίδετε καὶ εἰς ἡμᾶς· καὶ οὕτω τοὺς ἐνοχλοῦσι, καὶ ἀνακατόνονται εἰς τὸν τόπον τὸν καλούμενον Τρυπία. Αὐτοὶ λοιπὸν ἔχοντες καὶ μερικοὺς φετβάδες ὁποῦ συμφωνοῦν μὲ τὴν ἀγωγήν των, παρεκάλεσαν νὰ γένῃ προσταγὴ εἰς τοὺς ῥηθέντας νὰ μὴ τοὺς πειράζωσι, καὶ νὰ μὴ τοὺς ἐνοχλῶσι ζητοῦντες τους οὐσούρια, καὶ ρέσμια, καὶ ἄσπρα, καὶ πράγματα, καὶ κτήνη, καὶ τετράποδα, καὶ ἄλλο

τίποτε. Ὅθεν ἐθεωρήθη εἰς τὰ κατάστιχα τοῦ μπὰς μουχασεμπὲ, τὰ πεφυλαγμένα εἰς τὸ πλούσιόν μου ταμεῖον, καὶ ἔγεινε τερκενάρι διαλαμβάνον, ὅτι κατὰ τὴν ἁγίαν προσταγὴν, καὶ τὸ ἴσον τοῦ καταστίχου, καὶ τοῦ βασιλικοῦ μπερατίου, ὁποῦ ἐδόθησαν εἰς τὸν καιρὸν τοῦ μακαρίτου σουλτὰν Μεχμέτη, ἐδόθη προσταγή μου ἁγία περιέχουσα, ὅτι τὰ κτήματα καὶ τὰ χώματα τῶν καλογήρων τοῦ ῥηθέντος μοναστηρίου, τοῦ κειμένου εἰς τὸν ληφθέντα Μωρέαν, τὰ ὁποῖα αὐτοὶ ὁρίζουσιν καὶ εἶναι εἰς τοὺς ἄνωθεν τόπους κατὰ τὸν ἀρχαῖον τρόπον ἐγράφθησαν μακτοῦ, καὶ τὰ πρόβατά των, ἂν δὲν γένωσι χίλια, νὰ μὴ δίδωσι ῥέσμι, καὶ ἀντὶ τοῦ οὐσουρίου καὶ ῥεσμίου καὶ τῶν ἄλλων τεχιλιφίων νὰ πληρώνωσι κατ' ἔτος εἰς τὸ μιρὶ μακτοῦ ἄσπρα (λεπτὰ) 15000. Οἱ δὲ οὔτζ-τουγιλοὺ Πασάδες, καὶ οἱ Τεφτιστζίδες, καὶ οἱ χὰσ-Βοεβονδάδες, καὶ οἱ Σουμπασίδες τῶν ζαΐμιδων καὶ τιμαρίων, καὶ οἱ Μπεδελ-τζίδες, καὶ οἱ Ἐμίνιδες, καὶ οἱ Καστρινοὶ, καὶ τὸ φουσάτον, καὶ ἄλλοι ἀξιωματικοὶ, ἐναντίον τῆς προσταγῆς καὶ τοῦ καταστίχου καὶ τοῦ ἴσου τοῦ καταστίχου τοῦ βασιλικοῦ, καὶ ἐναντίον τῶν σενετίων, νὰ μὴ τοὺς πειράζωσι, καὶ νὰ μὴ τοὺς ἐνοχλῶσιν· ὅθεν κατὰ τοῦτον τὸν τρόπον ἐπροστάχθη νὰ ἐνεργῶνται τὰ ἄνωθεν. Ὁρίζω λοιπὸν, καθὼς φθάσῃ ἡ ἀπόφασίς μου ἡ ἁγία, κατὰ τὴν ἐκδοθεῖσαν προσταγήν μου νὰ ἐνεργήσητε, ἤγουν, τὰ κτήματα καὶ τὰ χώματα τῶν μοναχῶν· τοῦ ῥηθέντος Μοναστηρίου, τὰ ὁποῖα αὐτοὶ ὁρίζουσι, καὶ εἶναι μέσα εἰς σύνορα φανερὰ καὶ πασίδηλα, καὶ κεῖνται εἰς τοὺς ἄνωθεν τόπους, νὰ τὰ κάμητε νὰ εἶναι κατὰ τὴν ἄνωθεν συνήθειαν ἰδικά των, καὶ τὰ πρόβατα ἕως οὗ νὰ γένωσι χίλια νὰ μὴ δίδωσι ῥέσμι, καὶ ἀντὶ οὐσουρίου καὶ ῥεσμίου καὶ ἄλλων τεχιλιφίων νὰ πληρώνωσι κατ' ἔτος εἰς τὸ μιρὶ μακτοῦ 15000 ἄσπρα, καὶ κατὰ τὸ ἔκπαλαι νὰ ἐμποδίζητε τοὺς οὔτζτουγιλοὺ Πασάδες, καὶ Τεφτιστζίδες, καὶ Χασβοεβοδάδες, καὶ Σουμπασίδες τῶν ζαΐμιδων, καὶ τιμαριωτῶν, καὶ τοὺς Μπεδελτζίδες, καὶ Ἐμίνιδες, καὶ Καστρινοὺς καὶ ἄλλους ἀξιωματικοὺς, ἐναντίον τῆς προσταγῆς καὶ τοῦ καταστίχου καὶ τῶν σενετίων, καὶ ἔξω τοῦ παλαιοῦ καὶ τοῦ νῦν δοθέντος ἁγίου ὁρισμοῦ, νὰ μὴ κάμνουν εἰς αὐτοὺς στενοχωρίαν καὶ δυναστείαν διὰ τὰ κτήματα καὶ τὰ χώματά των. Ἔτζι νὰ ἠξεύρετε, καὶ νὰ πείθεσθε εἰς τοῦτο τὸ σημεῖον τὸ ἅγιον, τὸ ὁποῖον ἐγράφη.

Ἐν ἔτει 1149 κατὰ τὰς ἀρχὰς τοῦ Φεγγαρίου Ῥετζὲπ (ἀπὸ Χ. 1724.)

ΙΔʹ.

ΣΟΥΛΤΑΝ ΣΕΛΙΜ (ὁ Γʹ.)

(Τουρᾶς.)

Πληρεξούσιε κτλ. Βεζύρη τοῦ Μωρέως, αὐξηθείη ἡ λαμπρότης σου. Καὶ πεπαιδευμένοι Καδίδες (κριταὶ) τῶν ἐπαρχιῶν Καλαβρύτων, Βοστίτζης, Γαστούνης καὶ παλαιῶν Πατρῶν, αὐξηθείη ἡ σοφία σας.

Ἅμα φθάσῃ τὸ παρόν μου βασιλικὸν σημεῖον θέλει σᾶς γένῃ γνωστὸν, ὅτι οἱ καλόγηροι τοῦ Μοναστηρίου Μέγα Σπήλαιον λεγομένου καὶ κατὰ τὴν ἐπαρχίαν τῶν Καλαβρύτων κειμένου, ἀνέφερον εἰς τὸ κράτος μου, ὅτι μ' ὅλον ὁποῦ, διὰ τὰ ἀπὸ τὸν καιρὸν τῆς βασιλικῆς ἁλώσεως

εὑρισκόμενα εἰς χεῖράς τους κτήματα καὶ γαίας, ὁποῦ κεῖνται εἰς τὰς ἐπαρχίας Βοστίτζης, Καλαβρύτων, παλαιῶν Πατρῶν, καὶ Γαστούνης, ὑπάρχουσιν ἐκδεδομένοι βασιλικοὶ ὁρισμοὶ διαλαμβάνοντες τὴν ἀσυδοσίαν των ἀπὸ τῆς δεκατίας καὶ λοιπῶν φόρων, μὲ ὅλον τοῦτο ποτὲ μὲν ἀπὸ τὸ μέρος τῶν σπαχίδων, ποτὲ δὲ ἀπὸ τὸ μέρος τῶν βοεβονδάδων καὶ ἄλλων ἐν δυνάμει, ἠνωχλοῦντο καὶ ἐπηρεάζοντο, διὰ τοῦτο προσθέσαντες εἰς τὸν ἔκπαλαι προσδιωρισμένον φόρον των ἔτι τι παρέδιδον εἰς αὐτούς. Ἐπειδὴ δὲ καὶ οἱ Βοεβόνδαι τῆς Γαστούνης ἐζήτουν ἀπὸ αὐτοὺς χρήματα μὲ διαφόρους ἐπιζημίους τρόπους, διὰ τοὺς τόπους τοὺς λεγομένους Μετόχιον τοῦ Μαυροβουνίου, μ᾽ ὅλον ὁποῦ οἱ ἐν τούτοις τοῖς τόποις κατοικοῦντες καλόγηροι καὶ ῥαγιάδες ἦσαν ἐλεύθεροι ἀπὸ τοὺς ῥηθέντας φόρους, ἐσυμφώνησαν νὰ δίδωσι κατ᾽ ἔτος καὶ τῷ Βοεβόνδᾳ τῆς Γαστούνης διὰ τοῦ ἐπιστάτου τοῦ ῥηθέντος Μετοχίου 250 γρόσια, λόγῳ συνδρομῆς εἰς τοὺς φόρους τῆς ἐπαρχίας ἀποκεκομμένως κατ᾽ ἀναλογίαν· καὶ ἐπ᾽ αὐτῷ τούτῳ ἔγειναν καὶ ἐκ μέρους τῆς κρίσεως ἐπίσημα ἐνδεικτικὰ ἔγγραφα (σενέτιον καὶ χοντζέτιον) διαλαμβάνοντα τὴν συμφωνίαν ταύτην. Καὶ ὅτι, διὰ νὰ μὴ τοὺς ἐνοχλῇ κανεὶς οὔτε ἀπὸ τοὺς νεφέριδες τοῦ φρουρίου Ναβαρίνων, οὔτε ἀπὸ τοὺς ἐνοικιαστὰς τῶν δεκάτων, λέγοντας ὅτι οἱ ἔκπαλαι βακούφικοι τόποι τοῦ ῥηθέντος Μοναστηρίου ἐμπεριέχονται εἰς τοὺς τόπους τῶν τιμαρίων των, ἐναντίον τῶν ὅσα διομολογοῦσι τὰ βασιλικά μου κατάστιχα, ἐξεδόθησαν βασιλικαὶ διαταγαὶ διαλαμβάνουσαι τὰ παλαιὰ ὅρια τῶν εἰρημένων κτημάτων, καὶ ἐμποδίζουσαι τὴν φορολογίαν τῶν ἐν τοῖς εἰρημένοις ὁρίοις περιεχομένων κτημάτων, καὶ γαιῶν, ἀμπελίων, χωραφίων, ἐλαιοδένδρων, οἰκιῶν, ἐργαστηρίων, καὶ τόπων ἄλλων, τοὺς ὁποίους οἱ ἴδιοι καλόγηροι ἐξεχέρσωσαν, ἐν ὅσῳ δίδουσι κατ᾽ ἔτος εἰς τὸν βασιλικόν μου θησαυρὸν τὸν προσδιωρισμένον φόρον αὐτῶν, καὶ ἀναιροῦσαι τὴν ἀπαίτησιν δεκάτων καὶ ἄλλων φόρων ἐκ μέρους τῶν δεκατιστῶν, καὶ τῶν ἐν δυνάμει, καὶ τῶν ἐφόρων τῆς βασιλείας μου, καθὼς καὶ τὸν φόρον χιλίων προβάτων. Ἀλλ᾽ ἐπειδὴ οἱ εἰς τὰ πέριξ διατρίβοντες τοὺς παρενοχλοῦσι, πότε μὲ ἀπαιτήσεις δεκάτων καὶ φόρων, καὶ πότε μὲ ἀπαιτήσεις προβλέψεων, καὶ γίνονται αἴτιοι τοῦ ὀλέθρου των, ἐξητήσαντο νὰ ἐξαχθῶσιν ἐκ τῶν βασιλικῶν ἀρχείων μου ἀντίγραφα τῶν βασιλικῶν διαταγῶν καὶ τῶν ἀνὰ χεῖρας αὐτῶν εὑρισκομένων ἀντιγράφων τοῦ βασιλικοῦ καταστίχου, ὅπου καταγράφονται αἱ γαῖαι τῶν ὁποίων εἶναι ἔκπαλαι κύριοι, καὶ αἱ ὁποῖαι κεῖνται εἰς τὰς ἐπαρχίας Καλαβρύτων, Βοστίτζης, παλαιῶν Πατρῶν, καὶ Γαστούνης, καθὼς καὶ τὰ σύνορα αὐτῶν, καὶ νὰ ἐκδοθῇ αὐστηρὰ βασιλική μου διαταγή, διὰ νὰ μὴ ἀπαιτῶνται παρὰ βοεβονδάδων, δεκατιστῶν, καὶ ἄλλων ἐν δυνάμει, καὶ νὰ μὴ συνάζωνται παρ᾽ αὐτῶν οὔτε ὀλίγα, οὔτε πολλά, δέκατα καὶ φόροι διὰ τὰς ἀμπέλους, τὰ χωράφια, τὰ ἐλαιόδενδρα, τὰ ἐργαστήρια, τὰ ὁποῖα ἐμπεριέχονται εἰς τὰ ῥηθέντα σύνορα, οὔτε δι᾽ ὅσα ἄλλα ἐξεχέρσωσαν οἱ καλόγηροι, οὔτε φόρος διὰ τὰ χίλια πρόβατά των. Ἐξετασθέντων οὖν τῶν ἐν τῷ βασιλικῷ μου θησαυρῷ καταστίχων, ἐξήχθη, ὅτι οἱ καλόγηροι τοῦ κατὰ τὴν ἐν Πελοποννήσῳ ἐπαρχίαν Καλαβρύτων κειμένου Μοναστηρίου Μέγα Σπήλαιον, ἐν καιρῷ τῆς ἁλώσεως τῆς Χερσοννήσου, ἀπεδέχθησαν πρὸ πάντων τὴν ὑποταγήν, καὶ ἐδόθη εἰς χεῖράς των αὐστηρὰ βασιλικὴ διαταγὴ διαλαμβάνουσα τὴν ἀσυδοσίαν των, καὶ ὅτι, ἀφ᾽ οὗ πληρώνουν κατ᾽ ἔτος εἰς τὸν βασιλικόν μου θησαυρόν, διὰ τῶν ἡγεμόνων τοῦ Μωρέως, μετὰ τῆς γενομένης προσθήκης τὸ ὅλον τριάκοντα πέντε χιλιάδες λεπτὰ (ἄσπρα), ὡς ἀντίτιμον τῆς ἀσυδοσίας τῶν δεκάτων καὶ ἄλλων φόρων διὰ τὰ ὑποτεταγμένα εἰς τὸ ῥηθὲν Μοναστήριον κτήματα καὶ γαίας, νὰ μὴ ἐνοχλῶνται παρ᾽ οὐδενὸς μὲ ἀπαιτήσεις τοιούτων φόρων. Ἐπειδὴ δὲ ἐναντίον τῶν βασιλικῶν μου διαταγῶν ἠνωχλοῦντο παρὰ τῶν διωρισμένων συνάδων

μὲ νέας ἀπαιτήσεις καὶ λήψεις ἔξω τοῦ εἰρημένου ἀντιτίμου τῆς ἀσυδοσίας των, διὰ τὰ κτήματα τὰ ἐκχερσωθέντα καὶ καλλιεργούμενα παρ᾽ αὐτῶν εἰς τὴν ῥηθεῖσαν Χερσόννησον, καὶ φόρους διὰ χίλια πρόβατά των, καὶ ἐπειδὴ τὸ ἀντίτιμον τῆς παλαιᾶς ἀποκοπῆς τῶν δεκάτων καὶ φόρων, τῶν ὁποίων ἡ πληρωμὴ ὠφείλετο ἀπὸ τοὺς καλογήρους τοῦ εἰρημένου Μοναστηρίου, διὰ τὰ κτήματα καὶ τὰς γαίας των, δηλ. αἱ εἰκοσιπέντε χιλιάδες λεπτὰ (ἄσπρα), συναζόμενα παρὰ τῶν Ἡγεμόνων τοῦ Μωρέως ἐστέλλοντο εἰς τὸν βασιλικόν μου θησαυρὸν, καὶ ἦσαν ἐκ τῶν συμπεριλαμβανομένων εἰς τὴν ἡγεμονείαν τοῦ Μωρέως· κατὰ δὲ τὸ ἔτος 1200, ἡ ῥηθεῖσα ἀποκοπὴ ὁμοῦ μὲ ἄλλας προσόδους ἐχωρίσθη καὶ ἐδόθη πρός τινας, ἐν εἴδει μ α λ κ ι α ν ὲ, διὰ ἀντάλαγμα 200 γροσίων, οἱ δὲ Ἡγεμόνες τοῦ εἰρημένου Μ ο υ κ α τ ᾶ δὲν ἄφιναν εἰς ἡσυχίαν, καὶ παρηνώχλουν τοὺς καλογήρους τοῦ ῥηθέντος Μοναστηρίου μὲ ἀπαιτήσεις φόρων διὰ τὰ κτήματα, καὶ περιβόλια, καὶ ἐλαιόδενδρά των. Διὰ ταῦτα ἐπὶ τῇ βάσει τοῦ ὅτι οἱ καλόγηροι τοῦ ῥηθέντος Μοναστηρίου εἰς τὴν ἅλωσιν τοῦ Μωρέως ἀπεδέχθησαν πρῶτοι τὴν ὑποταγὴν, τὸ ἀντίτιμον τῆς ἀσυδοσίας των, γενομένης καὶ προσθήκης δέκα χιλιάδων λεπτῶν (ἄσπρων) εἰς αὐτὴν τὴν ἀποκοπήν των, δι᾽ ὧν αὐτὴ συμποσοῦται τριάντα πέντε χιλιάδες λεπτὰ (ἄσπρα), κατὰ τὸ ἔτος 1211· ταῦτα τὰ χρήματα προσετέθησαν εἰς τὴν ἀποκοπὴν τοῦ ἐν Κωνσταντινουπόλει πατριαρχείου, διὰ νὰ παραδίδωνται κατ᾽ ἔτος εἰς τὸν θησαυρόν μου ἐκ μέρους τοῦ ῥηθέντος πατριαρχείου, καὶ ἀκυρώθη τὸ ἔγγραφον τ ο ῦ Μ α λ κ ι α ν έ. Ἐπειδὴ εἶναι διατεταγμένον εἰς τὰ ἀνὰ χεῖρας τῶν καλογήρων σωζόμενα φερμάνιά μου νὰ κερδαίνωσι τὰ δέκατα καὶ τοὺς φόρους τῶν ἐν τοῖς ὁρίοις τοῦ ῥηθέντος Μοναστηρίου κειμένων γαιῶν, καὶ νὰ μὴ ἀπαιτῶνται φόρους διὰ τὰ χίλια πρόβατά των, πληρόνοντες τὴν ἀποκοπήν των μετὰ τῆς γενομένης προσθήκης, μηδὲ νὰ ζητηθῶσι ποτὲ παρ᾽ αὐτῶν φόροι διὰ τὰ ἐν τοῖς ὁρίοις τοῦ Μοναστηρίου κείμενα, γαίας, περιβόλια, καὶ ἐλαιόδενδρα, καὶ νὰ μὴ ἐνοχλῶνται μὲ λήψεις φόρων διὰ τὰ χίλια πρόβατά των, τόσον οἱ καλόγηροι, ὅσον καὶ οἱ ῥαγιάδες οἱ κατοικοῦντες εἰς τὸ κατὰ τὴν ἐπαρχίαν τῆς Γαστούνης κείμενον Μετόχιον, τὸ ὁποῖον ἐπονομάζεται Μαῦρα Βουνὰ, ἀφ᾽ οὗ πληρώνωσι κατ᾽ ἔτος τὰ μετὰ τῆς προσθήκης γινόμενα τριάντα πέντε χιλιάδες λεπτὰ (ἄσπρα) ὡς ἀντίτιμον τῆς ἀσυδοσίας των, τῆς ὁποίας ἡ πληρωμὴ ὠφείλετο εἰς τὸν διατεταγμένον συνάκτην αὐτῶν, καὶ νὰ εἶναι ἐλεύθεροι ἀπὸ ὅλους τοὺς ἄλλους φόρους. Καθότι ἀφ᾽ οὗ πληρώνωσι κατ᾽ ἔτος τὴν ἀποκοπήν των μετὰ τῆς γινομένης προσθήκης ὡς ἀντίτιμον τῆς ἀσυδοσίας των διὰ τὰ ὀφειλόμενα δέκατα καὶ ἄλλους φόρους τῶν γαιῶν, ἐλαιοδένδρων, ὀσπητίων, περιβολίων, ἀμπελίων, καὶ λειβαδίων, χειμερινῶν καὶ θερινῶν, τῶν ὁποίων τὰ σύνορα εἶναι σημειωμένα κατὰ τὰ βασιλικά μου κατάστιχα, καὶ κεῖνται εἴτε εἰς τὸ κατὰ τὴν ἐπαρχίαν τῆς Γαστούνης ξενοτροφεῖον καὶ μετόχιον, τὸ ὁποῖον εἶναι ἐκ τῶν παραρτημάτων τοῦ ῥηθέντος Μοναστηρίου, εἴτε εἰς αὐτὸ τὸ ἴδιον Μοναστήριον Μέγα Σπήλαιον, τὰ ὁποῖα τροφοδοτοῦσι τοὺς διαβαίνοντας ἐκεῖθεν ἡγεμόνας, ἐξουσιαστὰς, καὶ ἄλλους ἀνθρώπους ἄνευ μηδεμιᾶς πληρωμῆς, τὸ νὰ ἐνοχλῶνται καθ᾽ ὁποιονδήτινα τρόπον, καθὼς καὶ τὸ νὰ ἐπηρεάζωνται οἱ καλόγηροι καὶ λοιποὶ ῥαγιάδες τοῦ ῥηθέντος Μετοχίου παρὰ τῶν βοεβονδάδων τῆς Γαστούνης μὲ ἀπαιτήσεις περισσοτέρων φόρων εἶναι ἐναντίον εἰς τὰς βασιλικάς μου διαταγὰς τὰς ἐκδοθείσας κατὰ διαφόρους ἐποχὰς διὰ τὴν ἀσυδοσίαν των καὶ τὸν κανονισμὸν αὐτῶν. Ἐπειδὴ δὲ καί τινες ἐκ τῶν φυλάκων τοῦ φρουρίου Ναβαρίνων, καὶ τῶν ἐνοικιαστῶν, ἐναντίον τῶν βασιλικῶν κανόνων τοὺς παρηνώχλουν μὲ ἀπαιτήσεις φόρων, καὶ κρισολογηθέντων, μ᾽ ὅλον ὁποῦ ἀπεδείχθη ὅτι αἱ ἀπαιτήσεις των ἦσαν ἐναντίαι εἰς τὰς βασιλικάς μου διαταγὰς καὶ εἰς τὴν ἀσυδοσίαν των, κατέ-

παυσεν ἡ διαφιλονείκησις, καὶ ἐδόθησαν εἰς αὐτοὺς νόμιμα πιστοποιητικὰ ἔγγραφα (ἰλάμιον καὶ χοντζέτιον) ἐκ μέρους τῆς κρίσεως περὶ τούτου, αὐτοὶ δὲ ἐπέμενον εἰς τὰς ἀπαιτήσεις των, ἐξαχθέντων ἐκ τοῦ βασιλικοῦ μου ἀρχείου τῶν κατὰ τὰς ῥηθείσας γαίας ἐκδοθέντων φερμανίων μου, διαλαμβανόντων ὅτι διὰ τὰ δέκατα καὶ ἄλλους φόρους τῶν τόπων τῶν περιεχόντων χειμερινὰ καὶ θερινὰ λειβάδια, ἀμπέλους, περιβόλια, ἐλαιόδενδρα, οἰκίας καὶ χωράφια, τῶν κειμένων εἰς τὸ κατὰ τὸ μέρος τῆς Γαστούνης διαληφθὲν μετόχιον τὸ ἐπονομαζόμενον Μαῦρα Βουνὰ, καὶ ὂν ἐκ τῶν παραρτημάτων τοῦ ῥηθέντος Μοναστηρίου, καὶ ἐχόντων ὅρια τὴν ἄκραν τῆς θαλάσσης ἕως τὸν ἀνήφορον, καὶ ἐκεῖθεν ἕως τὸ παραχειμάδιον τῶν ἀρπάδων, καὶ ἐκεῖθεν διὰ τῶν παλουκίων ἕως τὴν δάφνην, καὶ ἐκεῖθεν εἰς τὰς βαλανιδίας, καὶ ἐκεῖθεν διὰ τῶν ἄκρων τῆς τάφρου κατ' εὐθεῖαν εἰς τὴν Ἐκκλησίαν τοῦ προφήτου Ἠλιοῦ, καὶ ἐκεῖθεν διὰ τῆς μεγάλης ὁδοῦ, καὶ τοῦ σουβαδίου καὶ τοῦ Ἰτουσίνη τὸν κατήφορον, καὶ διὰ τῆς μεγάλης δάφνης, καὶ διὰ τοῦ παλαιοκάστρου, καὶ διὰ τῆς σκάλας τῶν ἀρπάδων ἕως ὁποῦ καταντᾶ εἰς τὸν τόπον τὸν ἐπιλεγόμενον ζευγαρόπετρα, εὑρέθη διατεταγμένον ἀφ' οὗ πληρόνωσι κατ' ἔτος εἰς τὸν βασιλικόν μου θησαυρὸν τὰ τριάντα πέντε χιλιάδες λεπτὰ (ἄσπρα), ὄντα τὸ ἀντίτιμον τῆς ἀσυδοσίας των, νὰ μὴ ἐνοχλῶνται πλέον μὲ ἀπαιτήσεις δεκάτων καὶ ἄλλων φόρων. Καὶ ἐρωτηθέντος τοῦ ἐκ τῶν λειτουργῶν μου περιφανεστάτου Ἀσμὴ Ἐφένδη, τοῦ ἐπὶ τῆς διατηρήσεως τῶν κανονισμῶν τοῦ Μωρέως, περὶ τοῦ τί εἶναι ἀναγκαῖον νὰ γένῃ ἐν ταύτῃ τῇ ὑποθέσει, ἐπειδὴ ἐπεβεβαίωσε δι' ἐνσφραγίστου ἐγγράφου πιστοποιήσεώς του, ὅτι ἐπειδὴ αἱ ὑποθέσεις καὶ ἔννοιαι τῶν ἐκδοθέντων βασιλικῶν μου φερμανίων δὲν ἀντιφάσκουσιν εἰς τὰς αἰτήσεις τῶν διαληφθέντων καλογήρων, νὰ ἐκδοθῇ βασιλική μου διαταγὴ σύμφωνος μὲ τὰ ἔκπαλαι καὶ κατὰ διαφόρους ἐποχὰς ἐκδοθέντα βασιλικά μου φερμάνια. Διὰ τοῦτο ἔγεινε βασιλική μου διαταγὴ ἵνα ἐνεργηθῇ καθὼς διαβεβαιοῖ ὁ εἰρημένος ὑπουργός μου· καὶ διατάττω, ἅμα φθάσωσιν οἱ φέροντες τὴν παροῦσαν βασιλικήν μου διαταγὴν, Σεῖς οἵτινες εἶσθε ἐγνωσμένοι, ὅ,τε Ἡγεμὼν, καὶ οἱ διαληφθέντες κριταὶ, νὰ ἐνεργήσητε καὶ τώρα καὶ πάντοτε, σύμφωνα μὲ τὴν παροῦσαν βασιλικήν μου διαταγὴν, κατὰ τὸν ἄνω εἰρημένον τρόπον, καὶ νὰ μὴ δείξητε διάθεσιν καὶ κλίσιν εἰς τὸ ἐναντίον αὐτῆς· οὕτω γινώσκετε καὶ πιστεύσατε εἰς τὸ βασιλικόν μου Σημεῖον.

Ἐξεδόθη τῇ 17 τῆς Σελήνης Ῥεμπιοὺλ Ἐβὲλ ἐν ἔτει 1219 (ἀπὸ Χριστοῦ 1803.)

[Ὅτι πιστὴ ἡ μετάφρασις τῇ 12 Ἰουλίου 1834 ἐν Ἄργει. Ὁ διερμηνεὺς τοῦ Βασιλείου τῆς Ἑλλάδος. Ἰουσουφμπεῖς Ἀχμετπασαζαδές].

ΜΕΡΟΣ ΤΡΙΤΟΝ.

Ἡ Ἀκολουθία τῆς ἐτησίου ἑορτῆς τῶν ἁγίων ἡμῶν πατέρων Συμεὼν καὶ Θεοδώρου, καὶ τῆς ὁσίας Εὐφροσύνης.

Μηνὶ Ὀκτωβρίῳ ιή, ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱςῶμεν ςίχους δ'. καὶ ψάλλομεν ςιχηρὰ προσόμοια. Ποίημα Καλλινίκου.

Ἦχος πλ. β.

Ὅλην ἀποθέμενοι.

Ὅλως ἐκ νεότητος, ἐνθέῳ πόθῳ τρωθέντες, κόσμου πλάνην ἅπασαν, καὶ τρυφὴν τὴν ῥέουσαν ἀπηρνήσασθε, τὸν ςαυρὸν ἄραντες, ὅπλον σωτηρίας, καὶ Χριςῷ ἀκολουθήσαντες· καὶ νῦν πανεύφημοι, σὺν χοροῖς ἁγίων εὐφραίνεσθε· μεθ' ὧν συνδοξαζόμενοι, καὶ τῶν ἱκετῶν ὑμῶν μέμνησθε, τῶν πίςει τιμώντων καὶ πόθῳ ἐκτελούντων εὐσεβῶς, τὴν ἱερὰν καὶ σεβάσμιον, μνήμην ὑμῶν ὅσιοι.

Κάλλος ἐκποθήσασα, σοῦ τοῦ Δεσπότου προθύμως, ὀπίσω σου ἔδραμε, δυὰς ἡ ἀοίδιμος καὶ αὐτάδελφος· τὰ τερπνὰ πάντα δὲ, τοῦ ματαίου βίου, ὡς σκιὰν ὑπερφρονήσαντες, πρὸς τὸ πρωτόπλαςον, κάλλος τῆς εἰκόνος ἀπέβλεπον, ἀλώβητον φυλάττοντες, καὶ παθῶν ἀχλύος ἀθόλωτον, ὅθεν καὶ τὴν θείαν εἰκόνα Σου Χριςὲ καὶ τῆς Μητρὸς, εὑρεῖν αὐτοὺς κατηξίωσας, μόνε πολυεύσπλαγχνε.

Τόπους προσκυνήσαντες, περιχαρῶς τοὺς ἁγίους, εἶδον ἐν ὁράματι τὴν τῶν ὅλων Δέσποιναν οἱ αὐτάδελφοι, φῶς αὐτοῖς ἄπλετον, καὶ κράτος

διδοῦσαν, εἰς τοῦ θείου σου θελήματος, Σῶτερ Ἰησοῦ τὴν ἐκπλήρωσιν, διὸ πρὸς ταύτην ἔδραμον, ὡς ἀγγελικοί σου θεράποντες. Καὶ νῦν σὺν Ἀγγέλοις, τῆς αἴγλης ἀπολαύοντες τῆς σῆς, ὑπὲρ ἡμῶν δυσωποῦσί σε, Δέσποτα φιλάνθρωπε.

Εὗρον οἱ θεόφρονες, σὺν τῇ ἁγίᾳ παρθένῳ, Σοῦ τὸν τύπον Δέσποινα, ὃν Λουκᾶς ὁ ἔνδοξος προεχάραξε, φωτισθεὶς πάναγνε, ἐκ τῆς σῆς χάριτος, καὶ αὐτὸν ἀπεθησαύρισαν, ἐν τῷ σκηνώματι, σοῦ τῆς θείας δόξης Παντάνασσα· διὸ τὴν τούτων σήμερον μνήμην ἐκτελοῦντες δεόμεθα, σῷζε Θεοτόκε, ταῖς τούτων ἱκεσίαις τοὺς πιςούς, τοὺς πανταχοῦ προσκυνοῦντάς σου, τὴν μορφὴν τὴν ἄχραντον.

Δόξα. Ἦχος δʹ.

Τὴν πτωχείαν τοῦ πλουσίου ἐν ἐλέει καὶ οἰκτιρμοῖς Ἰησοῦ ποθήσαντες, πλοῦτον ἐλίπετε φθαρτόν· καὶ τὴν τρίβον τὴν στενὴν προθύμως ἀνύσαντες, εἰς πλάτος ἐφθάσατε παραδείσου. Καὶ νῦν σὺν τοῖς χοροῖς τῶν ἁγίων τῆς θείας δόξης ἠξιωμένοι, Πατέρες τρισόλβιοι, μέμνησθε δεόμεθα καὶ ἡμῶν, πρεσβεύοντες τῷ Κυρίῳ ῥυσθῆναι ἡμᾶς ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν Θεοτοκίον. Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου.

Εἰς τὰ ἀποςίχου προσόμοια. Ἦχος βʹ.

Οἶκος τοῦ Εὐφραθᾶ.

Δεῦτε χαρμονικῶς, προβῶμεν ἐν Σπηλαίῳ, τὴν τῆς Ἀειπαρθένου, τιμήσοντες εἰκόνα, ἣν ὁ Λουκᾶς ἐτύπωσε.

Στίχ. Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς.

Βρύει παντοδαπὰς, ἰάσεις ἀεννάως, ἡ πάνσεπτος καὶ θεία, εἰκών σου Θεοτόκε, τοῖς πίςει σοι προσρέχουσι.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσει.

Σήμερον Συμεὼν, συνάμα Θεοδώρῳ, καὶ θείᾳ Εὐφροσύνῃ, καλῶς ἀγωνισθέντες, ἐν οὐρανοῖς ἀγάλλονται.

Δόξα, Καὶ νῦν, ὅμοιον.

Χαῖρε ἡ τὴν χαρὰν, τοῦ κόσμου δεξαμένη, Χριςὸν τὸν ζωοδότην, καὶ παύσασα τὴν λύπην, Παρθένε τῆς προμήτορος.

Νῦν ἀπολύεις. Τὸ Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐςίν. Καὶ τὰ τροπάρια. Ἀπόςολε ἅγιε. Δόξα, Ὁ Θεὸς τῶν πατέρων ἡμῶν. Καὶ νῦν, Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον. Καὶ γίνεται ἀπόλυσις.

Εἰς τὸ ἀπόδειπνον, ὁ φωτοφόρος Κανὼν εἰς τὴν ὑπεραγίαν Θεοτόκον· ποίημα Θεοκτίςου μοναχοῦ τοῦ Στουδίτου· οὗ ἡ ἀκροςιχίς.

Φωτὸς δοχεῖον φώτισόν με φωτί σου. Ἀμήν.

Ὠδὴ ά. Ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Φωτί με τῶν πρεσβειῶν σου φώτισον θεογεννήτρια, ἡ γενομένη μήτηρ τοῦ φωτὸς, τοῦ ἀδύτου πανάχραντε, καὶ φωτισμόν μοι γνώσεως παρασχεθῆναι καθικέτευσον.

Ὡς οὖσα φωτοειδὴς πανάχραντε θεογεννήτρια, φωτιςικαῖς πρεσβείαις σου ἁγνὴ, σκοτισθέντα με φώτισον, καὶ τοῦ φωτὸς βαδίζειν με τὰς θείας τρίβους καταξίωσον.

Τὴν νύκτα τῶν λογισμῶν μου φώτισον φωτί σου πάναγνε, καὶ τὴν ψυχήν μου πύλη τοῦ φωτὸς, φωτοφόρον ἀπέργασαι, ἵνα τὸ φῶς θεάσωμαι τοῦ φωτοδότου καὶ Θεοῦ ἡμῶν.

Ὀμίχλην τὴν τῶν παθῶν ἀπέλασον τὸ φῶς ἡ τέξασα, θεογεννήτωρ μόνη ἡ φωτὸς, προφανῶς ὑπερλάμπουσα, ἡλιακοῦ πανάχραντε, φωτοκυήτωρ παντευλόγητε.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Συγχώρησιν ἐξαιτῶ φωτιςικῶν σου πρεσβειῶν ἄχραντε, ἣν συμπαθῶς δίδου μοι, φῶς τὸ ἐκ φωτὸς ἡ κυήσασα.

Διάνοιαν σκοτεινὴν τῇ φωτοφόρῳ σου αὐγῇ φώτισον· σὺ γὰρ φρικτῶς τέτοκας, τοῦ Πατρὸς ἁγνὴ τὸ ἀπαύγασμα.

Οὐκ ἔςιν ἐπὶ τῆς γῆς ἁμαρτωλότερος ἐμοῦ πάναγνε· ὅθεν βοῶ φώτισον, πύλη τοῦ φωτὸς τὴν καρδίαν μου.

Χωρίον φωτοειδὲς τῆς ὑπερφώτου ἀληθῶς φύσεως, φῶς θεϊκὸν ἄχραντε, καὶ φωτὸς ἀκτῖνα παράσχου μοι.

Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Ἐκ νεότητός μου πάναγνε φωτοτόκε, ταῖς ἡδοναῖς ῥεῤῥύπωμαι· τῆς δικαιοσύνης ἥλιον τεκοῦσα Χριςὸν, φωτί σου νῦν φώτισον, τὴν ἀμαυρωθεῖσαν καρδίαν μου.

Ἰατρεῖον σὺ πανάμωμε φωτοτόκε, φωτιςικὸν ὑπάρχουσα, φώτισον τὸν νοῦν μου Λόγου φωτοφόρε σκηνὴ, καὶ ῥῦσαι τοῦ σκότους με, ἐν φωτὶ ἀΰλῳ σκηνοῦσά με.

Ὁλοτρόπως τῇ κακίᾳ κατεδουλώθην, ἀλλ᾽ ἐπὶ σοὶ προσφεύγω νῦν ὁ ἐσκοτισμένος, φώτισόν με πύλη φωτὸς, καὶ ῥῦσαι γεέννης με, καὶ φωτὸς ἀΰλου ἔμπλησον.

Νομοθέτην ἡ τεκοῦσα καὶ φωτοδότην, τὴν χαλεπὴν ἀπέλασον σκοτίαν νοός μου, σοῦ τῶν πρεσβειῶν τῷ φωτὶ, καὶ φώτισον δέομαι, τὸν ἐσκοτισμένον ὁλόφωτε.

Ὠδὴ έ. Σὺ Κύριέ μου φῶς.

Φῶς σὺ τὸ ἐκ φωτὸς, ὑπὲρ λόγον κυήσασα, φῶς δίδου μοι ἐπιςρέφον, ἐκ ζοφώδους ἀγνοίας, τὸν πίςει ἀνυμνοῦντά σε.

Ὡς οὖσα Χερουβὶμ, Σεραφὶμ ὑπερτέρα τε, πανάχραντε Θεοτόκε, τὴν ψυχήν μου φωτί σου, φωτοκυήτωρ φώτισον.

Τίς δύναται νοεῖν, τοῦ φωτός σου τὸ ἄῤῥητον, ὑπέρφωτε Θεοτόκε; τῆς Τριάδος τὸν ἕνα, φρικτῶς γὰρ σὺ γεγέννηκας.

Ἰσότιμον Πατρὶ, τὸν Υἱὸν καὶ τῷ Πνεύματι, πανάχραντε φωτοδότην, ὑπὲρ λόγον τεκοῦσα, φωτί με τούτου φώτισον.

Ὠδὴ ς'. Θύσω σοι μετὰ φωνῆς.

Στόμα μου τὸ ῥυπαρὸν φωτί σου θεόνυμφε, καθαρωτέρα ὡς οὖσα, τοῦ φωτὸς καθάρισον ἵνα μέλπω, τοῦ τῶν φώτων πατρὸς καθαρῶς τὸ ἀπαύγασμα.

Οἴκτειρον ὡς συμπαθὴς ἐμὲ τὸν ἀκάθαρτον, φωτεινοτέρα ὡς οὖσα, τοῦ φωτὸς παρθένε τοῦ ὁρωμένου, καὶ φωτός μου τὴν καρδίαν ἐνθέου νῦν πλήρωσον.

Νεύσεσι φωτιςικαῖς παρθένε ὁδήγησον, τὸν σκοτισθέντα ἀθλίως, πρὸς τὸ φῶς τὸ ἄδυτον τοῦ υἱοῦ σου, καὶ τὸν λύχνον τῆς ψυχῆς σβεσθέντα ὑπάναψον.

Μόνην σε τιμιωτέραν ἔγνωμεν πάναγνε, τῶν χερουβὶμ ὡς τεκοῦσαν, τοῦ φωτὸς τὸν πρύτανιν Θεοτόκε· ὃν δυσώπει πρὸς τὸ φῶς με σκηνῶσαι τὸ ἄδυτον.

Κοντάκιον.

Προςασία τῶν χριςιανῶν ἀκαταίσχυντε.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

Ἐγὼ παρθένε ταῖς ἀνομίαις φεῦ ὑπερβέβηκα, πάντας τοὺς πρὸ νόμου πάναγνε ἀληθῶς, καὶ ἐν νόμῳ· ἡ κυήσασα, φῶς ἀπρόσιτον, φωτεινῇ με νεφέλῃ νῦν φώτισον.

Φθαρέντα κόσμον ἀνακαινίζεις ὦ μητροπάρθενε, κόρη τεκοῦσα τὸ φῶς τὸ ἀληθινόν, τὸ φωτίζον πάντα ἄνθρωπον· διὸ νῦν φώτισον τῆς ψυχῆς μου τὰ ὄμματα δέομαι.

Ὡραιοτάτην κυριοτόκε σὺ καὶ ὁλόφωτον, νῦν μου τὴν ψυχὴν ἀπέργασαι ἡ φρικτῶς, τοῦ πατρὸς ἀποκυήσασα, τὸ ἀπαύγασμα, καὶ φωτὸς ἀϊδίου με ἔμπλησον.

Τὴν συντριβήν μου τὴν ψυχικὴν παρθένε θεράπευσον, πύλη τοῦ φωτὸς καὶ δίδου μοι πρὸς τὸ φῶς, τοῦ υἱοῦ σου τὰς πορείας μου, ποιεῖσθαι πάντοτε ἵνα βλέψω τὸ φῶς τὸ ἀνέσπερον.

Ὠδὴ ή. Χεῖρας ἐκπετάσας Δανιὴλ.

Ιδω σου τὸ φῶς τῶν πρεσβειῶν, ἡ φῶς κυήσασα βροτοῖς τὸ ἄῤῥητον, καὶ τὰς αἰσθήσεις μου ἄχραντε, τῆς ψυχῆς καταφωτίζουσα, καὶ τῆς ἀγνοίας τὸ δεινὸν σκότος ἐξαίρουσα, ἵνα κράζω, φωτοκυήτωρ χαῖρε πανάμωμε.

Σκότος τῶν παθῶν μου φωτεινὴ, φωτὸς ὑπάρχουσα νεφέλη πάναγνε, τῇ φωτοφόρῳ σου ἀπέλασον, ἱκεσίᾳ μητροπάρθενε, καὶ φωταγώγησον τὸν νοῦν ἵνα σῳζόμενος, ἀνακράζω, φωτοκυήτωρ χαῖρε πανάμωμε.

Ολβιος καὶ πλήρης φωτισμοῦ, ἡ σὴ πανάχραντε πρεσβεία πέφυκε, φωτὸς πηγή τε ἀέννασς, καὶ φωτὸς κατοικητήριον, ἡ τὰς καρδίας τῶν πιςῶν καταφωτίζουσα, τῶν βοώντων, φωτοκυήτωρ χαῖρε πανάμωμε.

Υμνος σοι ἐπάξιος οὐδεὶς, προσενεχθήσεται Δέσποινα πάναγνε. σὺ γὰρ ὑπέρφωτε τέτοκας, φωτοδότην ὑπὲρ ἔννοιαν, καταφωτίζοντα ψυχὰς Χριςὸν τὸν Κύριον, τῶν βοώντων, φωτοκυήτωρ χαῖρε πανάμωμε.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος ὄρους.

Αχραντε φωτώνυμε κόρη, τῇ φωτοφόρῳ σου πρεσβείᾳ, φώτισον νοός μου τὰς κόρας, καὶ τὰς αἰσθήσεις πάσας τοῦ σώματος, ἵνα τὸ φῶς θεάσωμαι τοῦ φωταδότου καὶ Θεοῦ ἡμῶν.

Μόνος ὑπερέβην παρθένε, τῶν γηγενῶν πᾶσαν τὴν φύσιν, ἐν ταῖς ἀσωτίαις ὥςε καὶ ὤφθην, κτηνῶν ἀλόγων ἀλογώτερος· ἀλλὰ φωτί με δέομαι τῶν πρεσβειῶν σου φωταγώγησον.

Ημαρτον ὁ τάλας παρθένε, ὑπερβαλλόντως ἀλλὰ σύ με, φώτισον καὶ ῥῦσαι τοῦ σκότους, τοῦ αἰωνίου καὶ καθοδήγησον, πρὸς τὴν ζωὴν τὴν ἄῤῥευςον, καὶ τὴν οὐράνιον ἀπόλαυσιν.

Νόμου τὸ κεφάλαιον κόρη, σὺ καὶ τὸ πλήρωμα τεκοῦσα, πλήρωσον φωτὸς καὶ τὴν ψυχήν μου, καὶ τὰς αἰσθήσεις πάσας μου φώτισον, ἵνα τὸ φῶς θεάσωμαι τοῦ φωτοδότου καὶ Θεοῦ ἡμῶν.

Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ μετὰ τὸν προοιμιακὸν ψαλμὸν, τὸ Μακάριος ἀνὴρ, τὸ πρῶτον Ἀντίφωνον· εἶτα τὸ Κύριε ἐκέκραξα· ἐν ᾧ ἱςῶμεν ςίχους ή. καὶ ψάλλομεν τοῦ Ἀποςόλου προσόμοια δ΄. Ἦχος πλ. δ΄.

Τί ὑμᾶς καλέσωμεν ἅγιοι;

Τί σε ὀνομάσω Ἀπόςολε; οὐρανὸν, ὅτι τὴν δόξαν διηγήσω τοῦ Θεοῦ· ἀςραπὴν, ὅτι τὸν κόσμον καταυγάζεις φωτισμῷ· νεφέλην, ἐπομβροῦσαν θεῖα νάματα· κρατῆρα, τῆς σοφίας ἐνθεώτατον· οἶνον ὑμῖν ἀναβρύοντα, τὸν τὰς καρδίας εὐφραίνοντα, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν προσείπω θεόληπτε; ποταμὸν ἐκ παραδείσου προερχόμενον ἡμῖν· κιβωτὸν τῆς διαθήκης, ἣν διέθετο Χριςός· φωςῆρα, νοητὸν φῶς ἀπαςράπτοντα· λυχνίαν, Ἐκκλησίαν καταυγάζουσαν· ἄρτον ζωῆς θείαν τράπεζαν, ποτήριον θείου πνεύματος, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν θεόπτα καλέσωμεν; λειτουργὸν τῶν μυςηρίων δραςικώτατον Χριςοῦ· τῆς σκηνῆς τῆς νοουμένης, ἀρχιτέκτονα σοφόν· τὰς πλάκας λατομοῦντα τὰς τῆς χάριτος· τὸν νόμον γεγραφότα τὸν καινότατον· τὸν ἐκ Σιὼν προερχόμενον· καὶ διὰ σοῦ κηρυττόμενον, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν καλέσωμεν ἔνδοξε; μαθητὴν, ὅτι ἡμῖν εὐηγγελίσω τὸν Χριςόν· ἰατρὸν, ὅτι τὰ πάθη θεραπεύεις τῶν ψυχῶν· καὶ ςύλον εὐσεβείας ἀκατάσειςον· καὶ πύργον Ἐκκλησίας ἀκατάλυτον· πολλὰ Λουκᾶ τὰ ὀνόματα· ἡ ἀρετή σοι πεποίηκεν· ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερα τῶν ἁγίων. Ἦχος ά.

Πανεύφημοι μάρτυρες ὑμᾶς.

Πατέρες πανεύφημοι ὑμᾶς, τὸ πνεῦμα τὸ ἅγιον, πηγὰς θαυμάτων ἀνέδειξε, τῇ γῇ τοῦ Πέλοπος, πάσης ἀῤῥωςίας δροσιζούσας καύσωνα, ψυχῶν τε καὶ σωμάτων ἑκάςοτε· ῥῶσιν κατ᾽ ἄμφω δὲ, χορηγούσας τοῖς ἐκ πίςεως ἐκτελοῦσιν ὑμῶν τὸ μνημόσυνον.

Πατέρες πανόλβιοι ὑμᾶς, ὁ Κύριος ἔπεμψεν, ἐκ τῆς Σιὼν εἰς τὴν Πέλοπος, σεπτὸν εἰκόνισμα, τῆς αὐτὸν τεκούσης, ἐν ἄντρῳ κρυπτόμενον, εὑρεῖν καὶ ἀναδεῖξαι πρὸς καύχημα, πιςῶν καὶ ςήριγμα, προσκυνούντων τὰ μορφώματα, τῶν ἁγίων, ὀρθοδόξῳ δόγματι.

Πατέρες τρισμάκαρες ὑμεῖς, ὡς φωςῆρες λάμπετε, τοῦ νοητοῦ ςερεώματος, πιςοὺς αὐγάζοντες· ἄσβεςοι λαμπτῆρες, ἀρετῆς ἐδείχθητε, ψυχῶν τε καὶ σωμάτων ἀκέςορες, κανόνες πίςεως, μοναςῶν τὸ ἐγκαλλώπισμα, καὶ τῆς ποίμνης ὑμῶν τὸ κραταίωμα.

Οσία πανεύφημε τὴν σὴν, ψυχὴν ἀνεπτέρωσας, ταῖς ἀρεταῖς πρὸς τὸν ὕψιςον, βίον ἰσάγγελον, ἐπὶ γῆς βιοῦσα, διὸ κατηξίωσαι, τῶν θείων χαρισμάτων ἀοίδιμε· καὶ νῦν βοήθησον, Εὐφροσύνη τοῖς τιμῶσί σε, εὑρεῖν χάριν καὶ τὸ μέγα ἔλεος.

Δόξα τῶν ἁγίων. Ἦχος πλ. β΄.

Ω θεία καὶ ἱερὰ πατέρων δυὰς καὶ ξυνωρὶς ὁμότροπε, Συμεὼν καὶ Θεόδωρε· ὑμεῖς πατρίδα μὲν ἔχετε τὴν ἄνω Ἱερουσαλὴμ, ἧς τὰ τείχη ἐν ταῖς χερσὶ τοῦ Θεοῦ ἐζωγράφηνται· πατέρα δὲ τὸν Θεὸν, παρ' οὗ γεγόνατε, καὶ πρὸς ὃν ἐπεςράφητε· ἀδελφοὺς δὲ καὶ φίλους, τὰ τῶν ἀγγέλων μακάρια τάγματα, καὶ τοὺς χοροὺς πάντων τῶν ἁγίων. Ἀλλὰ καὶ τὸ σεμνότατον τῆς ἀρετῆς ὑμῶν ἀθλητήριον, οὐκ ἀγέραςον ἐπὶ γῆς κατελίπατε· τὸν γὰρ ἐν τῷ σπηλαίῳ τῆς Βηθλεὲμ ἐκ τῆς παρθένου τεχθέντα Σωτῆρα τῶν ὅλων τιμῶντές τε καὶ κηρύττοντες, σπήλαιον ᾠκήσατε, καὶ θαῦμα τοῦτο τοῖς ὑπ' οὐρανὸν ἀνεδείξατε, ἐν ᾧ πηγάζουσιν ἀεὶ τοῖς χριςωνύμοις, παντοίων ἰαμάτων χαρίσματα. Ἀλλ' ὦ πανόλβιοι μετὰ τῆς ὁσίας Εὐφροσύνης, πρεσβεύσατε Χριςῷ τῷ Θεῷ, δωρηθῆναι τοῖς πόθῳ ἑορτάζουσι τὴν πανέορτον μνήμην ὑμῶν, ἄφεσιν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος. Τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν. Καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι· καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιςοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔςαι. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐςι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεςος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. Ἀρεςὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίςῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα. Ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔςοχοι βολίδες ἀςραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται. Καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιςήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναςῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε. Μάθετε δικαςαὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναςεία παρὰ ὑψίςου.

Εἰς τὴν λιτὴν ςιχηρὰ ἰδιόμελα τῶν ἁγίων.

Ἦχος α΄.

Ἀνυμνήσωμεν οἱ πιςοὶ, τοὺς ὁσίους πατέρας ἡμῶν, Συμεὼν καὶ Θεόδωρον, σὺν τῇ ὁσίᾳ Εὐφροσύνῃ, ἐν ᾠδαῖς μεγαλύνοντες τὴν ἱερὰν αὐτῶν μνήμην· οὗτοι γὰρ ἔζησαν ἐπὶ γῆς ὥσπερ ἄγγελοι· καὶ τὴν ἁγίαν εἰκόνα τῆς μητρὸς τοῦ Θεοῦ χρόνοις μακροτάτοις ἐν τῷ σπηλαίῳ κεκρυμμένην ἀνεύραντο· καὶ τὴν ὀρθόδοξον πίςιν ἐκράτυναν· καὶ φωςῆρες τοῖς Ἀχαιοῖς ἀνεδείχθησαν· καὶ νῦν ἐν παῤῥησίᾳ πρεσβεύουσι σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Δεῦτε λαοὶ ςεφάνους πλέξαντες ἐξ ἀνθέων ᾀσματικῶν, ςεφανώσωμεν τὰς κάρας τῶν θεοσόφων πατέρων ἡμῶν· οὗτοι γὰρ ὡς σκύβαλα πάντα ῥίψαντες, μόνῳ τῷ Χριςῷ προσεκολλήθησαν· καὶ οὐδὲν ἐνταῦθα κτησάμενοι, τὸν ἐν οὐρανοῖς πλοῦτον ἐκληρονόμησαν, παλαίςραν ἀσκητικὴν ἐσχηκότες τὸ Σπήλαιον· ἐν ᾧ καὶ μεταςάντες, ψυχὰς μὲν ἔχουσιν ἐν χειρὶ Θεοῦ, ἣν δὲ ζῶντες ἐπλούτουν χάριν, ταύτην Χριςὸς βραβεύει τῇ θήκῃ τῶν λειψάνων αὐτῶν· ἐξ ἧς καὶ σωμάτων νόσοι, καὶ ψυχῶν ἰῶνται παθήματα.

Ἦχος γ΄.

Ἰδοὺ δὴ τί καλόν; ἢ τί τερπνόν; ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό· ὑμᾶς τε καὶ τοὺς ὁμοίους προβλέπων Δαβὶδ ὁ ᾀσματογράφος ἀνέκραγε, πατέρες παμμακάριςοι, Συμεὼν καὶ Θεόδωρε· ἐπὶ τὸ αὐτὸ γὰρ ὑμεῖς ἐν ὁμονοίᾳ ζήσαντες καὶ πολιτευσάμενοι, οὐδὲ γοῦν μετὰ θάνατον τὰ σώματα ὑμῶν χωρισθῆναι ἠνέσχεσθε· ἀλλ᾽ ἐν ἑνὶ τάφῳ ἀδελφικῶς διατηρεῖτε πανόλβιοι· πλοῦτον ἄσυλον, καὶ καύχημα μέγιςον καταλιπόντες τῇ ἱερᾷ ποίμνῃ ὑμῶν.

Ἦχος δ΄.

Ἀσματικὴν πανήγυριν ςησώμεθα πιςοὶ, ἐπὶ τῇ μνήμῃ τῶν θεολήπτων

πατέρων ἡμῶν· καὶ ϛεφάνοις ἐπαίνων τὰς κεφαλὰς αὐτῶν ἀναδήσωμεν· οὗτοι γὰρ σὺν τῇ ὁσίᾳ Εὐφροσύνῃ, τὴν πανθαύμαϛον εἰκόνα τῆς Θεοτόκου σπηλαίῳ λανθάνουσαν, ἐν καιροῖς ἰδίοις εὑρόντες ἐφανέρωσαν, πηγὴν ἰάματα βρύουσαν, καὶ μυρία θαύματα πάσῃ τῇ οἰκουμένῃ. Ἀλλ᾽ ὦ πανόλβιοι, Συμεὼν καὶ Θεόδωρε· ἱλασμὸν ἡμῖν δοθῆναι αἰτεῖσθε παρὰ Χριϛοῦ καὶ τὸ μέγα ἔλεος.

Ἦχος βαρύς.

Κροτήσωμεν ἐφύμνια, καὶ λαμπρῶς πανηγυρίσωμεν τὴν τῶν ὁσίων πατέρων μνήμην, Συμεὼν καὶ Θεοδώρου, καὶ τῆς ὁσίας Εὐφροσύνης· κατασπαζόμενοι τὰς ἱερὰς αὐτῶν λάρνακας, ὡς θείαν μυροθήκην, ὡς ἀένναον πηγὴν τῶν θαυμάτων· ὑφ᾽ ἧς φυγαδεύονται δαίμονες, καὶ δραπετεύουσι πάθη σωμάτων, καὶ ψυχῶν νοσήματα θεραπεύονται. Ἀλλ᾽ ὦ πατέρες ἅγιοι, ἱκετεύσατε ὑπὲρ ἡμῶν τῶν ἀχρείων δούλων· ὅπως εὕρωμεν ἄφεσιν παρὰ Χριϛοῦ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Τοῦ Ἀποϛόλου. Ἦχος πλ. β´.

Πάνσοφε ἁλιεῦ, ἅγιε μαθητά, ἐργάτα τοῦ Σωτῆρος, καὶ θρίαμβε τῶν αὐτοῦ παθημάτων· ὁ τὴν κτίσιν τῇ πίϛει διαδραμών, καὶ τῆς πλάνης τὰ ἔθνη συναγαγών, καὶ Θεῷ προσενέγκας, ὡς θυμίαμα καλόν, εἰς οὐρανοὺς εὐωδόθης· διὸ παριϛάμενος τῷ κριτῇ, πρέσβευε ῥυσθῆναι ἡμᾶς τῶν ἀνομιῶν ἡμῶν, καὶ ἐν ἡμέρᾳ κρίσεως, λυτρωθῆναι τῆς κολάσεως.

Ἦχος δ´.

Τῷ τῆς σοφίας ἁλιευτικῷ καλάμῳ, τὸν τῆς νοητῆς θαλάσσης βυθὸν ἀνιχνεύων, ἐκ θανατηφόρου βυθοῦ τὰς τῶν πιϛῶν ψυχὰς ἐζώγρησας, Λουκᾶ παμμακάριϛε· ὅθεν τῷ Παύλῳ μαθητευθείς, ὅλην ἐκάθηρας τὴν σαυτοῦ καρδίαν, τῇ ἐπιλάμψει τοῦ πνεύματος· καὶ τοῖς δόγμασί σου τὰ ἔθνη ἐφώτισας· καὶ τὰ τῶν παθῶν νοσήματα τοῖς θαύμασιν ἰάτρευσας· Χριϛὸν τὸν Θεὸν ὑπὲρ ἡμῶν ἀεὶ ἐκδυσωπῶν τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος. πλ. δ´.

Δεῦτε πᾶσα κτίσις τὸν ἀληθῶς ἰατρὸν τὸν πνευματικὸν, καὶ τοῦ Σωτῆρος μαθητὴν, Λουκᾶν τὸν ἀοίδιμον, ἐν ᾠδαῖς εὐφημήσωμεν· οὗτος γὰρ ἀθεΐας τὴν νόσον, τῷ ἐπιχρίσματι τῆς Χριςοῦ κολυμβήθρας ἐθεράπευσε· καὶ ποταμοὺς θεοβρύτων ναμάτων ἐκ ςόματος, ἐψυγμέναις χώραις τοῦ Εὐαγγελίου κατήρδευσεν· ὅθεν ἐξῆλθε προφητικῶς ὁ φθόγγος αὐτοῦ εἰς τὴν οἰκουμένην· καὶ πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. δ'.

Δαβιτικῶς συνελθόντες οἱ πιςοὶ ἐν ᾄσμασι τῷ μυσικῷ ῥήτορι τοῦ λόγου Λουκᾶ ἐκβοήσωμεν· ἡ γλῶσσά σου κάλαμος γραμματέως ὀξυγράφου Χριςοῦ ἀνεδείχθη, ὡραΐζων τὰς ὄψεις τῶν ἐθνῶν, πρὸς τὴν γνῶσιν τῆς θείας ἐπιγνώσεως· ἐν ᾗ ἀνεκήρυξας τὸ Εὐαγγέλιον, καὶ τῶν συναποςόλων σου τὰς πράξεις συνεγράψω· διὸ παριςάμενος τῇ Τριάδι καὶ Θεῷ, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα τῶν ἁγίων. Ἦχος πλ. δ'.

Ποῖος νοῦς, ἢ γλῶσσα βροτῶν, τὰ καθ' ἡμᾶς ὑμνῆσαι ἰσχύσει τρισόλβιοι πατέρες, Συμεὼν καὶ Θεόδωρε; Ἐνδεδυμένοι γὰρ τὴν ἁγίαν τῆς ἱερωσύνης ςολὴν, καὶ τὸν ἀποςολικὸν ἀγῶνα τοῦ κηρύγματος σὺν τοῖς ἄθλοις τῆς ἀσκήσεως εὐτόνως ἀγωνισάμενοι, πυρσοὶ νοητοὶ καταυγάζοντες τὴν Ἐκκλησίαν ἀνεδείχθητε, καὶ τὴν ἀποςολικὴν εἰκόνα τῆς ἀχράντου Θεομήτορος εὑρεῖν ἠξιώθητε, θεοκινήτῳ ὁδηγίᾳ Εὐφροσύνης τῆς πανευφήμου. Καὶ νῦν ἐν οὐρανοῖς τῶν ἐσόπτρων λυθέντων μακάριοι, τῷ φωτὶ τῆς ὑπερθέου Τριάδος ἐγγύτερον καταλάμπεσθε· ἡμῖν δὲ τὰ πανίερα τῶν ψυχῶν ὑμῶν κατελίπατε σκήνη, ποταμοὺς ἰάσεων τοῖς χρήζουσι βλύζοντα καὶ χάριν εὐλογίας. Ἀλλὰ μέμνησθε καὶ ἡμῶν, ὅσιοι, πρὸς Κύριον, αἰτούμενοι ὑμῖν ἱλασμὸν καὶ τὸ μέγα ἔλος.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Εγὼ παρθένε ἁγία Θεοτόκε τῇ σκέπῃ σου προςρέχω· οἶδα ὅτι τεύξομαι τῆς σωτηρίας, δύνασαι γὰρ ἁγνὴ βοηθῆσαί μοι.

Εἰς τὸν ςίχον ςιχηρὰ τοῦ Ἀποςόλου. Ἦχος πλ. ά.
Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χάρις τοῖς χείλεσί σου Λουκᾶ, πυρίνῃ γλώσσῃ ἐξεχύθη Ἀπόςολε, καὶ γλῶσσα πυρὸς ἐδείχθης, λόγους ἐκπέμπων φωτὸς, τοῖς φωτὸς ἀξίοις τῷ κηρύγματι, βολίδας φλεγούσας δὲ, τοῖς τὸ σκότος ποθήσασι, γράφων διδάσκων τὸ σεπτὸν Εὐαγγέλιον, καὶ ὀσμὴ ζωῆς, τοῖς ζωὴν ὄντως θέλουσιν, ὤφθης ὡς Παῦλος ἔφησεν, ὃν ἔσχες διδάσκαλον, ὀσμὴ θανάτου δὲ πάλιν, τοῖς μὴ ζωὴν ἀγαπήσασιν· ἀλλ' ἡμῖν εἰρήνην, καὶ ζωὴν, καὶ φῶς παράσχου, καὶ μέγα ἔλεος.

Στίχος. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Χαῖρε ὁ μόνος γράψας ἡμῖν, τὸ χαῖρε χαίρων τῆς ἁγνῆς Εὐαγγέλιον· καὶ ταύτην κυριοτόκον, εἰπόντα τὸν βαπτιςὴν, ἐκ γαςρὸς οὗ γράφεις καὶ τὴν σύλληψιν· καὶ λόγου τὴν σάρκωσιν, πειρασμοὺς καὶ τὰ θαύματα· λόγους καὶ πάθη, τὸν ςαυρὸν καὶ τὸν θάνατον, καὶ τὴν ἔγερσιν, ἥν περ εἶδες καὶ ἄνοδον, πνεύματός τε τὴν κάθοδον, κηρύττων τὰς πράξεις τε, καὶ ἐξαιρέτως τοῦ Παύλου, οὗ περ ἐδείχθης συνέκδημος· ἀκέςωρ καὶ μύςα, καὶ φωςὴρ τῆς Ἐκκλησίας, ἣν φρούρει πάντοτε.

Στίχος. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Εγνωμεν ἐκ τῶν λόγων τῶν σῶν, καθώς περ ἔφης τὴν τῶν λόγων ἀσφάλειαν· ὧν ἔφης ἐνθέως μύςα, ἐπείπερ γράψαι ἡμῖν περὶ τῶν πραγμάτων ἐπεχείρησας, ὧν περ πεπληροφόρησαι, καὶ καθώς σοι παρέδοσαν, οἱ πρὶν αὐτόπται, ὧν καὶ σὺ ἶσος γέγονας, ὑπηρέτης τε, τῆς τοῦ λόγου σαρκώσεως· ὃν μετὰ τὴν ἀνάςασιν, εἰς Ἐμμαοὺς ἔβλεψας· καὶ καιομένῃ καρδίᾳ, μετὰ Κλεώπα συνέφαγες· αὐτοῦ θείας θέρμης, καὶ ἡμῶν τῶν σὲ τιμώντων τὰς ψυχὰς πλήρωσον.

Δόξα τῶν ἁγίων. Ἦχος δ΄.

Εὐφραίνου Μέγα Σπήλαιον, τὸ τῆς παναχράντου καὶ Θεοτόκου Μαρίας ἐκλεκτὸν οἰκητήριον· κρότησον ἐφύμνια λαμπρῶς πανηγυρίζον, ἐπὶ

τῇ μνήμῃ τῶν ὁσίων πατέρων ἡμῶν, Συμεὼν καὶ Θεοδώρου· ὧν τὴν ἱερὰν ἐν κόλποις φέρεις λάρνακα, καὶ τὰς πανιέρους κάρας, θησαυρὸν ἀνέκλειπτον, καὶ πηγὴν ἀένναον θαυμάτων τοῖς μετὰ πίςεως προσιοῦσιν. Ἀλλὰ καὶ τῆς παρθένου καὶ θείας Εὐφροσύνης, τὴν ἁγίαν καὶ θαυματόϐρυτον σορὸν πεπλουτηκὸς, ἀγάλλου καὶ χόρευε, καὶ τέρπου μελῳδικῶς ἐκϐοῶν· Πατέρες οὐρανόφρονες, ςύλοι φωτὸς ἀδύτου ταῖς αὔλοις ἀςραπαῖς καταλαμπόμενοι, μέμνησθε τῆς ποίμνης ὑμῶν, ἐκ πάσης θηρίων ψυχοφθόρων κακώσεως ἀϐλαϐῆ διατηροῦντες· καὶ πάντας τοὺς πλέοντας τοῦ βίου τὴν πολυκύμαντον ζάλην, εἰς ὅρμον ὁδηγεῖτε τῆς σωτηρίας· εἰρήνην αἰτούμενοι βαθεῖαν τῷ κόσμῳ παρὰ Χριςοῦ τοῦ Θεοῦ, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Θεοτόκε παντάνασσα, τῶν ὀρθοδόξων τὸ καύχημα· αἱρετικῶν τὰ φρυάγματα, καὶ τὰ πρόσωπα καταίσχυνον, τῶν μὴ προσκυνούντων μηδὲ τιμώντων πάναγνε, τὴν σεϐάσμιον εἰκόνα σου.

Εἶτα τὸ Νῦν ἀπολύεις τὸν δοῦλον σου δέσποτα. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐςίν. Καὶ τὰ ἀπολυτίκια. Ἀπόςολε ἅγιε. Καὶ τῶν ἁγίων. Ὁ Θεὸς τῶν πατέρων ἡμῶν. Δόξα τῆς ἁγίας. Ἐν σοὶ μῆτερ ἀκριβῶς. Καὶ νῦν Θεοτοκίον. Θεοτόκε παρθένε χαῖρε κεχαριτωμένη. Εἶτα ἡ εὐλόγησις τῶν ἄρτων. Καὶ μεταλαμϐάνομεν ἐκ τοῦ εὐλογηθέντος ἄρτου καὶ οἴνου πάντες οἱ ἀδελφοὶ (πλὴν τῶν μελλόντων ἱερουργήσειν), εἰς ἁγιασμὸν ψυχῆς καὶ σώματος. Καὶ γίνεται ἀνάγνωσις ἐκ τῶν λόγων εἰς τὴν Θεοτόκον τῶν ἁγίων πατέρων. Μετὰ δὲ τὴν ἀνάγνωσιν, κρούει τὸ μέγα σήμαντρον. Καὶ ἀρχόμεθα τοῦ Ἑξαψάλμου. Εἶτα συναπτὴ, καὶ ψάλλομεν τὸ Θεὸς Κύριος. Καὶ τὰ τροπάρια τοῦ Ἀποςόλου καὶ τῶν Ἁγίων. Δόξα τῆς ἁγίας. Καὶ νῦν Θεοτοκίον. Ὁ δι' ἡμᾶς γεννηθείς. Εἶτα ςιχολογοῦμεν τὸ Ψαλτήριον. Μετὰ δὲ τὴν πρώτην ςιχολογίαν κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τῆς ἄνω ἐφιέμενοι ὑπερκοσμίου ζωῆς, τὴν κάτω τερπνότητα τῆς ματαιότητος, σοφῶς ὑπερίδετε· ὅθεν τῆς Ἐκκλησίας, ἀνεδείχθητε ςύλοι, κήρυκες ἀληθείας, καὶ Σπηλαίου τὸ κλέος· διὸ καὶ ἑορτάζομεν πόθῳ τὴν μνήμην ὑμῶν.

Δόξα τῆς ἁγίας. Ὅμοιον.

Ἀσκήσει κοσμήσασα τὴν καθαράν σου ζωὴν, ὡς δῶρον προσήνεξαι τῷ ποιητῇ καὶ Θεῷ, Εὐφροσύνη ἀοίδιμε· χάριν δὲ ἰαμάτων, παρ᾽ αὐτοῦ εἰληφυῖα, νόσους ἀποδιώκεις, τῶν εἰς σὲ προςρεχόντων· πρεσβεύουσα σωθῆναι ἡμᾶς τοὺς τιμῶντάς σε.

Καὶ νῦν, Θεοτοκίον. Ὅμοιον.

Παρθένε πανάμωμε τὸν ὑπερούσιον, Θεὸν ἡ κυήσασα σὺν τοῖς ὁσίοις αὐτὸν, ἀπαύςως ἱκέτευε, ἄφεσιν τῶν πταισμάτων, καὶ διόρθωσιν βίου, δοῦναι ἡμῖν πρὸ τέλους, τοῖς ἐν πίςει καὶ πόθῳ, ὑμνοῦσί σε κατὰ χρέος θεοχαρίτωτε.

Μετὰ δὲ τὴν δευτέραν ςιχολογίαν καθίσματα.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Πάθη ξηράναντες πατέρες ὅσιοι, πνεῦμα ζωώσαντες δακρύων ῥεύμασι, χαρίτων θείων ποταμοὺς τῷ κόσμῳ ἀναβλύζετε· ὅθεν προσερχόμενοι, τοῖς τιμίοις λειψάνοις ὑμῶν, χάριν τε καὶ ἔλεος προφανῶς ἀρυόμεθα, τιμῶντες ὑμᾶς ἐπαξίως, πίςει θερμῇ θεομακάριςοι.

Δόξα τῆς ὁσίας. Ὅμοιον.

Κόσμου τερπνότητα προθύμως ἔλιπες, καὶ τῷ δεσπότῃ σου κατηκολούθησας, ἔρωτι θείῳ τὴν ψυχὴν, τρωθεῖσα παναοίδιμε· ὅθεν καὶ κατῴκησας ἐν σπηλαίῳ νικήσασα, πόνοις τῆς ἀσκήσεως τὸν ἐχθρὸν τὸν ἀντίπαλον· διὸ καὶ σὺν ἀγγέλοις χορεύεις, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσα.

Καὶ νῦν, Θεοτοκίον. Ὅμοιον.

Θεομακάριςε μῆτερ ἀνύμφευτε, τὴν ἀσθενοῦσάν μου ψυχὴν θεράπευσον, ὅτι συνέχομαι δεινῶς, τοῖς πταίσμασιν ὁ ἄθλιος· ὅθεν καὶ κραυγάζω σοι ςεναγμῷ τῆς καρδίας μου· δέξαι με πανάμωμε τὸν πολλὰ πλημμελήσαντα· ἵνα ἐν παῤῥησίᾳ βοῶ σοι, χαῖρε ἡ κεχαριτωμένη.

Μετὰ τὸν πολυέλεον, καθίσματα τοῦ Ἀποςόλου.

Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ λόγον.

Ὡς συνέκδημος Παύλου ἀναδειχθεὶς, τοὺς ποικίλους κινδύνους καρτερικῶς, ὑπέμεινας πανεύφημε, τοῦ Κυρίου Ἀπόςολε· καὶ τὸν δρόμον ἀθλήσει, τελέσας τῆς πίςεως, σὺν αὐτῷ ἐν ὑψίςοις, εὐφραίνῃ μακάριε· ὅθεν καὶ τῷ κόσμῳ, τὸ Χριςοῦ Εὐαγγέλιον, κηρύξας ἐφώτισας, τὴν ὑφήλιον ἅπασαν, Λουκᾶ πανσεβάσμιε· πρέσβευε Χριςῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα τῶν ἁγίων. Ὅμοιον.

Τῶν ἁγίων ζηλώσαντες ἀσκητῶν, τὸν ἰσάγγελον βίον τὸν ἐπὶ γῆς, ἐπ' ὤμων ἀνελάβετε, τὸν ςαυρὸν ὑμῶν ὅσιοι, καταλιπόντες πᾶσαν, τοῦ βίου τὴν μέριμναν, καὶ παθῶν νεκρώσει, τὸ πνεῦμα ζωώσαντες· ὅθεν καὶ φωςῆρες, ἀνεδείχθητε κόσμου, καὶ σκεύη μυρίπνοα, τῶν χαρίτων τοῦ Πνεύματος, Συμεὼν καὶ Θεόδωρε· πρεσβεύσατε Χριςῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

Καὶ νῦν, Θεοτοκίον. Ὅμοιον.

Ὁ τῶν ὅλων δεσπότης καὶ ποιητὴς, ἐξ ἀχράντου σου μήτρας σάρκα λαβὼν, προςάτην σε ἔδειξε, τῶν ἀνθρώπων πανάμωμε· διὰ τοῦτο πάντες, πρὸς σὲ καταφεύγομεν, ἱλασμὸν πταισμάτων, αἰτούμενοι δέσποινα, καὶ αἰωνιζούσης, λυτρωθῆναι βασάνου, καὶ πάσης κολάσεως, τῆς ἐκεῖσε δεόμεθα· ἵνα πίςει βοῶμέν σοι, πρέσβευε Χριςῷ τῷ Θεῷ, τοῦ δοθῆναι πᾶσι κόρη ἄφεσιν, τοῖς πιςῶς προσιοῦσι παρθένε τῇ σκέπῃ σου.

Εἶτα οἱ ἀναβαθμοὶ, τὸ ά. ἀντίφωνον τοῦ τετάρτου ἤχου. Τὸ πᾶσα πνοή. Εὐαγγέλιον ὁσιακὸν, ζήτει Ἰανουαρίου ιζ'. Εἶτα ὁ πεντηκοςός. Δόξα. Ταῖς τῶν σῶν ὁσίων πρεσβείαις ἐλεῆμον. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Εἶτα ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου. Καὶ λέγομεν τὸ παρὸν,

Ἦχος πλ. ά.

Δεῦτε μοναςῶν τὰ συςήματα, δεῦτε καὶ χορείαν ςησόμεθα, ἀνευφημοῦντες τοὺς θείους πατέρας ἡμῶν, Συμεὼν καὶ Θεόδωρον, σὺν τῇ ὁσίᾳ Εὐφροσύνῃ· οὗτοι γὰρ τὸν ςαυρὸν τοῦ Χριςοῦ ἐπ' ὤμων ἀράμενοι, προ-

θύμως αὐτῷ ἠκολούθησαν, καὶ πόνοις τῆς ἀσκήσεως τὰς μηχανὰς τοῦ κοσμοκράτορος καταῤῥάξαντες, νικηταὶ γεγόνασι ςεφανῖται, τοῦ μακαρίου τέλους ἀξιωθέντες. Ἀλλ' ὦ πατέρες θειότατοι, μὴ παύσησθε καὶ τὴν ποίμνην ὑμῶν, ἣν αὐτοὶ συνηγάγετε, διασῴζοντες ἐκ τῶν σκανδάλων τοῦ πολεμήτορος, καὶ πρεσβεύοντες Χριςῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸ Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Τὸ Κύριε ἐλέησον ιβ'. Εἶτα, Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ. Οἱ Κανόνες τῆς Θεοτόκου καὶ τοῦ Ἀποςόλου, μετὰ τῶν εἱρμῶν εἰς ϛ'. Καὶ τῶν ἁγίων δύω, μετὰ τῆς ὁσίας ἡνωμένοι, εἰς ή. Ὁ Κανὼν τῆς Θεοτόκου ἡνωμένος μετὰ τοῦ Ἀποςόλου.

Ὠδὴ ά. Ἦχος πλ. δ'. Ὁ εἱρμός.

Ἡ κεκομμένη τὴν ἄτομον ἔτεμε, καὶ εἶδεν ἥλιος γῆν, ἣν οὐκ ἐθεάσατο· ἀλάςορα ἐχθρὸν, τὸ ὕδωρ κατεπόντισε, καὶ ἄβατον διῆλθεν Ἰσραήλ· ᾠδὴ δὲ ἀνεμέλπετο· τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασαι.

Ἵνα τοὺς κάτω τοῖς ἄνω συνάψειεν, ὁ μόνος πάντων Θεὸς, μήτραν ἀπειρόγαμον, ὑπέδυ καὶ σαρκὸς φανεὶς ἐν ὁμοιώματι, τῆς ἔχθρας τὸ μεσότειχον ἑλὼν, εἰρήνην ἐμεσίτευσε, καὶ ζωὴν ἐβράβευσε, καὶ θείαν ἀπολύτρωσιν.

Νομίμων δίχα τῆς φύσεως, τέτοκας τὸν νομοδότην καὶ Θεὸν, ἄνθρωπον γενόμενον· αὐτὸν ὡς ἀγαθὸν, ἱκέτευε πανάμωμε, ἡμῶν τὰς ἀνομίας παριδεῖν, τῶν πίςει προσκυνούντων σου, τὴν εἰκόνα πάναγνε· ὅσα γὰρ θέλεις δύνασαι.

Μυςαγωγῶν σε Χριςὸς τὰ οὐράνια, καὶ θεοπνεύςους γραφὰς, ἀμέσως διανοίγων σοι, Ἀπόςολε Λουκᾶ, καὶ μύςην ἀναδείκνυσι, καὶ κήρυκα σοφὸν τῶν ὑπὲρ νοῦν, εὐτόνως ἀνακράζοντα· τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασαι.

Τῆς ἀνωτάτω σοφίας τὸ ςόμα σου, κρατῆρα θεῖον σοφὲ, πάντες ἐπιςάμενοι, ἀπόςολε Λουκᾶ, τὸν μέγαν καὶ ἀπόῤῥητον τῆς χάριτος πλου-

τοῦντες θησαυρὸν, προθύμως ἀρυόμεθα, τῷ Κυρίῳ ψάλλοντες ἐνδόξως γὰρ δεδόξασαι. Θεοτοκίον.

Τῆς ἀνεκφράςου καὶ θείας συλλήψεως, τῆς πανυμνήτου ἁγνῆς, τὸν τρόπον διεσάφησας, ἀπόςολε Λουκᾶ· τὸ πνεῦμα τὸ πανάγιον, ἐλήλυθε σαφῶς γὰρ ἐπ᾽ αὐτὴν, καὶ Λόγος ἐπεσκίασεν· ᾧ συμφώνως ψάλλομεν, ἐνδόξως γὰρ δεδόξασαι.

Ἕτερος Κανὼν τῶν ἁγίων καὶ τῆς ὁσίας. οὗ ἡ ἀκροςιχὶς,
Πατρᾶσι δύο, καὶ μιᾷ αἶνος κόρῃ.
Ἐν δὲ τοῖς Θεοτοκίοις, ᾠδὴ Παύλου.

Ὠδὴ ά. Ἦχος δ΄. Ἀνοίξω τὸ ςόμα μου.

Πατέρας ὑμνήσωμεν, τοὺς ἱεροὺς καὶ θεόφρονας, ἐνθέοις ἐν ᾄσμασι χαρμονικῶς ἑορτὴν, συςησάμενοι καὶ θαύματα τὰ τούτων, ὡς ἄνθη δρεψώμεθα πανηγυρίζοντες.

Ἀσμάτων ἀκρότητας, ὑφαίνειν πίςει σπουδάσωμεν, εἰκόνος τὴν εὕρεσιν τῆς τοῦ Κυρίου μητρὸς, ἑορτάζοντες ἣν πρόπαλαι ὁ θεῖος, Λουκᾶς ἐζωγράφησε, χάριτας βρύουσαν.

Τῷ πνεύματι ἤςραψεν, ἡ ἑορτὴ τῆς θεόπαιδος· τῆς δὲ πανηγύρεως Λουκᾶς ὁ μέγας λαμπτὴρ, προεξάρχει τε καὶ μέλπει μακαρίζων, ὡς ἀειμακάριςον τὴν Θεομήτορα. Θεοτοκίον.

Ὠδήν σοι ἑόρτιον, ᾄσω πανάμωμε δέσποινα, Μαρία μητρόθεε, σὺ γὰρ τὴν ὄντως ζωὴν, ἡμῖν τέτοκας Χριςὸν, ᾧ Εὐφροσύνη, μακρᾶς δι᾽ ἀσκήσεως ἁγνῶς νενύμφευται.

Ἕτερος Κανὼν τῶν ἁγίων οὗ ἡ ἀκροςιχὶς,
Καὶ πάλιν ᾠδὴ τοῖς ὁσίοις ἐνθάδε.
Ἐν δὲ τοῖς Θεοτοκίοις, Κορινθίου.

Ὠδὴ ά. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Κατευθυνθήτω μοι ὁ ὕμνος ἄνωθεν, ἐξ οὐρανίας πνοῆς· ὃν ἐξ εὐλαβείας, μέλπειν νῦν προῄρημαι, ἐγκώμιον ἑόρτιον τοῖς ὁσίοις πατράσιν, εὐχαῖς αὐτῶν καὶ δεήσεσι, κόρης τε σεμνῆς καὶ θεόφρονος.

Αναδεξάμενοι ζυγὸν τὸν ἔνθεον, μοναδικῆς ἀγωγῆς, ἐκ παιδικῶν χρόνων καὶ ἱερατεύσαντες, Κυρίῳ παντοκράτορι, ὦ πατέρες θεόπται, εἰκόνα θείαν εὑρήκατε, ἀποςολικαῖς εἰσηγήσεσι.

Ιταμωτάτης χαλεπῆς αἱρέσεως, εἰκονομάχων δεινῶν, πρὶν ἢ ἐπισκήψῃ, φάρμακον ἐδείξατε, τῷ κόσμῳ θεόφρονες, καὶ σωτήριον ὅπλον, εὑρόντες ἄντρῳ κρυπτόμενον, τύπον τῆς ἁγνῆς Θεομήτορος.

Θεοτοκίον.

Καταφυγὴν καὶ ἱλασμὸν Μητρόθεε, σὲ κεκτημένος πληθὺν, τῶν ἁμαρτιῶν μου, ἐξάλειψον δέομαι, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, καὶ ψυχῆς μου τὰ πάθη, παντελεῆμον θεράπευσον, θείας Εὐφροσύνης δεήσεσιν.

Καταβασία. Ἀνοίξω τὸ ςόμα μου.

Ὠδὴ γ΄. Ὁ εἱρμός.

Σὺ εἶ τὸ ςερέωμα, τῶν προςρεχόντων σοι Κύριε˙ σὺ εἶ τὸ φῶς, τῶν ἐσκοτισμένων˙ καὶ ὑμνεῖ σε τὸ πνεῦμά μου.

Ὕλην ἁμαρτίας μου, σῶν πρεσβειῶν πυρὶ σύμφλεξον, μῆτερ Θεοῦ, δρόσον μοι τὴν θείαν, τῆς ἀφέσεως φέρουσα.

Σὲ πάντες κεκτήμεθα, καταφυγὴν καὶ σκέπην ἡμῶν, δοῦλοι Χριςοῦ˙ σὲ δοξολογοῦμεν, ἀσιγήτως θεόνυμφε.

Σοῦ τὸ Εὐαγγέλιον, Λουκᾶ θεσπέσιε ἄνωθεν, ἀνατολὴν, ἐπισκεψαμένην, τοὺς ἀνθρώπους παρίςησιν.

Παῦλος ὁ ἀπόςολος, τῶν ἐγκωμίων σοι ἔπλεξε, τὰς ἀπαρχὰς, καὶ τοὺς σοὺς ἐπαίνους ἐπιςέλλων ἐξέθετο.

Θεοτοκίον.

Σὲ νῦν μακαρίζουσιν, ὡς προεφήτευσας ἄχραντε, αἱ γενεαὶ, πᾶσαι τῶν ἀνθρώπων, διὰ σοῦ νῦν σῳζόμεναι.

Ἄλλος. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ρανάτωσαν σήμερον νεφέλαι, οὐράνιον θεῖον γλυκασμὸν, ἡ ἑορτὴ γὰρ ἤςραψε, Συμεὼν Θεοδώρου τε, πᾶσι πιςοῖς παρέχουσα, τῶν ἰαμάτων χαρίσματα.

Αένναον πνεύματος τὴν χάριν, πλουτήσας Λουκᾶς ὁ θαυμαςὸς, ἐν τῷ σπηλαίῳ γέγραφε, Χριςοῦ τὸ μέγα κήρυγμα, ἐκφράσας λόγων κάλλεσιν ἔργων ἀσύγκριτον μέγεθος.

Συνέλθετε, ἥκετε αἱ πόλεις, τῆς Πέλοπος νήσου καὶ λοιπῆς, Ἑλλάδος καὶ σκιρτήσατε, ἑόρτια χορεύοντες, ἐν τῇ εὑρέσει σήμερον, θείας εἰκόνος ἐν πνεύματι. Θεοτοκίον.

Δαβὶδ θυγατέρα καὶ τοῦ κτίςου, μητέρα γινώσκω σε ἁγνὴ, ἐκ σοῦ γὰρ ᾧ ἀπέκειτο, ἡ βασιλεία, ἤλυθε, Σωτὴρ τοῦ κόσμου Δέσποινα, ᾧ Εὐφροσύνη νενύμφευται.

Ἄλλος. Ὁ ςερεώσας κατ᾿ ἀρχάς.

Πεποικιλμένοι ἀρεταῖς, θεοπρεπῶς οἱ Πατέρες, καὶ τὰ δόγματα ὀρθόδοξα σχόντες, ἔν τε ςόματι καὶ νῷ, τὴν ἐκκλησίαν ηὔφραναν, αἱρετικῶν ἁπάσας, δόξας μακρὰν ἐξελάσαντες.

Αγαλλιάσθω οὐρανὸς, καὶ χορευέτω ἡ κτίσις, ἐν τῇ μνήμῃ τῶν ὁσίων πατέρων, εὐωδίαν ἱερὰν, ἐκ τῶν λειψάνων βρύουσαν, ἀεννάως ὁρῶντες, καὶ τῶν θαυμάτων τὸ πέλαγος.

Λελαμπρυσμένον ἀρετῶν, ταῖς καλλοναῖς θεοφόροι, καὶ τοῖς δόγμασι τοῖς θείοις Πατέρες, συντηρεῖτε εἰς ἀεὶ τὸ ἐν τῇ νήσῳ Πέλοπος, Σπήλαιον ἔνθα πάλαι, ταῖς ἀρεταῖς ἐνιδρώσατε. Θεοτοκίον.

Ολολαμπὴς ἡ ἑορτὴ τῶν μακαρίων πατέρων, ἐξανέτειλε καὶ κόρης ὁσίας, καταστράπτουσα πιστοὺς, ἐν τῷ ναῷ σου σήμερον, πάναγνε Θεοτόκε, χαρίτων θείων λαμπρότησιν.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους θεοτόκε.

Εἶτα συναπτὴ καὶ λέγομεν τὸ κοντάκιον τοῦ Ἀποστόλου.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Μαθητὴς γενόμενος τοῦ θείου λόγου, σὺν τῷ Παύλῳ ἅπασαν, ἐφωταγώγησας τὴν γῆν, καὶ τὴν ἀχλὺν ἀπεδίωξας, τὸ θεῖον γράψας Χριστοῦ Εὐαγγέλιον.

Ὁ Οἶκος.

Ὡς ἰατρὸς καὶ μαθητὴς Λουκᾶ ἠγαπημένος, μυστικῇ χειρουργίᾳ τὰ πάθη τῆς ψυχῆς μου καὶ τὰ τοῦ σώματος ὁμοῦ ἴασαι, καὶ δός μοι κατὰ πάντα εὐεκτεῖν, καί σου τὴν πανᾳοίδιμον γηθόμενος γεραίρειν πανήγυριν, ὄμβροις τε δακρύων, ἀντὶ μύρου, τὸ σεπτόν σου καὶ πάντιμον σῶμα καταβρέχειν· ὡς στήλη γὰρ ζωῆς τεθησαυρισμένον ἐν τῷ ναῷ τῷ θαυμαστῷ τῶν Ἀποστόλων, πᾶσι προσφωνεῖ, καθάπερ καὶ σὺ τὸ πρῶτον, τὸ θεῖον γράψας Χριστοῦ Εὐαγγέλιον.

Εἶτα τὰ καθίσματα. Κάθισμα τοῦ Ἀποστόλου ἦχος πλ. δ΄.

Τὴν σοφίαν καὶ λόγον.

Ὡς τοῦ σκεύους ὑπάρχων τῆς ἐκλογῆς, ἀπεικόνισμα θεῖον ὡς ἀληθῶς, τὰ θεῖα μυςήρια ἐμυήθης τῷ πνεύματι· καὶ φωτισθεὶς τῇ χάριτι, τῆς θείας ἐλλάμψεως, ἀποςόλων τὰς πράξεις τρανῶς διεσάφησας· ὅθεν καὶ τῷ κόσμῳ, θησαυρὸν καταλείψας, τὰ θεῖα διδάγματα, κατεφώτισας ἅπαντας, Λουκᾶ πανᾳοίδιμε· πρέσβευε Χριςῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Ἕτερον τῶν ἁγίων. Ὅμοιον.

Ἐγκρατείᾳ καὶ πόνοις ἀσκητικοῖς, τὴν ψυχὴν καθαρθέντες σεμνοπρεπῶς, γεγόνατε συμμέτοχοι τῶν ἀγγέλων μακάριοι· καὶ τῶν θαυμάτων ὄντως τὴν χάριν ἐλάβετε, τοῦ ἰᾶσθαι τὰς νόσους τῶν πίςει τιμώντων ὑμᾶς· ὅθεν καὶ δαιμόνων, ἀπελαύνετε πλήθη, παρέχοντες ἰάματα τοῖς ἀνθρώποις πανόλβιοι, Συμεὼν καὶ Θεόδωρε· πρεσβεύσατε Χριςῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Ἕτερον Θεοτοκίον. Ὅμοιον.

Τοῦ ἡλίου νεφέλη τοῦ νοητοῦ, θείου φέγγους λυχνία χρυσοφανής· ἄσπιλε ἀμόλυντε, παναμώμητε Δέσποινα, τὴν σκοτεινὴν ψυχήν μου, τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλη, καταύγασον δέομαι· καὶ με-

μολυσμένην, τὴν καρδίαν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας τοῖς δάκρυσι· καὶ τοῦ ῥύπου με κάθαρον, πρεσβεύουσα Χριςῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὴν ἁγίαν εἰκόνα σου.

Ὠδὴ δ΄. Ὁ εἱρμός.

Ἐπέβης ἐφ᾽ ἵππους, τοὺς ἀποςόλους σου Κύριε, καὶ ἐδέξω χερσί σου ἡνίας αὐτῶν, καὶ σωτηρία γέγονεν ἡ ἱππασία σου, τοῖς πιςῶς μελῳδοῦσι, δόξα τῇ δυνάμει σου Κύριε.

Ὡς ὤφθης τῇ αἴγλῃ, πεφωτισμένος τοῦ πνεύματος, ἠξιώθης χερσί σου τοὺς νόμους αὐτοῦ, τοῖς θεοφίλοις ἄριςα διατυπώσασθαι, τοῖς πιςῶς μελῳδοῦσι, δόξα τῇ δυνάμει σου Κύριε.

Ἡ χάρις εὑροῦσα, τοῦ Παρακλήτου σε σκήνωμα, ἐξεχύθη πλουσίως σοῖς χείλεσι, καὶ τῆς εἰρήνης κήρυκα πᾶσιν ἀνέδειξε, τοῖς πιςῶς μελῳδοῦσι, δόξα τῇ δυνάμει σου Κύριε.

Ἀγώνων τῷ Παύλῳ, ὡς κοινωνὸς ὤφθης ἔνδοξε, τῶν ςεφάνων ἐνδίκως ἠξίωσαι, τῆς βασιλείας ἄμφω τε συναγαλλόμενοι, συμφώνως κραυγάζετε, δόξα τῇ δυνάμει σου Κύριε.

Εὑρών σου τὸ κάλλος, τῆς διανοίας ὁ Κύριος, ὡς ταῖς θείαις ἀκτῖσιν ὡραίως διαλαμπούσης, κήρυκά σε προχειρίζεται, τοῖς πίςει κραυγάζουσι, δόξα τῇ δυνάμει σου Κύριε. Θεοτοκίον.

Καθεῖλε δυνάςας, ἀπὸ θρόνων ὁ Κύριος, ἡ Παρθένος καὶ Μήτηρ ὡς ἔφησε· τοὺς δὲ πεινῶντας θείων ἀγαθῶν ἐνέπλησε, τοὺς πιςῶς μελῳδοῦντας, δόξα τῇ δυνάμει σου Κύριε.

Ἄλλος. Τὴν ἀνεξιχνίασον.

Ἴδετε ἰάματα ἃ ἐκ Θεοῦ, βρύειν ἐν σπηλαίῳ πεπλούτηκεν, ἡ τῶν ὁσίων, θήκη πᾶσι τοῖς πιςοῖς, καὶ μελῳδοῦντες κράζετε, δόξα τῇ δυνάμει σου Κύριε.

Δύναμιν κτησάμενος πνευματικὴν, γράφει ἱερὸν Εὐαγγέλιον, ἐν τῷ

σπηλαίῳ, ὁ θειότατος Λουκᾶς, τὴν τοῦ Σωτῆρος σάρκωσιν, πᾶσι κηρύττων ὑψηλότατα.

Ὕδατος ἐφύπερθε τοῦ θαυμαςοῦ, εὗρον σὺν τῇ κόρῃ οἱ ὅσιοι, θείαν εἰκόνα, τῆς τεκούσης τὸν Θεόν· ἀποκρυφὴν γὰρ ἔθετο, τῆς ἑαυτῆς μορφῆς τὸ σπήλαιον. Θεοτοκίον.

Ἥλιος ὡς ἄλλος τις θαῦμα φρικτὸν, ἔλαμψεν εἰκὼν πανακήρατος, τῆς Θεοτόκου, ᾗ τὰ θεῖα χερουβὶμ, δουλοπρεπῶς παρίςαντο, ἔνδον τοῦ σπηλαίου λανθάνουσα.

Ἄλλος. Σύ μου ἰσχὺς, Κύριε.

Ἵνα τὸ σὸν, Δέσποινα θεῖον εἰκόνισμα, δείξῃς πᾶσιν, ἔκπαλαι κρυπτόμενον, ἐκ Θετταλῶν, εἰς τὴν Ἀχαιῶν, ἄνδρας θεολήπτους, καὶ κόρην ἄγεις ἐγχώριον, εἰς ἄντρον ἔνθα εὗρον, χερουβὶμ παρεςῶτα, καὶ βοῶντά σοι δόξα τῷ τόκῳ σου.

Νόμοις Χριςοῦ, ἐντεθραμμένη ἡ πάναγνος, Εὐφροσύνη, πρόβατα ποιμαίνουσα, βλέπει πηγῆς, ῥείθρου διαυγοῦς, ἄνωθεν ἐν ἄντρῳ, τὸ πάνσεπτόν σου εἰκόνισμα, παρθένε Θεοτόκε, καὶ ὑμνοῦσα ἐβόα, παντευλόγητε χαίροις παντάνασσα.

Ὠδὴν καινὴν, ᾄδω σοι μόνῃ Μητρόθεε, κατὰ χρέος, σὺ γὰρ ἡ ὑπόθεσις, ἣν ὁ Λουκᾶς ἔγραψε σαφῶς, ἐν Εὐαγγελίοις, καὶ τὸ σεπτόν σου εἰκόνισμα τυπώσας ἐν σπηλαίῳ, κρυπτόμενον ἀφῆκεν, ὃ καιροῖς ἰδίοις ἀνεύρηται. Θεοτοκίον.

Ῥῆμα τὸ σὸν, πληροῦντες πάναγνε Δέσποινα, γενεαί σε, πᾶσαι μακαρίζομεν, ἐπὶ τῆς γῆς, τάξεις τῶν πιςῶν, ὕμνοις ἀσιγήτοις· ἐν σοὶ γὰρ πάντες σεσώσμεθα, κολάσεως ῥυσθέντες τῷ ςαυρῷ τοῦ υἱοῦ σου, καὶ τυχόντες τῆς θείας βιώσεως.

Ὠδὴ έ. Φώτισον ἡμᾶς.

Φῶς τὸ νοητὸν, τῇ καρδίᾳ σου δεξάμενος, καὶ μολυσμάτων ὡς λαμπτὴρ καθαρθεὶς, ἀγάπης νόμῳ, τοῖς πᾶσι Λουκᾶ μετέδωκας.

Σὺ ταῖς ἀςραπαῖς, ταῖς τῆς χάριτος πανόλβιε, κατηυγασμένος καθωράθης σαφῶς, πυρίνῃ γλώσσῃ, ἐνθέως Λουκᾶ φθεγγόμενος.

Παύλῳ τῷ σοφῷ, συνοδεύειν ἐπεπόθησας, ἀγαπητὸς γὰρ προσηγόρευσαι, ὡς ὑπηρέτης Εὐαγγελιςὰ τῆς χάριτος. Θεοτοκίον.

Χαίροις ἀληθῶς, παρθενίας τὸ κειμήλιον, ἡ τῆς προμήτορος ἀνάκλησις, καὶ τῆς κατάρας ἡ λύσις τῆς τοῦ προπάτορος.

Ἄλλος. Ἐξέςη τὰ σύμπαντα.

Οἱ δοῦλοί σου Δέσποινα, Συμεὼν καὶ Θεόδωρος, πνεύματι ἁγίῳ κινηθέντες, πόῤῥωθεν ἧκον, ἐν τῷ σπηλαίῳ σπουδῇ, καὶ τύπον μορφῆς σου τῆς σεπτῆς, εὗρον ἐγκρυπτόμενον μακροτάτοις ἐν ἔτεσιν.

Κυκλώσατε σήμερον, λαοὶ φιλοθεώτατοι, θήκην τὴν κοινὴν τῶν αὐταδέλφων, ῥεῖθρα θαυμάτων ἀντλοῦντες ἔνθεν πιςῶς, καὶ δόξαν προσάξατε Χριςῷ, χάριν τῶν ἰάσεων, δωρουμένῳ τοῖς χρήζουσιν.

Ανύμφευτε Δέσποινα, πατέρας θεοκήρυκας, κόρην τε παρθένον καὶ ὁσίαν, ἤγαγες ἔνδον Σπηλαίου πρὶν ἀφεγγοῦς, εἰκόνος πρὸς εὕρεσιν τῆς σῆς, ἥνπερ καὶ ἀνέδειξας, ὑπὲρ ἥλιον λάμπουσαν. Θεοτοκίον.

Πιςεύομεν πάναγνε, τὴν ἄσπορόν σου γέννησιν, μόνη γὰρ ἐφάνης ἀπ᾽ αἰῶνος, Ἀδὰμ θυγάτηρ, καθυπερτέρα βροτῶν, ἀγγέλων τε πάντων Μαριὰμ, τὸν Σωτῆρα Κύριον, εἰς τὸν κόσμον εἰσάξασα.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Παῦλον, Λουκᾶν, Ἀνδρέαν, Ἀχαΐας τοὺς μύςας τοὺς θεοκήρυκας, οὐρανόθεν πέμψας, διϋπνίζεις τὸ ζεῦγος τὸ ἅγιον, τῶν Πατέρων πάλαι, καὶ πρὸς ἀνεύρεσιν εἰκόνος, ἀποςέλλεις Χριςὲ τῆς τεκούσης σε.

Ηλιος ὥςπερ ἄλλας, ἤςραψεν ἡ μνήμη σου ζεῦγος αὐτάδελφον· ὡς ἀκτῖνας κόσμῳ, τῶν ἰάσεων χάριτας νέμουσα, καὶ τῷ θείῳ φέγγει, παθῶν σκοτόμαιναν παντοίων, ἐκδιώκουσα πόῤῥω καὶ ἀφανίζουσα.

Τετρωμένοι τῷ πόθῳ, ὅσιοι τοῦ κτίσαντος ἐξενιτεύσατε, τοὺς λαοὺς εἰς πίςιν, ὁδηγοῦντες καὶ πόνους ὑπέςητε, χρόνοις πάλαι πλείςοις,

ἀσκητικοὺς Θεὸν εὑρόντες, μοναζόντων ἀνδρίας τὸν ἔφορον.

Ιατρὸν τὴν τεκοῦσαν, Θεοτόκον δέσποιναν σὺ ἐθεράπευσας, ἐγκλεισθεῖσα κέλλῃ, καὶ πρὸς ὕψος οὐράνιον ἔφθασας, Εὐφροσύνη θεία· διὸ καὶ χάριν ἐκομίσω, ἰατρεύειν τὰς νόσους ἑκάστοτε.

Ὠδὴ ς'. Τὴν δέησιν ἐκχεῶ.

Εἰς ὄρος τῶν ἀρετῶν ἀπόστολε, ἀναβὰς τῷ ποθουμένῳ ὡμίλεις, καὶ ὡς Μωσῆς θεογράφους τὰς πλάκας, ἐγγεγραμμένας δακτύλῳ τοῦ πνεύματος, ἐδέξω μακάριε διττάς, Λουκᾶ τῆς οἰκουμένης διδάσκαλε.

Τὸν κόσμον σαῖς διδαχαῖς ἐφώτισας, οἷα ῥήτωρ τῆς σεπτῆς ἐκκλησίας· ταῖς γὰρ αὐγαῖς τῆς ἀκτίστου Τριάδος, πεπυρσευμένος ὡράθης θεόληπτε, καὶ γέγονας ὥσπερ ἀστήρ, δᾳδουχῶν οἰκουμένης τὰ πέρατα.

Τὰς νόσους νῦν τῶν ψυχῶν θεόπνευστε, ἰατρεύεις καὶ σωμάτων ὡς πάλαι, ἐμπιστευθεὶς οὐρανόθεν τὸ δῶρον, καὶ ὡς πλουτήσας τὴν χάριν τοῦ πνεύματος· ὁ Παῦλος γάρ σε μαρτυρῶν ἰατρὸν γεγονέναι παρίστησιν.

Θεοτοκίον.

Επέβλεψεν ἐπὶ σὲ ὁ Κύριος, τὴν ἐμὴν ἀνακαινίζων οὐσίαν, ὡς δυνατὸς μεγαλεῖα ποιήσας, θεογεννῆτορ ὡς ἔφης πανάμωμε, καὶ ἔσωσέ με διὰ σοῦ, ἐκ φθορᾶς ὡς Θεὸς καὶ φιλάνθρωπος.

Ἄλλος. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Ιδοὺ τὸ ὕδωρ τὸ ἅγιον, ὃ ἔδειξεν ἡμῖν πάλαι Κύριος, βρύον ἰάματα· ἰδοὺ χαρίτων τὸ πέλαγος, δεῦτε πιστῶς προστρέχοντες ἀρυσώμεθα.

Μανίαν πᾶσαν αἱρέσεως, εἰκόνος ὑβριστῶν ἀπεδίωξας, νήσου τῆς Πέλοπος, διὰ τῆς θείας εἰκόνος σου, ἣν ἐκ τοῦ ἄντρου πάλαι πιστοῖς ἀνέδειξας.

Ιδοὺ συντρέχουσιν ἅπασαι, αἱ πόλεις τῆς Ἑλλάδος ἑόρτια, τῇ θεομήτορι, ἄγουσαι δῶρα καὶ ψάλλουσαι, τὸ τοῦ ἀγγέλου μέλος, χαίροις πανάμωμε.

Θεοτοκίον.

Αρρήτως λόγον γεγέννηκας, πατρὸς τὸν ὁμοούσιον ἄσπιλε, ᾧ δὴ νενύμφευται, κόρη πανσέμνως βιώσασα, καὶ ἰαμάτων χάριν τοῦ τάφου βρύουσα.

Ἄλλος. Ἱλάσθητί μοι σωτήρ.

Πολλὴ χαρὰ τοῖς πιςοῖς, πολλὴ δὲ καὶ ἀγαλλίασις, τοῖς ψάλλουσι συνετῶς, ἐν οἴκῳ σου Δέσποινα, τὰ πολλὰ τεράςια τῶν πιςῶν σου δούλων, Συμεών τε Θεοδώρου τε.

Ἰάματα κρουνηδὸν τῆς λάρνακος ἀποβλύζουσι, πατέρων δύω σεπτῶν· ἀρύσασθε ἄνθρωποι, τὸν Θεὸν καὶ Κύριον ἀνυμνοῦντες ὅθεν, τοῖς ὁσίοις ταῦτα δέδοται.

Συνέλθωμεν οἱ πιςοὶ, εἰς τῆς πανάγνου τὸ τέμενος· ἐνώπιον τῆς σεπτῆς, εἰκόνος ἐκχέωμεν, ὕμνους μελῳδοῦντες, τὴν κεχαριτωμένην, καὶ τοὺς πατέρας γεραίροντες.

Νεάνιδες εὐσεβεῖς, τῆς κόρης δεῦτε μιμήσασθε, τὴν πίςιν καὶ ἀρετήν· ποιμαίνουσα γάρ ποτε, κόρης τῆς θεόπαιδος, εὕρατο τὴν χάριν, καὶ ἐς δεῦρο μακαρίζεται.

Καταβασία. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Κοντάκιον. Ἦχος γ΄. Ἡ παρθένος σήμερον.

Τῶν πατέρων σήμερον τὴν πανσεβάσμιον μνήμην, Θεοδώρου ᾄσμασι καὶ Συμεὼν εὐφημοῦμεν, ἅμα δὲ καὶ Εὐφροσύνης τῆς πανολβίας· εὗρον γὰρ τῆς Θεοτόκου εἰκόνα θείαν, ἐν σπηλαίῳ χορηγοῦσαν, πηγὴν θαυμάτων ἀδιαλείπτων πιςοῖς.

Ὁ Οἶκος.

Επέςη σήμερον ἡμῖν σωτήριος ἡμέρα, ἡ μνήμη τῶν πατέρων καὶ τῆς ὁσίας Εὐφροσύνης, ἣν πίςει συνελθόντες ἀνευφημοῦμεν εὐσεβῶς· οὗτοι γὰρ ἀσκήσει προκαθάραντες ἑαυτοὺς, εὗρον τὴν ἀποςολικὴν εἰκόνα τῆς Θεοτόκου σὺν τῇ ὁσίᾳ Εὐφροσύνῃ. Καὶ πρὸς Κύριον μεταςάντες σὺν ἀγγέλοις χορεύουσιν εἰς αἰῶνας, αἰτούμενοι παρὰ Χριςοῦ πταισμάτων ἱλασμὸν δοθῆναι τοῖς εὐσεβῶς ἐπιτελοῦσι μνήμην τὴν αὐτῶν· καὶ τὸν θησαυρὸν τῆς ἁγίας εἰκόνος ἡμῖν κατέλιπον, πηγὴν θαυμάτων ἀδιαλείπτων πιςοῖς.

Τῷ αὐτῷ μηνὶ ιή. τοῦ ἁγίου ἐνδόξου, Ἀποςόλου καὶ Εὐαγγελιςοῦ Λουκᾶ.

Εἰς Ἐμμαοὺς βλέπειν σε κᾂν πρὶν εἰργόμην,
Λουκᾶς λέγει, τρανῶς σε νῦν Χριστὲ βλέπω.
Ὀγδοάτῃ δεκάτῃ πέρατος βίου ἔμμορε Λουκᾶς.

Τῇ αὐτῇ ἡμέρᾳ, τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν Συμεὼν καὶ Θεοδώρου, καὶ τῆς ὁσίας μητρὸς ἡμῶν Εὐφροσύνης, τῶν εὑραμένων τὴν ἀποςολικὴν καὶ πάνσεπτον εἰκόνα τῆς Ὑπεραγίας Θεοτόκου, τὴν Σπηλαιώτισσαν, καὶ τῆς τοῦ μεγάλου Σπηλαίου μονῆς καθηγησαμένων.

Ἐν γῆς μὲν ἄντρῳ τῆς Παρθένου τὸν τύπον,
Ἐν οὐρανοῖς δὲ ζῶσαν αὐτὴν εὕρετε.
Ὀκτωκαιδεκάτῃ, Συμεῶνά τε καὶ Θεόδωρον,
Εὐφροσύνην θ' ὁσίως τὸ μέγα Σπήλαιον ἀείδει. (α)

Τῇ αὐτῇ ἡμέρᾳ, τοῦ ἁγίου Μάρτυρος Μαρίνου, καὶ τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰουλιανοῦ.
Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις Χριςὲ ὁ Θεὸς ἡμῶν ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Ω πῶς Λουκᾷ τε καὶ Κλεώπᾳ ἐμφανίζεται Δεσπότης ἐκ τοῦ τάφου· ἀναςὰς γὰρ αὐτοὺς ἐδίδασκε κραυγάζειν, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Τρίβον τοῦ βίου διατρέχων, συνοδεύοντα τὸν Λόγον εὗρες μάκαρ, οὐρανίων σκηνῶν ἀνοίγοντά σοι πύλας, εὐλογητὸς εἶ κράζοντι, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Λύρα τοῦ πνεύματος ἐδείχθης, μελῳδήματα θεόθεν φθεγγομένη, τοὺς ἀνθρώπους Λουκᾶ φωτίζοντα βοῶντας, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Χαῖρε Μαρία Θεοτόκε, ὁ ἀσώματος ἐβόα σοι παρθένε· σὺν αὐτῷ δὲ πιςοὶ βοῶμέν σου τῷ τόκῳ, εὐλογημένος πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ἄλλος. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Ἀλαλάξωμεν ἐφύμνια θεόφρονες, τῇ θεομήτορι, ὅτι ψυχώλεθρον πῦρ,

(α) Τὸν βίον τῶν Ὁσίων βλ. ὄπισθεν σελ. 37—89.

αἱρέσεων ἔσβεσε, μορφὴν αὐτῆς τὴν σεπτὴν, πάλαι δείξασα, καὶ λόγου δοῦσα δύναμιν, τῇ δυάδι τῶν πατέρων.

Ἀνυμνήσωμεν φιλέορτοι τὴν ἔνθεον, μνήμην ἐν ᾄσμασι, τῆς ξυνωρίδος Χριςοῦ, κυκλοῦντες τὴν λάρνακα καὶ ἀρυόμενοι, χάριν ἄφθονον, καὶ ὁλοψύχως μέλποντες, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ιατῆρας τοὺς πατέρας ἡμῶν ἔχοντες, νόσων καὶ θλίψεων, αὐτῶν τὴν θείαν ζωὴν, πιςῶς μιμησώμεθα, Θεῷ δουλεύοντες, ἵνα τύχωμεν τῆς σωτηρίας ψάλλοντες, ὁ Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Ὑπὲρ ἥλιον ἐγέννησας θεόνυμφε, ἐν κόσμῳ λάμποντα, τὸν φωτοδότην Χριςὸν, ζωήν τε παρέχοντα πιςοῖς αἰώνιον, ἧς ἀπήλαυσεν, ἡ Εὐφροσύνη μέλπουσα· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Θεοῦ συγκατάβασιν.

Ὁλόφωτος πνεύματος, αὐγαῖς εἰσέδυ τὸ πάλαι ἄντρον βαθὺ, μύςης τῶν ἀποῤῥήτων, Λουκᾶς ὁ μέγας τῆς Ἀχαΐας φωςὴρ, ψυχὰς Θεῷ προσάγων καὶ γέγραφε, χερσὶν ἁγίαις τὴν καινὴν Διαθήκην Χριςοῦ.

Σιὼν πανηγύριζε, Βηθλεὲμ δὲ χαῖρε καὶ τέρπου πιςῶς, ἀντίτυπον γὰρ ἔχεις, ἐν Ἀχαΐᾳ σπήλαιον ᾧ Μαριὰμ, ἡ Βηθλεεμῖτις ἐντεθησαύρικε, τὸν θεῖον τύπον αὐτῆς ἡ Θεοτόκος ἡ ἁγνή.

Ιδοὺ Δαβὶδ θύγατερ, εὐλογημένη Παῦλος ὁ μύςης Χριςοῦ, Λουκᾶς τε καὶ Ἀνδρέας, ἐν Ἀχαΐᾳ προσήγαγόν σοι λαὸν, εὐσεβοφρόνως τῷ υἱῷ σου λατρεύοντας, ὃν περίσῳζε σεμνὴ ταῖς ἱκεσίαις σου πιςόν.

Ὁ λόγος σεσάρκωται, ἐκ τῶν ἀχράντων αἱμάτων κόρη τῶν σῶν· ἐν εἰκόνι δὲ τοῦτον, ἀνιςοροῦμεν θεανδρικῇ τῇ μορφῇ, πιςῶν τὰ πλήθη καὶ ψάλλοντες λέγομεν, σὺν τοῖς πατράσιν ἡμῶν, αὕτη ἡ δόξα πιςῶν.

Θεοτοκίον.

Θεοῦ συγκατάβασιν κατανοοῦσα ὁσία κόρη πιςῶς, ἐξ ἀχράντου παρθένου, σάρκα λαβόντος εἰς σωτηρίαν βροτῶν, ἐν παρθενίᾳ διέζη τοῖς δάκρυσιν, ἱλεουμένη Χριςὸν, διὰ τοῦ βίου παντός.

Ὠδὴ ή. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.

Θεογράφους ὡς πλάκας δεδεγμένοι, τὰς σὰς βίβλους πιςῶς κατατρυφῶμεν, τοῦ φωτισμοῦ, τῆς χάριτος πανόλβιε, Κύριον ὑμνοῦντες, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Ὡς ὀργάνῳ τὸ πνεῦμά σου τῇ γλώττῃ, κεχρημένον φωτίζει τοὺς ἀνθρώπους, μυςαγωγοῦν, τῆς χάριτος τὰ δόγματα, Κύριον ὑμνοῦντας, καὶ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Συνεδέθης τῇ σχέσει μετὰ Παύλου, θεοῤῥῆμον Λουκᾶ τοῦ θεηγόρου, καὶ ξυνωρὶς, πανέντιμος ἐδείχθητε, Κύριον ὑμνοῦντες, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Θεοπλόκῳ σαγήνῃ σου τῶν λόγων, ἐφαπλώσας τοὺς πλάνῃ κρατουμένους, τῷ φωτισμῷ, τῆς πίςεως ἐζώγρησας, Κύριον ὑμνοῦντας, καὶ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐλισάβετ μητέρα σε Κυρίου, προσεφώνει προφῆτις δεδειγμένη, τὸν Βαπτιςὴν, καὶ Πρόδρομον βαςάζουσα, Κύριον ὑμνοῦσα, καὶ ὑπερυψοῦσα εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Νόμον σου φυλάσσοντας ἀγρύπνως, τοὺς ἄνακτας τῶν Ῥωμαίων ὦ θεάνθρωπε, παντοκράτωρ Κύριε, σκέπε καὶ περίσωζε, ἀγγελικαῖς ἐν πτέρυξι, πάντας ἐχθροὺς τοῦ Σταυροῦ, τιθεὶς ὑπὸ τοὺς πόδας τοῦ κράτους, καὶ τὴν Ἐκκλησίαν ςηρίζων εἰς αἰῶνας.

Οἴκτῳ τῶν ἀνθρώπων σαρκωθέντα, Χριςὸν ἐν σπηλαίῳ Βηθλεὲμ, ὦ Θεομῆτορ τέτοκας· ᾧ λατρεύων κράτιςος, ἄναξ ἀνδρῶν Ἀνδρόνικος εἰς δόξαν σοῦ τῆς μορφῆς, τὸ Σπήλαιον Ἀχαΐας λαμπρύνει. Νίκας τούτῳ δίδου λαμπρὰς κατὰ βαρβάρων.

Σήμερον τῇ μνήμῃ τῶν πατέρων, σεμνὴν συγκροτήσαντες ὁμήγυριν, τούτων τὰ θαυμάσια, μέλπομεν ἐν ᾄσμασιν, ἄλλος ἄλλο τι λέγοντες,

ὧν ἀπηλαύσαμεν, τὸν Κύριον ὑμνοῦντες ὡς πάσης, ἀγαθοδωρίας αὐτὸν μόνον δοτῆρα.

Κλέος Ἐκκλησίας ἀνεδείχθη, τὸ ζεῦγος τὸ τῶν πατέρων Σῶτερ ὕψιςε· οὗτοι γὰρ βαδίσαντες, ἀποςόλων ἴχνεσι, καὶ θεομάχων αἵρεσιν θείοις κηρύγμασι, μακρὰν ἀποσοβήσαντες πάλαι, τῶν πιςῶν τῆς ποίμνης ἐκβλύζουσι νῦν μύρα. Θεοτοκίον.

Λεύκανον Παρθένε ὡς χιόνα, τοῦ βίου μου τὸ ζοφῶδες καὶ ἐκλάμπρυνον, θείαις ἱκεσίαις σου, ἵνα μεγαλύνω σε, ὡς τοῦ ἐλέους ἄβυσσον Κύριον τέξασαν, ὡς μόνην σωτηρίας ἐλπίδα, πᾶσι χριςωνύμοις δοθεῖσαν εἰς αἰῶνας.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Ἱερουργοὶ θεόφρονες, τῶν ὁσίων ἀγλάϊσμα, σὺν τῷ Θεοδώρῳ, Συμεὼν πανόλβιε, τῆς πίςεως πρόμαχοι, ὀρθοδοξίας ςῆλαι λαμπραὶ, τῆς τε Πανελλάδος κραταιοὶ πολιοῦχοι, Χριςὸν ἐκδυσωπεῖτε ῥυσθῆναι τῶν κινδύνων, τοὺς πόθῳ εὐφημοῦντας ὑμᾶς εἰς τοὺς αἰῶνας.

Στεφηφοροῦντας ἄνακτας, τῶν Ῥωμαίων περίφραξον, ταῖς ἀγγελικαῖς, ἀπ᾽ οὐρανοῦ δυνάμεσι, Θεὲ ὑπερούσιε, τὰς ἐθναρχίας πάσας ὁμοῦ, τούτοις ὑποτάττων, καὶ συντρίβων τυράννους, πρεσβείαις τῆς παρθένου Θεοτόκου Μαρίας, Πατέρων τε πανσόφων, καὶ θείας Εὐφροσύνης.

Ἐπὶ τῆς γῆς τῆς Πέλοπος, ὦ θεόνυμφε Δέσποινα, τὴν ἐν τῷ σπηλαίῳ, σοῦ Μονὴν εἰς δόξαν σου, παγκάλως ἐπηύξησε Παλαιολόγος ἄναξ σοφὸς, περιβεβλημένος εὐσεβείας τὸ κράτος, Ἀνδρόνικος ὁ μέγας· τούτῳ βράβευε νίκας, βαρβάρων κατὰ πάντων, καὶ τρόπαιον εἰρήνης.

Νῦν εἰς τὸ ἄντρον ἅπαντες, ὦ μονάζοντες σπεύσατε, δῶρα τοῖς πατράσιν ἀρετὰς προσφέροντες· τῇ λάρνακι πρόσιτε, πᾶσι βρυούσῃ χάριν πιςοῖς· ἀντλήσατε καὶ τούτους, εὐφημοῦντες βοᾶτε· υἱὲ Θεοῦ παντάναξ, ταῖς αὐτῶν ἱκεσίαις, ἀξίωσον σοὺς δούλους τυχεῖν τοῦ παραδείσου.

Θεοτοκίον.

Ἵνα πιςώσῃς ἄχραντε, τοῦ υἱοῦ σου τὴν σάρκωσιν, ἄχραντον εἰκόνα σῆς μορφῆς ἀνέδειξας, ἐν ἄντρῳ λανθάνουσαν, χειρὶ Λουκᾶ γραφεῖσαν ἁγνῇ· ἐν ᾗ Παρθένε φέρεις, ἐν ἀγκάλαις ὡς βρέφος, τὸν Μονογενῆ σου, πανευσπλάγχνως ὁρῶντα· Αἱρετικῶν οὖν θράσος πιπτέτω παραυτίκα.

Καταβασία. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ὠδὴ θ'. Ὁ εἱρμός.

Ὅρους παρῆλθες τῆς φύσεως, τὸν δημιουργὸν συλλαβοῦσα καὶ Κύριον, καὶ πύλη σωτηρίας τῷ κόσμῳ γέγονας· διό σε Θεοτόκε, ἀκαταπαύςως μεγαλύνομεν.

Ἔςης Λουκᾶ τῆς ἐφέσεως, τὸ τῶν ὀρεκτῶν οἷα φθάσας τὸ ἔσχατον, καὶ τέλους μακαρίου σαφῶς ἐπέτυχες, λυθέντων τῶν ἐσόπτρων, τῆς ἀληθείας ταῖς ἐμφάσεσιν.

Λάμψας τῷ κόσμῳ ὡς ἥλιος, ἐνθεαςικῶς τῇ Τριάδι παρίστασαι, σὺν Παύλῳ τῷ θεόπτῃ Λουκᾶ πανεύφημε· μεθ' οὗ σε θεοφάντωρ, ἀκαταπαύςως μεγαλύνομεν.

Αἴγλῃ Λουκᾶ τῇ φωσφόρῳ σου, τοὺς σοὺς ὑμνητὰς φαιδρυνθῆναι δυσώπησον, καὶ κόσμῳ τὴν εἰρήνην παμμάκαρ βράβευσον, ὅπως σε θεηγόρε, ἀκαταπαύςως μεγαλύνωμεν.

Χαίρων Λουκᾶ νῦν παρίςασαι, τῷ παμβασιλεῖ τῷ ςεφάνῳ κοσμούμενος, τῆς θείας εὐπρεπείας καὶ ὡραιότητος· διό σε θεοῤῥῆμον, ἀκαταπαύςως μεγαλύνομεν.

Θεοτοκίον.

Λόγον ἐδέξω τὸν ἄσαρκον, φύσιν τὴν ἐμὴν ἀναπλάσαι βουλόμενον, καὶ τοῦτον σαρκωθέντα παρθένε τέτοκας· διό σε Θεοτόκε, ἀκαταπαύςως μεγαλύνομεν.

Ἄλλος. Ἅπας γηγενής.

Ὅρος θαυμαςὸν, ἐν ἄντρῳ καὶ ὕδασιν ἁγνὴ κρυπτόμενον, εἶχε σὸν εἰκόνισμα· Βουραϊκὸς δὲ σιγῶν παρέῤῥεεν· ἕως πατέρες εὕρηκαν αὐτὸ δοξάζοντες, τὸν ἁπάντων, Κύριον ὃν αἴτησαι, βασιλείας τὰ σκῆπτρα κρατύνεσθαι.

Ρῆξον δυσμενῶν, τῶν κύκλῳ τὰς φάλαγγας καὶ τούτους ὄλεσον· νήσου δὲ τῆς Πέλοπος, προςάτην πέμψον θεῖον ἀρχάγγελον, τοὺς εὐσεβεῖς ῥυόμενον ἐκ πάσης θλίψεως, τῶν Πατέρων, κόρης τε ἐντεύξεσιν, Ἀειπάρθενε κόρη παντάνασσα.

Η περικαλλὴς, καὶ πάμφωτος μνήμη σου τριὰς θεόληπτε, ἤθροισε πανήγυριν, λαῶν ὁσίας ᾠδάς σοι μέλπουσαν, ὦ Συμεὼν, Θεόδωρε, καὶ Εὐφροσύνη σεμνὴ, οἷς πλουσίαν, χάριν καὶ συγχώρησιν, τῶν πταισμάτων θεόθεν βραβεύετε.

Ολῃ τῇ ψυχῇ, καὶ νῷ καὶ καρδίᾳ μου μυσαγωγούμενος, παρὰ τῶν Πατέρων μου, καὶ τῶν Γραφῶν εἰς ἕνα Θεὸν πεπίσευκα, Τριάδα ὁμοούσιον καὶ ἀδιαίρετον, καὶ εἰς ἕνα τὸν Χρισόν μου Κύριον, ἐκ παρθένου τεχθέντα θεάνθρωπον. Θεοτοκίον.

Υδωρ οὗ ποτὲ, Δαβὶδ ἐπεθύμησε Βηθλεὲμ βλύζοντος, βρύει νῦν ἀένναον, ἐν τῷ Σπηλαίῳ δεῦτε ἀντλήσατε, λαοὶ φιλοθεώτατοι πανηγυρίζοντες· ἰαμάτων χάριτας ἀρύσασθε, Θεοτόκον ὑμνοῦντες τὴν Δέσποιναν.

Ἄλλος. Ἐξέςη ἐπὶ τούτῳ ὁ οὐρανός.

Θαυμάτων σου τὸ πέλαγος ὦ δυὰς, τῶν πατέρων μιμεῖται τὰ ῥεύματα, τοῦ ποταμοῦ, ὅςπερ τὴν μονὴν ὑμῶν περιῤῥεῖ, τοῖς τερασίοις ὅσιοι, πᾶσαν περικλύζον γῆν νοητῶς, Ἑλλήνων καὶ τὰς νόσους, καθαῖρον καὶ ὑγείαν, τοῖς δεομένοις παρεχόμενον.

Ανάδειξον θεόνυμφε Μαριὰμ, τὴν Μονήν σου πλουσίαν ἐν χάριτι, καὶ ἀρεταῖς, ἤρεμον, ἀκίνδυνον ἐσαεὶ, πάσας κακώσεις πόῤῥωθεν, ταύτης ἐκδιώκουσα κραταιῶς· καὶ πάρεχε τοῖς πίςει, προςρέχουσι παρθένε, τῇ σῇ εἰκόνι χάριν ἄφθονον.

Δαιμόνων τε καὶ νόσων καὶ συμφορῶν, πειρασμῶν τε καὶ ζάλης καὶ θλίψεων, ὦ Μαριὰμ, σῷζε τοὺς οἰκέτας σου τοὺς πιςούς· συκοφαντίας λύτρωσον· ἐν τῇ τρίβῳ τούτους τῶν ἐντολῶν, τῶν θείων ποδηγέτει· καὶ πλοῦτον εὐσεβείας, δὸς τοῖς ὑμνοῦσι τὰ σὰ θαύματα.

Ἐπίφανον τὸ πρόσωπόν σου ἁγνή, βασιλεῦσιν ἡμῶν καὶ εἰρήνευε, τούτους ἀεί· πράϋνον θορύβους καὶ ταραχάς· ἐθνῶν καὶ τῶν αἱρέσεων σβέσον τὰ φρυάγματα τὰ δεινά· τῇ χώρᾳ καὶ τῇ πόλει, τοῦ κράτους ὦ παρθένε, νέμουσα δόξαν καὶ ἀσφάλειαν. Δόξα.

Τριάδα ἐν Μονάδι θεολογῶ· μίαν φύσιν οὐσίαν καὶ δύναμιν, ἕνα Θεόν, ἐν τρισὶ προσώποις ὁμολογῶ, Πατέρα, Λόγον, Πνεῦμά τε, τρεῖς τὰς ὑποςάσεις, μίαν ἀρχήν, ἀχώριςον· εἰς μίαν, θεότητα πιςεύω, τρισυπόςατον καὶ ὁμοούσιον. Καὶ νῦν.

Παρθένε Παναγία Μῆτερ Θεοῦ, σὺ τὸν Λόγον σαρκὶ ἀπεκύησας, ἕνα Χριςόν, ἐν δυσὶ ταῖς φύσεσιν ἐπὶ γῆς, Θεὸν ἐνανθρωπήσαντα, καὶ τὸ γένος σώσαντα τῶν βροτῶν· διό σε Θεοτόκε, ἀγγέλων καὶ ἀνθρώπων ταξιαρχίαι μεγαλύνουσιν.

Ἐξαποςειλάριον. Τοῖς μαθηταῖς συνέλθωμεν.

Λουκᾶ Χριςοῦ ἀπόςολε, μύςα τῶν ἀποῤῥήτων, καὶ τῶν ἐθνῶν διδάσκαλε, μετὰ Παύλου τοῦ θείου, καὶ τῆς ἁγνῆς Θεοτόκου, ἧς τὴν θείαν εἰκόνα, ἐκ πόθου ἀνιςόρησας, ἐκδυσώπει θεόπτα ὑπὲρ ἡμῶν, τῶν μακαριζόντων σε καὶ τελούντων, τὴν ἱεράν σου κοίμησιν, πάνσοφε μυςολέκτα.

Ἕτερον τῶν ἁγίων.

Ὁ οὐρανὸν τοῖς ἄςροις.

Ἀπὸ τῆς λάρνακος βρύει, τῶν αὐταδέλφων Πατέρων, χαρίσματα ἰαμάτων, πᾶσι τοῖς προσιοῦσιν· οὓς εὐφημοῦμεν ἐκ πόθου, σὺν τῇ μητρὶ Εὐφροσύνῃ. Θεοτοκίον.

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε πόλις, ἡλιοςάλακτε θρόνε, καθέδρα τοῦ βασιλέως, ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν δεσπότην.

Εἰς τοὺς αἴνους, ἱςῶμεν ςίχους ή, καὶ ψάλλομεν ςιχηρὰ προσόμοια τῶν ἁγίων έ, καὶ τοῦ Ἀποςόλου γ΄.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Τοὺς πατέρας αἰνέσωμεν, Συμεὼν καὶ Θεόδωρον, εὐαγέσιν ᾄσμασιν

ὥσπερ ἄνθεσιν, τὰς τούτων κάρας κοσμήσαντες, καὶ δῶρα προσάξωμεν τούτοις πράξεις ἀρετῶν· ἑορτὴν γὰρ πανίερον συνεστήσαντο, συγκαλοῦντες τοὺς πάντας ἐτησίως, καὶ τοῖς πίςει προσιοῦσι, χάριν παρέχοντες ἄφθονον.

Τοὺς πατέρας τιμήσωμεν, ἐν ᾠδαῖς μεγαλύνοντες, τὴν αὐτῶν ἰσάγγελον θείαν βίωσιν· ταῖς ἀρεταῖς γὰρ ἐξήςραψαν, ἐν γῇ καὶ ἀνεύραντο τῆς Μητρὸς τοῦ Ἰησοῦ, τὸ σεπτὸν ἀπεικόνισμα τὸ κρυπτόμενον, πλείςοις χρόνοις ἐν ἄντρῳ· καὶ τὴν πίςιν, τὴν ὀρθόδοξον πρὸς πάντας, τοὺς Ἀχαιοὺς ἀνεκήρυξαν.

Τοὺς πατέρας δοξάσωμεν, πρεσβευτὰς καὶ συλλήπτορας, καὶ μεσίτας ἔχοντες πρὸς τὸν ὕψιςον· καὶ δὴ πιςῶς ἀνακράξωμεν, Θεὲ ὑπεράγαθε, δι᾽ εὐχῶν καὶ πρεσβειῶν, τῶν ἁγίων οὓς ἔςεψας, οὓς ἠγάπησας, οὓς πατέρας τῆς ποίμνης σου ἐςήσω, τήρει ταύτην ὀρθοδόξως, ταῖς ἐντολαῖς σου προκόπτουσαν.

Τὴν ὁσίαν τιμήσωμεν, Εὐφροσύνην ἐν ᾄσμασιν· αὕτη γὰρ ἐν ὄρεσι κρίνον εὔοσμον, Ἀροανίοις ἀνθήσασα, εἶδεν εἰς τὸ Σπήλαιον, τὴν μητέρα τοῦ Θεοῦ, ἐν εἰκόνι ἀςράπτουσαν, καὶ ἀκήκοε, θείους λόγους πρηνὴς κλιθεῖσα φόβῳ, καὶ τὸ χαίροις ἀνεβόα, παρθενομῆτορ παντάνασσα.

Τὴν ὁσίαν αἰνέσωμεν, Εὐφροσύνην γεραίροντες· κάλλει παρθενίας γὰρ καὶ τῆς ἀσκήσεως, ἐκ Γαλατῶν χώρας ἔλαμψεν, ἄςρον φαεινότατον Ἐκκλησίας τοῦ Χριςοῦ· καὶ εἰσδῆναι τὸ Σπήλαιον πρώτη κέκληται· καὶ τῆς θείας αὐτοῦ φωτοφανείας, ἠξιώθη καὶ τοῦ τέλους, καὶ νῦν ἰᾶται τοὺς κάμνοντας.

Ἕτερα προσόμοια τοῦ Ἀποςόλου, γ'.

Ἦχος ά. Νεφέλην σε φωτός.

Χριςοῦ τὸν μαθητήν, τὸν τοῦ Εὐαγγελίου συγγραφέα σοφώτατον, σκεύους τῆς ἐκλογῆς τὸν ὡραῖον, χαρακτῆρα ἔμψυχον πιςοί, οὗ ἐν ταῖς ἐκκλησίαις ἁπάσαις ὁ ἔπαινος, Λουκᾶν τὸν ἀπόςολον, ἐν ὕμνοις τιμήσω-

μεν· αὐτὸς γὰρ ἐκήρυξε, τοῦ Θεοῦ τὰ παράδοξα θαύματα, φωτίσας τοὺς ἐπὶ γῆς, θεολογίας ἀκτῖσι διὰ τῆς χάριτος.

Ψυχῶν ἰατρικὴν, ὑπὲρ τὴν τῶν σωμάτων ἐκμαθὼν ἐπιςήμην σοφὲ, κατ' ἄμφω παγκαλὴς ἀνεδείχθης, τὴν τοῦ Θεοῦ σοφίαν ἐμπνευσθεὶς, ἐν ᾗ καὶ θεραπεύων ψυχὰς καὶ σώματα, Λουκᾶ παμμακάριςε, καλεῖς πρὸς ἐπίγνωσιν, πτεροῖς πρὸς τὸν ἔρωτα, τοῦ Θεοῦ τοὺς ἀνθρώπους ἑκάςοτε, ἀνάγεις εἰς οὐρανὸν, καὶ ὑπὲρ πάντων πρεσβεύεις τῶν εὐφημούντων σε.

Ἀγκίςρῳ λογικῷ, τοὺς ἐν βάθει ἀγνοίας, ὡς ἰχθύας, εἰσδύσαντας, ἑλκύσας εἰς ἐπίγνωσιν θείαν, τῷ Χριςῷ ὀψώνιον καλὸν, προσηγάγω παμμάκαρ καὶ ἔλαβες, τιμὴν ἀξιόχρεων, ζωὴν τὴν ἀκήρατον, Λουκᾶ ἱερώτατε· διὸ καὶ ἀπόςολος τοῦ Χριςοῦ ἐχρημάτισας, σοφὸς εὐαγγελιςὴς, ἐξηγητὴς τῶν πρακτέων ἔργων τῆς χάριτος.

Δόξα ἰδιόμελον. Ἦχος πλ. δ΄.

Ποῖος νοῦς, ἢ γλῶσσα βροτῶν τὰ καθ' ὑμᾶς ὑμνῆσαι ἰσχύσει, τρισόλβιοι πατέρες Συμεὼν καὶ Θεόδωρε· ἐνδεδυμένοι γὰρ τὴν ἁγίαν τῆς ἱερωσύνης ςολὴν, καὶ τὸν ἀποςολικὸν ἀγῶνα τοῦ κηρύγματος, σὺν τοῖς ἄθλοις τῆς ἀσκήσεως εὐτόνως ἀγωνισάμενοι, πυρσοὶ νοητοὶ καταυγάζοντες τὴν Ἐκκλησίαν ἀνεδείχθητε· καὶ τὴν ἀποςολικὴν εἰκόνα τῆς ἀχράντου θεομήτορος εὑρεῖν ἠξιώθητε, θεοκινήτῳ ὁδηγίᾳ Εὐφροσύνης τῆς πανευφήμου. Καὶ νῦν ἐν οὐρανοῖς, τῶν ἐσόπτρων λυθέντων μακάριοι, τῷ φωτὶ τῆς ὑπερθέου Τριάδος, ἐγγύτερον καταλάμπεσθε· ἡμῖν δὲ τὰ πανίερα τῶν ψυχῶν ὑμῶν κατελίπατε σκήνη, ποταμοὺς ἰάσεων τοῖς χρῄζουσι βλύζοντα, καὶ χάριν εὐλογίας. Ἀλλὰ μέμνησθε καὶ ἡμῶν ὅσιοι πρὸς Κύριον, ἱλασμὸν ἡμῖν αἰτούμενοι, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ἦχος πλ. ά.

Ποίημα τοῦ ἁγιωτάτου Γερμανοῦ Πατριάρχου Κωνςαντινουπόλεως.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων· προκύψασα γὰρ ἄνωθεν ἡ παντάνασσα μητροπάρθενος, ταῖς εὐλογίαις καταςέφει τοὺς τιμῶντας αὐτήν.

Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν βασιλίδα κροτείτωσαν ἐν ὕμνοις, βασιλέα τέξασαν, τοὺς θανάτῳ κρατουμένους πρὶν, ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ διδάσκαλοι, τὴν τοῦ καλοῦ ποιμένος ὑπέραγνον μητέρα συνελθόντες εὐφημήσωμεν, τὴν λυχνίαν τὴν χρυσαυγῆ, τὴν φωτοφόρον νεφέλην, τὴν τῶν οὐρανῶν πλατυτέραν, τὴν ἔμψυχόν τε κιβωτὸν, τὸν πυρίμορφον τοῦ δεσπότου θρόνον, τὴν μανναδόχον χρυσέαν ϛάμνον, τὴν κεκλεισμένην τοῦ λόγου πύλην, τὴν πάντων χριϛιανῶν τὸ καταφύγιον· ᾄσμασι θεηγόροις ἐγκωμιάζοντες, οὕτως εἴπωμεν, παλάτιον τοῦ λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς τῆς οὐρανῶν βασιλείας, οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν, τὰ τυπικὰ, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἀποϛόλου, ᾠδὴ γ΄. καὶ τῶν Ἁγίων, ᾠδὴ ϛ΄. Ὁ Ἀπόϛολος καὶ τὸ Εὐαγγέλιον τοῦ Ἀποϛόλου καὶ τῶν Ὁσίων.

Εἰς τὴν τράπεζαν ἀναγινώσκεται ὁ βίος τοῦ Ἀποϛόλου Λουκᾶ· καὶ γίνεται παράκλησις τοῖς ἀδελφοῖς.

ΤΕΛΟΣ, ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ.

ΚΑΤΑΛΟΓΟΣ

ΤΩΝ ΣΥΝΔΡΟΜΗΤΩΝ.

Οἱ ἐκ τῆς ἰδίας ἱερᾶς Μονῆς τοῦ Μεγάλου Σπηλαίου σεβασμιώτατοι πατέρες.

Τὸ κοινὸν τῆς Μονῆς 10
Ὁ καθηγούμενος Ἱερόθεος 3
Ὁ προηγ. Παρθένιος Ἀρχιμανδρ. 1
Ὁ προηγούμενος Παφνούτιος καὶ Καλλιόπιος αὐτάδελφοι 4
Ὁ προηγούμενος Δαμασκηνός 1
Ὁ προηγ. Γερμανὸς Περλέγκας 10
Ὁ προηγούμενος Γεράσιμος 2
Χρύσανθος ἐκ Σαρανταπήχου 1
Νεκτάριος Καρυώτης 2
Ἀθανάσιος ἐκ Φενεοῦ 1
Δωρόθεος ἐκ Ποταμιᾶς 1
Ἰωνᾶς Κανελόπουλος 1
Διονύσιος Διαμαντάκος 1
Ἰωνᾶς Μακρογένης 1
Κοσμᾶς Πανάγου ἐξ Ἀνδρούσης καὶ κληρικὸς ὑπότροφος 1
Ναθαναὴλ Γολφῖνος ἱερομόναχος 3
Δαμιανὸς ἐκ Βούρας 1
Σαμουὴλ Δημόπουλος 2
Ἀρσένιος καὶ Συνέσιος αὐτάδελφοι 2
Πολύκαρπος Ζατουνίτης 3
Γρηγόριος ἐκ Σουδενῶν 3
Νικηφόρος καὶ Ἀνανίας αὐτάδελφ. 2
Στέφανος Ψύλος 1
Μεθόδιος ἐκ Βελῶν 1
Δαμασκηνὸς καὶ Γεράσιμος ἐκ Κλαπατζούνας 2
Σαμουὴλ Κατζαρὸς 1
Γεννάδιος 1
Παφνούτιος Καρυώτης 1
Σωφρόνιος ἐκ Ζαρούχλας 1
Βησσαρίων ἐκ Βούρας 1
Ἀνανίας ἐκ Βούρας 1
Διονύσιος ἐκ Βούρας 1
Διονύσιος Κωνσταντίνου ἐκ Βούρας 1
Βενέδικτος ἐκ Βούρας 1
Γρηγόριος Περλέγκας 1
Βαρθολομαῖος 2
Γρηγόριος Σμυρναῖος 2
Παγκράτιος Κανελόπουλος 1
Ἰωαννίκιος ἐκ Βούρας 1
Στέφανος ἐκ Βούρας 1
Γερμανὸς ἐκ Βούρας 1
Φιλόθεος ἐκ Σουβάρδου 1
Γερβάσιος 1
Γαβριὴλ ἐκ Ζάτουνας 1
Γαβριὴλ ἐκ Ζάτουνας 1
Φιλόθεος Ἀδαμόπουλος 1
Γαβριὴλ ἐκ Τρικκάλων 1
Μελέτιος Νικολάου 1
Ἡσαΐας ἐκ Περιστέρας 1
Καλλίνικος Ἱερομόναχος 1
Πορφύριος Ἱερομόναχος 1
Ἱερεμίας Ἱερομόναχος 1
Ἀμφιλόχιος μοναχὸς 1
Ἀνανίας Γολφῖνος 1
Εὐθύμιος μοναχὸς 1
Κυπριανὸς ἐκ Τριπόλεως 1
Παρθένιος ἐκ Ζαρούχλης 1
Δανιὴλ Τζαγανᾶς 1
Χρύσανθος ἐκ Δουμενῶν 1
Ἄνθιμος ἱεροδιάκονος ἐκ Τρεσένης 1
Νικόδημος Ἀθανασίου ἱερομ. 1
Γρηγόριος Καρζάκας 2

Οἱ ἐκ Καλαβρύτων.

Ὁ Ἐπίσκοπος Κυναίθης Βαρθολομαῖος 1
Γ. Λεβέντης διοικητής 1
Δ. Νικολόπουλος δήμαρχος 1
Νικόλαος Φωτίλας 1
Βικτώρια Σ. Χαραλάμπου 1
Ἀσημάκης Παπαδόπουλος 1
Μιχαὴλ Κούκας 1
Ι. Σιγάλας 1
Κ. Πολύδωρος 1
Κ. Σακελλαρόπουλος 1
Κ. Δεληγιάννης 1
Π. Χρυσανθακίδης 1
Χριστόδουλος Μελετόπουλος 1
Γ. Η. Κορδῆς 1
Βλακίας Οἰκονομόπουλ. δήμαρχ. 1
Ἀγγελικὴ Δ. Ζαήμη 1
Σμαράγδω Ι. Μελετοπούλου 1
Θεοδόσιος Σακελλαρίου 1
Ἀλέξιος Γραμματικόπουλος 1
Ζαχαρίας Ἱεροδιάκονος 1
Ἀνδρέας Ἰωάννου ἐκ Ῥογῶν 1
Νικόλαος Ι. Ζαήμης 1

Οἱ ἐν τῇ ἐπαρχίᾳ Καλαβρύτων.

Ἡ Μονὴ τοῦ ἁγίου Ἀθανασίου 1
Ὁ καθηγούμ. Δαμιανὸς ἱερομ. 1

Κέρτεζη.

Θ. Α. Θεοφανόπουλος 1
Ν. Διαμαντόπουλος 1

Δροβολοβόν.

Ἀνδρέας Βέῤῥοιας 1
Α. Παρασκευόπουλος 1
Σ. Σακελλαρίου 1

Σωποτόν.

Κ. Τζαρτολόπουλος δήμαρχος Ἀροανίας 1

Ι. Σακελλαριάδης 1
Ι. Ν. Γιαννακόπουλος εἰρηνοδίκης Ἀροανίας 1
Σ. Π. Φάσος δημοτικὸς πάρεδρ. 1
Β. Λεοντόπουλος 1
Ε. Γεωργίου ἐξ Ἀργυροκάστρου 1

Οἱ ἐκ τῆς Μονῆς τῆς ἁγίας Λαύρας.

Ὁ προηγ. Ἀκάκιος ἐκ Κούτελης 1
Ὁ προηγ. Κυπριανὸς ἐκ Στρέζοβας 1
Ὁ καθηγ. Καλλίνικος ἐκ Σόλου 1
Ὁ προηγ. Ἀρσένιος ἐκ Τζιβλοῦ 1
Σωφρόνιος Διαμαντακόπουλος 1
Ἀθανάσιος ἱερ. ἐκ Βυσοκᾶς 1
Δανιὴλ ἱερομ. ἐκ Κρινοφύτων 1
Ἰάκωβος ἱερομ. ἐκ Σαβανῶν. 1
Σαμουὴλ Κωνσταντίνου ἐκ Σόλου 1
Βενέδικτος Οἰκονόμου ἐκ Σόλου 1
Μελέτιος Δαψιάδης 1

Οἱ ἐν Κερπινῇ.

Λ. Γ. Πατζιάδους 1
Δ. Κ. Ὀρεινὸς 1
Κ. Παπᾶ Σταύρου 1
Γ. Παπᾶ Ζαφειρόπουλος 1
Ζ. Παπᾶ Ζαφειρόπουλος 1
Α. Λιάρης 1
Π. Γ. Μέγαρης 1

Οἱ ἐν Αἰγίῳ.

Δ. Μελετόπουλος δήμαρχος 1
Ἀναστάσιος Λόντος 1
Σ. Μισηνέζης 1
Δ. Ὀρεινὸς 1

Οἱ ἐκ τῆς Μονῆς τῶν Ταξιαρχῶν.

Ὁ προηγούμενος Παφνούτιος 1
Τὸ κοινὸν τῆς Μονῆς 1
Ἀθανάσιος ἱερομ. ἐκ Βελῶν 1
Δανιὴλ Πετρόπουλος 1
Εὐλόγιος Γεωργίου 1
Ἀνανίας Κάβουρας 1
Κάλλιστος ἱερομ. 1
Ἀμβρόσιος ἐκ Βιλιβήνας 1
Δοσίθεος ἱερομ. 1
Νίκανδρος καὶ Στέφανος Ἀργυριάδαι 1
Βενέδικτος ἱερομ. Κυζίλης 1
Κυπριανὸς ἱερομ. καὶ σκευοφύλαξ 1
Δανιὴλ Γουμπούρας 1
Γερμανὸς Γιανόπουλος 1
Γαβριὴλ ἱερομ. Βασιλειάδης 1

Οἱ ἐν Διακοπτῷ.

Σ. Γεωργίου δήμαρχος 1
Π. Πολιτόπουλος 1
Χ. Πολυδωρόπουλος 1
Κ. Γκολφινόπουλος 1
Κωνσταντῖνος ἱερεὺς 1
Δημήτριος ἱερεὺς 1
Α. Ἀσημακόπουλος 1
Σ. Νάμπουρης 1
Ἰωάννης ἱερεὺς 1
Χ. Θεοφυλάκτου 1
Π. Α. Ἐλευρίτης 1
Α. Μελισσαρόπουλος 1
Ι. Ε. Σωτηρόπουλος 1

Οἱ ἐν Ποταμιαῖς.

Ν. Σακουμάνος δήμαρχος 1
Ι. Λινάρδου 1
Ν. Γεωργίου 1
Σ. Λινάρδου 1
Β. Σακαλίδης Σουδενίτης 1
Π. Πολιτόπουλος 1
Α. Λύγδας 1
Ἀγγελῆς Παπαδόπουλος 1
Σ. Ῥιγόπουλος 1

Οἱ ἐκ Τζιβλοῦ.

Γεώργιος ἱερεὺς καὶ οἰκονόμος 1
Γ. Νταγρὲς 1
Γ. Ἀθανασίου 1
Γ. Ἐμμανουὴλ 1
Α. Γιαννακόπουλος 1
Α. Γολέμης 1

Οἱ ἐκ τοῦ δήμου Νωνάκριδος.

Α. Κανελόπουλος δήμαρχος 1
Σ. Χ. Σολιώτης 1
Χ. Ν. Σολιώτου 1
Σ. Ἀναγνωστόπουλος 1
Γρηγόριος πνευματικὸς 1
Δ. ἱερεὺς Φιλέρης 1
Χ. Ἀργυριάδης 1
Α. Προεστόπουλος 1
Π. Προεστόπουλος 1
Ἀργύριος καὶ Κωνσταντῖνος αὐτάδελφοι 1
Σ. Πατζιάδης 1
Παρθένιος πνευματικὸς 1
Ζαχαρίας καὶ Ἰωάννης αὐτάδελφ. 1
Νικηφόρος Παμπούκης 1
Χ. Παμπούκης 1

Οἱ ἐκ Βελᾶς.

Πολυχρόνης Κορίλης 1
Κ. Γιανούλης 1
Ἀργύρης ἱερεὺς 1
Γ. Μαργώσης 1
Κ. Σπανὸς 1
Π. Ἀκρατόπουλος 1
Ν. Ῥαυτόπουλος 1
Ἀσημάκης Διαμαντόπουλος 1
Π. Μαραγκόπουλος 1
Ι. Ἀσημακόπουλος 1
Π. Καρβελᾶς 1
Σ. Γεωργαντόπουλος 1
Π. Ἀσημακόπουλος 1
Ι. Διαμαντόπουλος 1
Ι. Κουρόπουλος 1
Α. Σπηλιωτόπουλος 1
Χ. Γεωργαντόπουλος 1
Ι. Σωτηρόπουλος 1
Ν. Σταυρόπουλος 1
Ι. Βασιλακόπουλος 1
Π. Σπηλιωτοκόπουλος 1
Α. Σπηλιωτάκης 1

Οἱ ἐκ Βερσοβᾶς.

Α. Χρυσανθόπουλος δήμαρχος 1
Π. Παλαιολογόπουλος 1
Σ. Οἰκονομόπουλος 1
Α. Μαρίνης 1
Σ. Οἰκονόμου 1
Α. Γκίκας 1
Π. Μανιάτης 1

Π. Τζαπικούνης 1
Ε. Ἀποστολόπουλος 1
Ν. Οἰκονομόπουλος 1
Θ. Κυριαζόπουλος 1
Α. Θεοδώρου 1
Μ. Παπᾶ Κωνσταντίνου 1
Κωνσταντῖνος ἱερεὺς 1
Α. Ἀποστολόπουλος 1
Μ. Σταματόπουλος 1
Α. Χρυσανθόπουλος 1
Ν. Χρυσανθόπουλος 1

Οἱ ἐκ Λιβαρζίου.

Δ. Ἰνταρὲς 1
Π. Πλιάκας δήμαρχος 1
Πάνος παπᾶ Κυριακόπουλος 1
Α. Ξερομεριτόπουλος 1
Ἀναγ. Οἰκονομόπουλος 1
Δ. Ν. Γιαννακόπουλος 1
Εὐστάθιος ἱερεὺς 1

Οἱ ἐν Π. Πάτραις.

Ὁ ἅγιος Ἀχαΐας Μελέτιος 1
Θεόφιλος Πρωτοσύγγελος 1
Δαμασκηνὸς Ἀρχιδιάκονος 1
Κ. Ἀργυρόπουλος 1
Γ. Ἀκρατόπουλος 1

Οἱ ἐκ τοῦ ὁσίου Λουκᾶ πατέρες.

Ἰωαννίκιος καὶ Γερβάσιος 1

Ἡ Μονὴ Μακελαρίας.

Παρθένιος ἱερομ. Ἀλεξόπουλος 1
Ἰωαννίκιος ἱερομ. Καπογεωργόπ. 1

Ἡ Μονὴ Ὀμπλοῦ.

Γρηγόριος καθηγούμενος 1
Δαμιανὸς ἱερομόναχος 1
Γερμανὸς ἱερομόναχος 1

Ἡ Μονὴ τοῦ Παμπιότη.

Ὁ καθηγ. Σεραφεὶμ Ἀλλημπράτης 1
Ναθαναὴλ ἱερομ. 1
Δαβὶδ μοναχὸς Γιαννακόπουλος 2
Χρύσανθος ἱερεὺς 1

Χωρίον Χαλαντρίτζα.

Μ. Παπαζαφειρόπουλος εἰρηνοδ. 1
Ὁ δήμαρχος Φερῶν 1
Γεώργιος ἱερεὺς 1
Σωτήριος ἱερεὺς 1
Ἀναστάσιος ἱερεὺς 1
Ν. Παπαθανασίου 1

Ἡ Μονὴ τῶν ἁγίων Πάντων.

Καλλίνικος ἱερομ. σύμβουλος 1

Ἡ Μονὴ Φιλοκάλι.

Χρύσανθος καθηγούμενος 1

Πέρα μετόχιον Μ. Σπηλαίου.

Πανάγος Κωστόπουλος 1
Γεώργιος ἱερεὺς Χριστοδουλίδης 1
Σ. Ἀθανασιάδης 1
Α. Ἀγγελιάδης 1

Ἀλητζελεπὶ Μ. Σπηλαίου.

Α. ἱερεὺς Ἀντρουτζόπουλος 1
Π. Χ. Ἀντρουτζόπουλςς 1

Κωμόπολις Λεχαινῶν.

Δ. Κλοκανᾶς εἰρηνοδίκης 1
Μυρτουντίας 1
Α. Κουρτέσης δήμαρχος 1
Α. Α. Κανελλόπουλος 1
Δ. Σμυρναῖος ἐνωμοτάρχης 1
Καλλιπολ. Ἐμμανουὴλ Χ. Ν. 1
Κ. Τέντε 1
Γ. Σγατζούρης 1
Δ. Γιαννόπουλος 1
Σ. ἱερεὺς Καρκαβίτζας 1
Δ. Ναζλόπουλος 1
Α. Καρκαβίτζας ἀστυνόμος 1
Ι. Οἰκονομόπουλος 1
Γιάννος Τζάπος 1
Α. Κουτρουλόπουλος 1
Πανάγος Θεοφίλης 1
Γ. Νικολουτζόπουλος 1
Αινάρδος Πιτζούλας 1

Ν. Ι. Παναγόπουλος 1
Νεόφυτος μοναχὸς ἡγούμενος ἁγ. Ἀθανασίου ἐκ Λεχαινῶν 1
Δ. Α. Σέλληνας 1
Γ. Μπαρπερόπουλος 1
Π. Καψοτόπουλος 1
Α. Τζερνίκης 1
Δ. Δημάκης 1
Σ. Μαστροβασίλης 1
Γιαννογεώργης Ζάρκας 1

Ἡ Μονὴ Βλαχέρνας.

Γαβριὴλ Μουσικὸς Καθηγ. 1

Δερβίσ-Τζελεπῆ.

Α. Ματζούκας δήμαρχος 1
Σ. Σκλιβανίτης 1
Θ. Φάσος 1
Ν. Εὐθυμιάδης 1
Κ. Ι. Τζεκούρας 1
Α. Νεράγκαθος 1
Α. Γιοτόπουλος 1
Ἀναγνώστης Π. Ι. 1
Π. Κουτζουβόγαμβρος 1
Α. Νταλιάνης 1
Ἀθ. Νταλιάνης 1
Γ. Π. Σαμαρόπουλος 1
Θάνος Δημόπουλος 1
Γ. Παλάσης 1
Π. Κριθαρᾶς 1
Χ. Κριθαρᾶς 1
Γ. Σπηλιοτόπουλος 1
Σ. Βαγενᾶς Σταυρόπουλος 1
Ν. Δ. Καφαντόγιαννος 1
Κ. Πολυχρονόπουλος 1
Γ. Κουρουπᾶς 1

Χωρίον Σαμπύραγα.

Ἰωάννης ἱερεὺς Παπαδόπουλος 1
Α. Γ. Οἰκονόμου 1
Δανιὴλ Πανᾶς Κεφαλὴν 1

Ἀντραβίδα.

Γ. Καραθανάση 1
Α. Καραθανάση 1

Κυριακ. ἱερεὺς Χριστόπουλος	1
Γ. Α. Ποβελέτης	1
Χ. ἱερεὺς Ἀγγελόπουλος	1
Π. ἱερεὺς Καναβόπουλος	1
Πανταζῆς Καλόγερος	1
Στεφανὴς Τζουραπᾶς.	1
Π. Λ. Φοσκαρινόπουλος	1
Δ. Π. Ἀνδρέου	1
Α. Π. Δρακόπουλος	1
Χρῆστος Παῦλος	1
Σ. Γιότης	1
Χρῆστος Κάντζαρης	1
Θ. Γεροντόπουλος	1
Ἀβράμης Δημητρίου	1
Π. Ἀντωνόπουλος	1
Φώτης Δημητρίου	1
Π. Καραθανάσης	1
Ι. Κωστόπουλος	1
Γ. Τζηλημήνκρας	1
Α. Ι. Καπατζούλιας	1
Κ. Παπαδημητρόπουλος	1
Α. Παπαπαναγόπουλος	1
Α. Μιχαλόπουλος	1
Δ. Νικολουτζόπουλος	1
Γ. ἱερεὺς Φωτόπουλος	1
Γ. Παπαανδριόπουλος	1

Κωμόπολις Γλαρέντζα.

Δ. Σοῦλες Τζιμὰν Σαρδέλας	1
Σ. Παπαθανασόπουλος	1
Ι. Καπόνης	1

Χωρίον Καβάσιλα.

Χ. ἱερεὺς Χριστοφόρου	1

Οἱ ἐν Γαστούνῃ.

Κ. Δανιὴλ ἀρχιμανδρίτης	2
Ν. Ι. Σισίνης	2
Ἀδὰμ Κοκκίνης	1
Διονύσιος Π. Ι.	1
Ἰωακεὶμ Μιχαὴλ	1

Ἡ Μονὴ Σκαφιδιά.

Γρηγόριος καθηγούμενος	1

Χωρίον Μερτία.

Π. ἱερεὺς Σακελλίων	1
Α. Σταθακόπουλος	1
Α. παπᾶ Ἀντωνόπουλος	1
Δ. ἱερεὺς Παναγιωτόπουλος	1
Πολυζώης Σκούρας	1

Βούναγρον.

Θεόδωρος ἱερεὺς Σακελλάριος	1
Δ. ἱερεὺς παπᾶ Ἀντωνίου	1
Θ. Ἀρβανίτης	1

Χωρίον Κολλύρι.

Δημήτριος ἱερεὺς	1
Θ. Μαρτζελιώτης	1
Π. Θεοδωρόπουλος	1

Οἱ ἐν Πύργῳ.

Α. Οἰκονομίδης διοικ. Ἠλείας	1
Γεώργιος ἱερεὺς καὶ οἰκονόμος	1
Α. Αὐγερινὸς	1
Γ. Πιττακὸς Μιτυληναῖος	1
Χ. Δαραλέξης	1
Δ. Κολοβούρης	1
Ν. Γρατζαλιὰς	1
Π. Σακελλαρίδης	1
Κ. Γκίκας	1
Π. Π. Ἄχολος	1
Ι. Θανασόπουλος	1
Κ. Πατρινὸς	1
Σ. Χ. Στεφανόπουλος	1
Ι. Α. Πασχαλῖνος	1
Ι. Λαγὼς	1
Δ. Ἀποστολίδης	1
Α. Σωτηρόπουλος	1
Β. Κ. Γιαννόπουλος	1
Α. Ζήσιμος ἐκ Παρπάσενα	1
Ν. Στεφανόπουλος	1
Σ. Α. Μανοῦσος	1
Α. Ι. Κρεστενίτης	1
Δ. Μοθωναῖος ἐνοματίας	1
Χ. Διάκος	1
Χαράλ. ἱερεὺς Οἰκονόμου	1
Παρθένιος ἱερομ. Ζακύνθιος	1
Γ. Εὐθυμιόπουλος	1
Π. Ἐμμ. Γιαννόπουλος	1
Διογένης Λεονταρίτης	1
Σ. Συλαδόπουλος δήμαρχος	1
Γ. Μῆτζος	1
Α. ἱερεὺς Λιρὴς	2
Α. ἱερεὺς Μπέτλικας	1
Νεόφυτος ἱερομ. ἐκ Δημητζάνης	1
Γ. Ι. Γαλανόπουλος	1
Δ. ἱερεὺς Διπλάρης	1
Ι. ἱερεὺς Ταυλᾶς	1
Α. Ἀγουρίδης	1
Ἀναγνώστης Α. ἐν Βουνέργῳ	1
Ι. Ε. Σπηλιόπουλος	1
Ν. Χρονόπουλος	1
Ἀθ. Οἰκονόμου	1
Παῦλος Ζακύνθιος	1
Γ. Κιλίκης	1

Ἡ Μονὴ Φραγγοπήδημα.

Ἀγάπιος προηγούμενος	1

Οἱ ἐκ τῆς κωμοπόλεως Δίβρης.

Α. Πολυζωόπουλος	1
Κ. Ἀθανασόπουλος	1
Α. Ἀνδρικόπουλος	1
Ι. Γκάβες	1
Π. Παναγόπουλος	1
Ι. Χριστόπουλος	1
Δ. Σταματόπουλος	1
Δ. Καλαντζόπουλος	1
Χ. Σακελλαρίου	1
Γ. Βέργος	1
Ι. Ἀθανασόπουλος	1
Ι. Παναγούλης	1
Θ. Γουτόπουλος	1
Δ. Παναγούλης	1
Β. Κανελόπουλος	1
Α. Βέργιος	1
Α. Πετραλίας	1
Εὐφροσύνη Α. Βέριου	1
Ι. Κοχηλιάρης	1
Α. Θ. Παπαγεωργόπουλος	1
Π. Παπαπαναγιωτόπουλος	1
Α. Φιλιππόπουλος	1
Φ. Κωνσταντόπουλος	1
Ι. Νικολόπουλος	1
Α. Μερκούρης	1

Α. Θ. Ι. Τραμπαδόρου 1
Ε. Γ. παπᾶ Βασιλείου 1

Οἱ ἐκ Τριπόλεως·

Ὁ ἅγιος Μαντινείας Διονύσιος 1
Ὁ διοικητὴς Κ. Πεταλᾶς 1
Δ. Χοΐδᾶ 1
Ι. Μ. Πετρινὸς δήμαρχος 1
Χ. Ζέγκελης 1
Κ. Παχαρίας 1
Π. Θεοδωρόπουλος 1
Δ. Πετρόπουλος 1
Γ. Πανόπουλος 1
Θ. Πετρινὸς 1
Α. Π. Σαρδέλης 1
Φ. Χρυσανθόπουλος 1
Π. Κόκκαλης 1
Χ. Σκορδούλης 1
Δ. Α. Κολόκας 1
Α. Θεοδωρόπουλος 1
Κ. Πελοπίδας 1
Ι. Ζαβός 1
Ι. Βενδραμᾶς 1
Χ. Νικολαΐδης 1
Ὁ πρωτοσύγγελος Διογενίδης 1
Προκόπιος Οἰκονομίδης ἀρχιδιάκ. 1
Χ. μουσικὸς Κωνσταντίνου 1
Ἠλίας ἱερεὺς ἐκ Καντρέβας 1
Α. Κωνσταντόπουλος 1
Α. Ἀγγελετόπουλος 1
Λ. Κωνσταντόπουλος 1
Β. Ἀγγελόπουλος Καλτεζιώτης 1
Α. Κωνσταντόπουλος 1

Μαγούλιανα.

Δ. Παπαγιαννακόπουλος 1
Α. Παπαγιαννακόπουλος 1
Κωνσταντῖνος ἱερεὺς Μιχόπουλος 1
Κωνσταντῖνος ἱερεὺς Οἰκονόμος 1
Κ. Γιαβῆς α
Π. Μπακαλόπουλος 1
Α. Ζιουβελόπουλος 1
Ν. Παπαγιαννακόπουλος 1
Π. Γ. Μαριόπουλος 1
Γ. Καλομηρόπουλος 1
Ν. Σπυρόπουλος ἐκ Μυλωτοῦ 1

Λεοντάρι.

Ι. Π. Πετρόπουλος ἐκ Ζατούνης 1
Α. Γεωργίου Λεοντόρι 1
Σακελλάριος ἀπὸ Κασίμη 1
Παναγιώτης ἱερεὺς Ῥωμανὸς 1
Οἰκονόμος Λεονταρίου 1
Α. Μπαλασόπουλος 1
Α. Εὐσταθίου 1
Π. Μανιάτης 1
Α. Παρασκευόπουλος 1
Ν. Γεωργακόπουλος 1
Ἰωάννης ἱερεὺς Μητρόπουλος 1
Α. Ζάμας ἐκ Ῥουσβάναγα 1
Δ. Σακελλαριάδης Ἴσκρι 1
Α. Λαμπρόπουλος Ἴσκρι 1
Νικόλαος ἱερεὺς Καρούμπαλι 1
Νικήτας Θεοφανόπουλος 1
Α. Γιαννόπουλος 1
Ι. Καπούτζης 1

Οἱ ἐκ τοῦ νησίου Μεσσηνίας.

Ὁ Ἐπίσκοπος Μεσσήνης Ἰωσήφ 1
Ἠλίας ἱερεὺς καὶ οἰκονόμος 1
Εὐστάθιος Πρωτοπαπᾶς. 1
Αναγνώστης Βρετός 1
Δ. Ἀντωνόπουλος 1
Μ. Ζαλμᾶς 1
Π. Ζαλμᾶς 1
Π. Μενιδίτσας 1
Καλιανέσης 1
Ι. Γ. Κοντρόπουλος 1
Ἠλίας ἱερεὺς καὶ οἰκονόμος Στυλιανόπουλος 1
Παναγιώτης ἱερεὺς καὶ οἰκονόμος ἐκ Σκάλας 1
Δημήτριος ἱερεὺς καὶ οἰκονόμος Ἀϊτνίου 1
Παναγιώτης ἱερευς Στασινόπουλος 1
Ἀθανάσιος ἱερεὺς Δημητρόπουλ. 1

Ἐκ τῆς Μονῆς Βουλκάνων.

Ὁ καθηγούμενος Γαβριὴλ 1
Καλλίστρατος ἱερομ. Σιναΐτης 1

Ἐκ τῶν πλησιῶν Χωρίων.

Πολυζώης ἱερεὺς Κοτομάνος 1
Α. Κανελόπουλος 1
Γ. Κοτομάνος 1
Ἀναγ. παπᾶ Βασιλόπουλος 1
Ἀλέξανδρος ἱερεὺς 1
Παναγιώτης ἱερεὺς Οἰκονομόπουλ. 1

Τῶν ἐν Σπάρτῃ Ἐπαρχιῶν.

Μικρὰ Μαντινεία.

Ἀθανάσιος ἱερεὺς καὶ οἰκονόμος 1
Α. Παπαδέας 1
Κ. Κωνσταντινέας 1
Χ. Κολοκοτρωνέας 1
Γαλάνης Σαραντέας 1
Α. Κολομπακέας 1
Ι. Κολομπακέας 1
Ι. Κοτζονέας 1

Μεγάλη Μαντινεία.

Ὁ πρώην Ζαρνάτας Γαβριὴλ 1
Α. Π. Σταυρέας 1
Ι. Δρακουλέας 1
Γ. Νικητάκης 1
Π. Κορδολάκης 1
Α. Κατζιβαρδᾶς 1
Γ. Σπηνισούρης 1
Π. Σπανέας 1
Θ. Καλογερέας 1
Ι. Νικολέας 2
Δανιὴλ ἱερομ. Δικαιάκης 1
Π. Μιχαλίδης 1

Ντολοί.

Ι. Κετζέας 1
Γ. Κετζέας 1
Β. Μουτζουρίδης 1
Χ. Περδικέας 1
Ι. Παπαδόπουλος 1
Π. Πουλακέας 1
Θ. Σκλαβέας 1
Νικηφόρος ἱερομ. Παυλακέας 1
Ι. Περδικέας 1
Ι. Φτωχούλης 1
Στασινὸς Μιχαλακέας 1
Γ. Μπρουμέας 1
Σπῦρος Γαϊτανάρας 1

Ι. Αὐταβαθέας 1
Ἰγνάτιος ἱερομ. Κουγέας 1
Ι. Μανολάκης 1
Ι. Πετρέας 1
Ι. Τζανετέας 1
Δ. Χαϊδεμενάκης 1
Ι. Πατζαβελέας 1
Δ. Μπογέας 1
Π. Σβολοπέας 1
Β. Καβλετζέας 1
Ν. Κοπρέας 1
Η. Γαϊτανάρος 1
Η. Μερόπουλος 1
Ι. Κουρουμελέα 1
Γ. Κουρουμελέας 1

Μάλτα.

Κωνσταντῖνος ἱερεὺς Σκαρπαλεζέας 1
Ι. Σκαρπαλέζος ἰατρός 1
Ἰωάννης Σκαρπαλέζος 1
. Καραμπατέας ἐκ Γαϊτζῶν 1

Διασύροβα.

Ὁ πρωτοσύγ. Ἀγαθάγγελος 1
Ἄνθιμος ἱερομόναχος 1
Ι. Μωκέας 1
Ἠλίας Βασιλέας 1
Μ. Χριστοδουλέας 1
Γιαννάκης Καρβελέας 1
Η. Ῥαμαδονέας 1
Στασινὸς Μαραβέας 1
Α. Γ. Τζανετέας 1
Τζανέτος Καλογερέας 1
Γ. Γιαννακουρέας 1
Γιαννάκης Καρυδοματέας 1
Ι. Τζαχαγέας 1
Π. Γεωργαντέας 1
Ν. Τζιντέας 1

Καλύβες.

Πετρούλης Ῥουσέας 1
Γ. Κατζιρέας 1
Ν. Βαλαχέας 1
Σ. Ταβουλαρέας 1
Χ. Καστανιοτέας 1
Ν. Κουρκουλῆς 1
Α. Πυργέας 1
Ι. Δημακέας 1
Ἠλίας Πυργέας 1
Πετροῦ Κλάγγενα 1
Παναγιώτενα Κατζίρενα 1

Τζέρια.

Ν. Θεοδωρακέας 1
Θ. Φουκέας 1
Στασινὸς Μελησσαφέας 1
Γ. Λιβανέας 1
Π. Λιβανέας 1
Γ. Θεοδωρακέας 1
Χ. Μαρουδέας 1
Π. Καπουλέας 1
Χ. Κυριακέας 1
Σ. Τζουμπρέας 1
Γ. Ταυουλαρέας 1
Η. Ταυουλαρέας 1
Δ. Μπενιτζελέας 1
Γ. Μπενιτζελέας 1
Α. Λιακέας 1
Π. Σωτηρέας 1
Β. Δημητρέας 1
Α. Πυκέας 1
Α. Παπαδέας 1
Σ. Κουλουμπέας 1
Π. Φουμουρέας 1

Ἀνδρούβιστα.

Ἀντώνιος ἱερεύς 1
Ν. Καροῦνος 1
Π. Μανιατέας 1
Δ. Ἀντωνέας 1
Π. Φασέας 1
Π. Νικολατζέας 1
Χ. Κυριακέας 1
Ν. Κορκονέας 1
Γ. Μανιατέας 1
Δ. Γρηγορέας 1
Ν. Φουντέας 1
Δ. Ζερβέας 1
Μ. Κυριακέας 1
Α. Παπαναστασέας 1
Δ. Φουρμπέας 1

Ξεχῶρι.

Α. Φιλιππίδης 1
Α. Γουνελέας 1
Ν. Καλέργης 1
Β. Δημητρακόπουλος δημοδιδ. 1

Γούρνιτζα.

Ὁ πανοσιολ. Θεοδόσιος διδάσκαλ. 1
Ὁ τοῦ ἁγίου Τάφου πρωτοσύγγελλος Ματθαῖος 1
Ὁ καθηγ. Νικηφόρος Στρατιτζίου 1
Δ. Σπηλιωτέας 1
Εὐστράτιος ἱερεὺς Κωστέας 1
Η. Βενετζανάκος 1
Σ. Καμινέης 1
Α. Σακελλάριος Ἀλευρᾶς 1
Η. Σωτηρέας ἐκ Πετροβουνίου 1

Χωρίον Καρίνια.

Κορνήλιος Β. Μιχαλεάκος 1

Μηλέα κάτω χώρα.

Ὁ πρώην Καρδαμύλης Ἰωαννίκιος 1
Ὁ ἡγούμ. ἁγ. Δημητρ. Νεόφυτος 1
Δ. Νυφάκης Ἀλεπάκης 1
Χ. Κυβέλος 1
Π. Πεγέντης 1
Γ. Σαλοῦφας Νικολακάκος 1
Δ. Πουλάκος 1
Π. Κυβέλος 1
Η. Ξαρχουλάκος 1
Σ. Καπελουζάκος 1
Γ. Κορδαλάκος 1
Π. Καντηρέκης 1
Α. Ντουραχαλάκος 1
Εὐστράτιος Ἀλεπάκος 1
Π. Ντουραχαλάκος 1
Α. Στρατηγάκος 1
Γ. Ξαρχουλάκος 1
Ι. Παπαδάκος Ἀλεπάκος 1
Ι. Χρυσομαλάκος 1
Ι. Πουλάκος 1
Πετρούλης 1
Κ. Νιφάκος 1
Γ. Κυβέλος 1
Γ. Φλαράκος 1
Γ. Μονάκος 1
Γιαννοῦ Γιαννακούρενα 1

Ξανθιάνικα.

Α. Ξαρχάκος 1
Γ. Ξανθούλης 1
Ἄνθιμος Λεπάκης 1
Γ. Καστανάκος ἰατρός 1
Δ. Παπαδάκος 1
Ι. Σαλαμπούρδας 1
Σ. Τζεφολέας 1
Δ. Παραβάκος 1
Η. Τάρταρης 1
Ι. Ἀντωνάκος 1
Α. Τζεφολάκος Παναγιωτάκος 1
Ν. Κατζουλάκος 1
Δ. Δημουλέας 1

Καστάνια Μεγάλη.

Ὁ πρωτοσύγ. Σωφρόνιος Μπουτέας 1
Παρθένιος Κουτρέας 1
Παρθένιος Ξαρχάκης 1
Π. Κοντογιαννέας 1
Γ. Μαρινέας 1
Γ. Τζιριπηνέας 1
Α. Νιαρέας 1
Δ. Θανασέας 1
Α. Ντουράκης 1

Νεοχῶρι

Α. Μπελαμπανόπουλος δημοδιδ. 1
Δ. Κατζιγιάννης 1
Ι. Κουρκουλέας 1
Γ. Χιουρέας 1
Μ. Τραγοματέας 1
Η. Φαλέρης 1
Πανοσιώτατος Γεράσιμος 1
Ν. Μπαγλαμπέας 1
Α. Ἀγκέας 1
Ι. Τζιλιγονέας 1

Ἀπάνω Ῥέγκλεια.

Π. Κατζουλέας 1
Γ. Τζαβουλέας 1
Γιαννοῦ Μιχαλόνυμφη 1

Λαγκάδα.

Γιακουμῆς Μπαχαμβωλέας 1

Σ. Νικολακέας 1
Β. Ἀθανασέας 1

Κουτίφαρι

Ὁ πανοσιώτατ. Γρηγόριος Ἀντωνίου 1
Π. Πηγέας 1
Α. Γεννηματᾶς 1
Τζανετάκης Λευῆς 1
Α. Δημάγγελος 1
Πιέρος Καλαγκᾶς 1
Ψαμίλος Κολοφάκος 1
Π. Βαρδαλέας 1
Γ. Κουτρουμάνης 1
Παπᾶ Ἰωάννης Σωτηριάδης 1

Μπολιάκα.

Π. Παναγάκης 1
Β. Ἀρκουδέας 1
Η. Κυριακούλης Ἀνδρουβισιανέας 1

Οἴτυλον.

Χ. Ἰωαννίδης ἐπαρχ. δημοδιδ. 1
Παρθένιος ἱερομ. Σαξιονάκης 1
Γ. Σαξιόνης 1
Γ. Μουσουδάκος 1

Ἀρεούπολις.

Δημητράκης Πηκουλάκης 1
Στέφανος Πηκουλάκης 1
Ἀθανάσιος Ῥέμπος 1
Χ. Λοντοτσακίρας ἐκ Σοποτῶν 1

Ἄλικα.

Π. Ἀναγνωστάκος 1
Γ. Μουρκογιαννάκος 1
Ἱερόθεος ἡγούμ. Παναγ. Κυπαρίσου 1
Π. Παναγιωτάκος 1

Τζουκαλιά.

Λεόντιος Μπατζάκος 1
Δ. Νομάκος 1

Μπουλαρίους.

Ὁ πνευματικὸς Φραγγογιάννης 1
Π. Λυράκος 1
Μ. Κουτίβελος 1
Ν. Γεωργουλάκος 1
Παπᾶ Κωνσταντῆς Λυκουρέζος 1
Ι. Χαντζάκος 1
Ν. Τσατσαροῦνος 1
Παναγιώτης Τσατσαροῦνος 1
Πέτρος Τσατσαροῦνος 1

Λιοντάκι.

Σταυρινὸς Παναγιωτάκος 1

Λάγια.

Ὁ πανιερώτ. Μακάριος Λάγιας 1
Α. Πετρουνάκος 1
Ν. Ντεκουλάκος 1
Ὁ εἰς τοὺς Πιοντάτας πνευματικ. 1
Π. Κωστάκος 1
Ι. Καλογερογιάννης 1

Χάρακας.

Γ. Γρηγορακόγκονας λοχαγός 1
Μ. Γρηγοράκης 1

Δημαρίστηκα.

Γ. Μελάκος 1
Γ. Σχαλκογιαννάκος 1

Κοῦνος.

Λογοθέτης Ταγαρούλιας 1
Κωνσταντῆς Κατζαρός 1
Γ. Ἀνδρουτσάκος ἀπὸ Βάθια 1

Βάμβακα.

Π. Νικολινάκος 1
Ὁ υἱὸς αὐτοῦ Νικόλαος 1
Π. Βουτικλάρης 1

Πύργος Σκληροδέτης.

Η. Σκλαβουνόγαμβρος 1
Σκλαβοῦνος Σκλαβουνάκος 1

Γύθειον καὶ Μαυροβοῦνι.

Ὁ Ἐπίσκοπος Κύριλλος 3
Δημήτριος ἱερεὺς Σκαλομιχάλης 1
Μ. Μπελιντσάκος 1
Δ. Λαζαράκος 1
Α. Μπουγουναρᾶς 1
Λ. Βασιλάκος 1
Θεόδωρος παπᾶ Ἀντωνίου 1
Γ. Μπουζουναρᾶς 1
Ι. Σκορδάκος 1
Πιέρος Δασκαλάκος 1
Η. Πολυχρονάκος 1
Π. Ἀλμπανάκος 1
Ι. Λιαράκος 1
Π. Κορφιάτης 1
Ι. Τσατσόπουλος 1
Η. Νεοφώτιστος 1
Μ. Μπογιαντζῆς 1
Π. Νικολάου Λιναρᾶς 1
Π. Καραβίας δημοδιδ. 1
Ν. Παπούλας 1
Σ. Φωτόπουλος 1
Δ. Σαβάκης 1
Δ. Καρατσᾶς 1
Α. Πολυχρονάκος 1
Γ. Μανολάκος 1
Π. Πιέρου Γρηγοράκος 1
Π. Βασιλείου Καλογεράκος 1
Ζαφείρης Ζαφειρόπουλος 1
Πιέρος Τζανέτου Γρηγοράκης 1
Γ. Νικολάου Περάκης 1
Ἀλέξανδρος Βελόνης 1
Ν. Γιαννακάκος 1
Α. Λαγουδάκος 1
Δ. Γιακουμόπουλος 1
Ἐμ. Χρυσοχόος Κρής 1
Ν. Μάνες 1
Τσόρτσης Ματσάκος 1
Μιχαὴλ Ἀργυράκος ἱερεύς 1
Α. Ξαρχάκος Γληγοράκος 1
Θ. Πολυχρονάκος 1
Δ. Παναγιωταράκος 1
Π. Δημητρίου Κοφινάκος 1
Γ. Ντουργουτάκος 1
Π. Κοσονάκος 1
Δ. Καπετανάκος 1
Θ. Σταυρογιάννης 1
Θ. Καπετανάκος 1
Θ. Λαγουδάκος 1
Σ. Τζαφαραδάκος 1
Δημητροῦ Κούσκενα 1
Μ. Φιλιππάκος 1
Γρηγόριος ἱερομόναχος 1
Χρῆστος Μαβραϊδῆς 1

Βαχός.

Δημήτριος ἱερεὺς καὶ οἰκονόμος 1
Νικόλαος ἱερεὺς Οἰκονομόπουλος 1
Β. Φραγκάκος 1

Καρυούπολις.

Μελέτιος Ἱερομόναχος 1
Ἀντώνιος ἱερεὺς οἰκονόμος 1

Ἀγερανός.

Πέτρος Ξυνταράκος 1
Παπᾶ Δῆμος πνευματικός 1

Κοτάκια.

Ὁ ἡγούμ. ἁγ. Γεωργίου Κύριλλος 2
Δανιὴλ ἱερομ. Κυδωνιεύς 1
Ἠλίας Ξανθάκος ἀνθυπολοχαγὸς 1
Γ. Ζερβουλάκος 1
Π. Ξαθάκος 1
Γ. Μενουδάκος 1
Κ. Μανουδάκης 1
Η. Τσανετουλάκης Ἐλευθερολάκης 1
Σ. Ζερβουλάκος 1
Ι. Ἀργυράκος ἐκ Κυθήρων 1

Λύμπαρδον.

Η. Γεωργαράκος 1
Π. Μαρτζίδης 1
Ι. Παυλάκος 1
Παπᾶ Δημήτριος Μαυρομιχάλης 1

Πάνιτσα.

Ἰωάννης ἱερεὺς καὶ οἰκονόμος 1
Δῆμος ἱερεὺς Σταυριανοῦ 1

Μαραθέα.

Θωμᾶς ἱερεὺς Ἡλιοῦ 1
Πέτρος ἱερεὺς Δημητρίου 1
Ἀντώνιος ἱερεὺς Ἀθανασίου 1
Ι. Μιχαὴλ Σαμβακάκης 1
Ν. Χαλουλάκος 1
Δ. Εὐστρατίου ἰατρός 1

Σκηφιάνικα.

Παπᾶ Γεώργιος 1
Διονύσιος ἱερομόναχος 1
Γ. Καράμπελας 1
Π. Κατραμίδης 1
Πιέρος Παπαδόπουλος 1
Γ. Δ. Καραμπελάκος 1
Ι. Κικολάκος 1
Ν. Οἰκονομάκος 1
Γ. Οἰκονομίδης 1
Ι. Καλογεράκος 1
Ε. Κολοβάκος 1
Π. Ξαγριμανάκος 1
Γ. Τζάνες 1
Ν. Μπομπάκος 1

Καστάνιτζα.

Καπετὰν Θωμᾶς Βενετζανάκης 1
Βενετζάνος Καπετανάκος 1
Ν. Καπετανάκος 1
Κ. Φρονιμάκος 1
Γιαννοῦ Χουσιανάκενα 1

Σελεγοῦδι.

Χριςόδουλος ἱερεὺς Μαραβελάκης 1
Γ. Γιαννάκος 1
Σ. Δημητράκος 1
Χ. Χιλάκος 1
Κ. Μαυραϊδάκος 1

Ἅγιος Νικόλαος.

Νικόλαος ἱερεὺς Πουλικάκος 1
Διάκος Μ. Ξαρχάκης 1
Γ. Κ. Βαβούλης 1
Σ. Κ. Ῥοζάκης 1
Α. Οἰκονομόπουλος 1

Κόκκινα Χωριά.

Δ. Π. Ῥογκάκης 1

Παπᾶ Παναγιώτης Κούρακης 1
Α. Δ. Ῥογκάκης 1
Π. Ι. Γρηγοράκος 1
Γ. Ν. Ῥογκάκης 1
Α. Γ. Γρηγοράκης 1
Π. παπᾶ Ἀλεξάνδρου 1
Δ. Γ. Κανελόπουλος 1
Π. Δ. Μανολάκης 1
Κ. Γ. Ἑτερογκάκης 1
Η. Στεφάνου Ῥογκάκης 1
Γ. Κ. Κοτσολάκος 1
Γ. Κουράκης 1
Θ. Ν. Ῥογκάκης 1
Δ. Η. Ῥογκάκης 1
Τζανέτος Ζ. Ῥογκάκης 1
Γ. Σ. Χρηστάκης 1
Η. Γ. Τζανετάκος 1

Μαλτσίνα.

Παπᾶ Παῦλος οἰκονόμος 1
Α. Γραφάκος 1
Α. Μονοβασιοτάκος 1
Α. Γιοργακάκος 1
Α. Ἀναγνωστάκος 1
Π. Σαραντάκος 1

Ἀρχοντικόν.

Παπᾶ Κωνσταντῖνος 1
Γ. Κ. Γρηγοράκος 1
Π. Γρηγοράκος 1
Γ. Γληγοράκος 1
Ι. Γληγοράκος 1
Α. Δ. Λυμπεράκος 2

Οἱ ἐκ τοῦ Μ. ἁγίου Γεωργίου.

Α. Χρηστόπουλος 1
Πέτρος ἱερεὺς Μαρκέλλου 1
Γερμανὸς ἡγούγ. τῆς Μονῆς Βράχου 1

Ἄργος.

Ὁ πρωτοσύγγελος Ἀθανάσιος 1
Παῦλος Δουργέρης 1
Ι. Χιλίπης 1

Κόρινθος.

Ι. Γ. Λάτρης διοικητής 1

Οἱ ἐκ Τρικκάλων.

Σ. Παμπούκης 1
Θ. Ν. Σπανός 1
Κ. Παπαγιαννακόπουλος 1
Σ. Κροκίδας 1
Π. Θεοχαρόπουλος ἐκ Νωνάκριδος 1
Π. Χρυσικόπουλος 1
Α. Γ. Παπαδόπουλος 1
Ι. Κορύδης 1
Α. Παπακωνσταντινόπουλος 1
Π. Νικολάου 1
Γ. Χρυσικόπουλοο 1
Π. Μερτικόπουλος 1
Κ. Ι. Γρουμποῦ 1
Σ. Ζούζουλας 1
Τοῦ ἁγίου Νικολάου 2
Τοῦ ἁγίου Γεωργίου 1
Σ. Σπυρίδωνος Νοταρᾶς 1
Ε. Σ. Δασίου 1
Α. καὶ Γ. Πετρίδαι 1
Γ. Ἰωάννου 1
Σ. Ἰωάννου 1
Ν. Κανελόπουλος 1
Γ. Ἐμμανουὴλ 1
Π. Σταματούλης 1
Δ. Καραβιτόπουλος 1
Π. Γεωργίου 1
Π. Χρύσανθος 1
Π. Στριγόπουλος 1
Ι. Χαρδαλούπας 1
Ι. Βολέτης 1
Ι. Μαντελόπουλος 1
Γ. Κουρκαφόπουλος 1
Σ. Πέπας 1
Γ. Τζαλταρόπουλος 1
Α. Πάγκαλος 1
Α. Παπαδημόπουλος 1
Σ. Στριγόπουλος 1
Δ. Τζαλταρόπουλος 1
Σ. Καλογερόπουλος 1
Π. Λιμπερόπουλος 1
Παπᾶ Ἰωάννης Ἀποστολόπουλος 1
Δ. Χαρδαλούπας 1
Α. Πεπόπουλος 1
Δ. παπᾶ Πάνου 1
Κ. Κλουκινιώτης 1
Ι. Κλουκινιώτης 1
Γ. Μαυροχαγάνης 1

Α. Κλωνής 1
Δ. Ζούζουλας 1
Κ. Παυλίδης 1
Σ. Παπαλεκόπουλος 1
Ι. Καρίδης 1
Α. Δουρδουμόπουλος 1
Η. Σταυρόπουλος 1
Α. Κώνστα 1
Α. Παπαλέκας 1
Ι. Μπρικόπουλος 1
Κ. Παπαδόπουλος 1
Α. Α. Τουρνόπουλος 1
Κ. Χρυσάνθου 1
Β. Σακελλαρίου 1
Γ. Χρυσάνθου 1
Γ. Λεκόπουλος 1
Ναοὺμ Πετροβίκης 1
Χ. Ἀθανασίου 1
Γ. Οἰκονομόπουλος 1
Κ. Μάρκου 1
Α. Φραγγουλόπουλος 1
Π. Φραντζῆς 1
Σ. Ι. Καραβᾶ 1
Κ. Θεοχάρη 1
Ι. Σταυρόπουλος 1
Σ. Δημητρίου 1
Π. Σαγραδόπουλος 1
Ι. Παυλόπουλος 1
Ι. Χρυσικόπουλος 1
Γ. Ἀλεξανδρόπουλος 1
Δ. Νικόπουλος 1
Θ. Μερτικόπουλος 1
Π. Νικολάου 1
Δ. Σιορβανές 1
Α. Παύλου 1
Θ. Κροκίδας 1
Ι. Σκορδόπουλος 1
Π. Μιχαὴλ 1
Θ. Μαστελόπουλος 1
Α. Σαφερόπουλος 1
Ι. Τζιρογιαννόπουλος 1
Σ. Κουμούσης 1

Συκιά.

Γ. Ἀποστολόπουλος 1

Ἐκ τοῦ δήμου Σικυῶνος.

Μούλκι.

Ιωάννης ἱερεὺς Σακελλάριος 1
Κ. Πάνας 1
Σ. Παργανᾶς 1
Ι. Γρηγόρις 1
Ι. Κόλιας 1
Δ. Μεγαρίτης 1
Δ. τῆς Νότενας 1
Δ. Χασιώτης 1
Σ. Κεφαλᾶς 1
Α. Χριστόπουλος ἐξ Ὕδρας 1
Ἰωσὴφ ἱερομόναχος 1
Παναγιώτης ἱερεὺς Γεωργίου 1
Α. Ζούβας 1

Δῆμος Ἀπισίας.

Ἀναγνώστης Πρωτοπαπᾶ 1
Ζαχαρίας Στέριος δήμαρχος 1
Ἀθανάσιος ἱερεὺς Οἰκονόμου 1
Ἀθανάσιος ἱερεὺς Τζούβας 1
Α. Γελινιώτης 1
Γ. παπᾶ Ἰωάννου 1
Α. Ἰωάννου Ντελῆ 1
Γεώργιος ἱερεὺς παπᾶ Παναγιώτου 1
Μ. Μανιάτης 1

Μπουλάτη.

Σ. Καζεμίτης Καλυβιώτης 1
Κ. Καλαπόδης 1
Ι. Γεώργας 1

Μεγάλου Ζευγαλατιοῦ Αἰγίου.

Π. Οἰκονόμου δήμαρχος 1
Μ. Θεοχαρόπουλος 1
Α. Πάνου 1
Α. Μπάρτζη 1
Α. Οἰκονόμου 1
Μ. Σαρῆς 1
Α. Ποτούρης 1
Γ. Χρήστου 1
Ἀθανάσιος ἱερεὺς Λέκας 1
Δ. Μπάρτζη 1
Ι. Μπετζεάκος 1
Σπύρος ἱερεὺς 1
Α. Ρομπόκος 1
Παναγῆς παπᾶ Ἰωάννου 1
Ν. Δημητρίου 1
Β. Εὐσταθίου 1

Καρυά.

Ὁ Πρωτοπαπᾶς 1
Α. Οἰκονομόπουλος 1
Κ. Στεριόπουλος 1
Χ. Κακολέβης 1
Δ. Γιαννάκη 1
Κ. Κακολέβης 1
Α. Τζαγρῆς 1
Ν. Ἀνδρίκου 1
Δ. Στεριόπουλος 1
Ι. Ἀγρίμνης 1
Ι. Γουλῆς 1
Ι. Κορίλου 1

Οἱ ἐν Πόρῳ.

Παπᾶ Σωτήριος σκευοφύλαξ 2
Παπᾶ Σταμάτιος Κανέλος 1
Παπᾶ Ἰσίδωρος Ἀθηναῖος 1
Σ. Ἀβαντινὸς 1
Πάνος Γ. Μπουγιουκλῆ 1
Χρῆστος Γ. Τρούλης 1
Μιχαὴλ Α. Κοσμᾶ 1
Κ. Δ. Μπάθας 1
Β. παπᾶ Γεωργίου 1
Γ. Δεληγιάννη 1
Σάββας Α. Τρίτζου ἀπὸ Ὕδραν 1
Π. Δ. Κουποτόρη ἀπὸ Ὕδραν 1
Κ. Β. Κοντοδήμας 1
Ἀναγνώστης Σωτήρου 1
Σ. Κ. Περαματζῆ 1
Σ. Γ. Δέδε 1
Χρῆστος Παπᾶ Λιβαδίτης 1
Καπετὰν Γεώργιος Σαρῆς 1
Γ. Ἀναγνώστου Πασσιώτου 1
Α. Μπαφούρης 1
Α. Α. Ραδίτζα 1
Δ. Σ. Παγώνη 1
Δ. παπᾶ Βαφεὺς 1
Γ. Γκίκα 1
Ι. Α. Πανάγου 1
Γ. Κοσμᾶς παπᾶ Γεωργίου 1
Στάμος παπᾶ Γεωργίου Ἀθηναῖος 1
Α. παπᾶ Ἰωάννου Ζήπουλη 1

Οἱ ἐν Ἀθήναις.

Γ. Γεννάδιος γυμνασιάρχης 1
Κ. Τ. Οἰκονομίδης σχολάρχης 1
Προκόπιος παπᾶ Γεωργίου ἱεροδι. 1
Στέφανος Ι. Σπηλιοτόπουλος 1
Δοσίθεος Ἀσημακίδης 1
Γεράσιμος Καλοκαιρινὸς Κρὴς 1
Νεόφυτος Γεωργίου ἱεροδιάκονος 1
Νεόφυτος Κωνσταντίνου ἱεροδιάκ. 1
Διονύσιος Σασανᾶς ἐκ Σπάρτης 1
Χριστόφορος ἱερομόναχος Ἀκαρνὰν 1
Ἱερεμίας Καζάκος ἐκ Κυνουρίας 1
Κοσμᾶς παπᾶ Ἀλεξίου Δωριεὺς 1
Μητροφάνης Οἰκονομίδης 1
Ἰωάννης Καραβέλας ἱερεὺς 1
Προκόπιος Λαυριώτης ἱερομόναχ. 1

Ἄμφισσα ἢ Σάλωνα.

Νικόλαος ἱερεὺς παπᾶ Ἀθανασίου 1
Γ. Οἰκονομίδης διοικητὴς 1
Γ. Πετρόπουλος Ταμίας 1
Γιαννοῦτζος Διτζικόπουλος 1
Α. Δερμάνης 1
Δουκᾶς Καλπουτσόπουλος 1
Δ. Η Κόκκαλης 1
Δ. Στάμου Χαλασᾶς 1
Π. Παπακοκκινόπουλος 1
Γ. Βώτζης 1
Δρόσος Γεωργίου ὑπολοχαγὸς 1
Δ. Βέλιος 1

Δῆμος Παρρασίου ἢ Τοπόλια.

Δημήτριος ἱερεὺς Οἰκονόμου 2
Ἀναστάσιος ἱερεὺς 1
Χ. παπᾶ Ἀθανασίου δήμαρχος 1
Γιαννούλης Γ. Μερχῆς 1
Ν. Οἰκονόμου 1
Χ. Λ. Μαντζαβίνου 1
Δ. Ἀργυρίου 1
Δ. Γ. Τέμπελος 1
Α. Κουτζολοῦκας 1
Α. Δ. Σραβοτζάκης 1
Β. Τασούλας 1
Ν. Κραβαρίτης 1
Ι. Α. Δ. Μερλῆς 1
Β. Α Κουβελόπουλος 1

Η. Δημητρᾶς 1
Π. Κόβελος 1

Χρυσόν.

Λουκᾶς ἱερεὺς Οἰκονόμου 1
Ζ. Ἀθανασίου 1
Κ. Κολοθέτης 1

Δίστομον.

Ἰωάννης ἱερεὺς Γεωργίου 1
Γεώργιος Ι. Οἰκονόμου 1
Ἀναστάσιος ἱερεὺς 1
Α. Γαμπρίλης 1
Γ. Πέτρου 1
Α. Σφιντούρης 1
Σ. Ι. Δασκαλόπουλος 1
Λουκᾶς Οἰκονόμου 1

Ἡ Μονὴ τοῦ προφήτου Ἠλιοῦ.

Ὁ ἡγούμ. Βενιαμὶν Νικολάου 1
Ὁ προηγ. Ζωσιμᾶς Δημητρίου 1
Ὁ προηγ. Νεόφυτος Ἰωάννου 1
Ὁ νεκτάριος παπᾶ Ἰωάννης 1
Διονύσιος μοναχός 1
Παναγιώτης ἱερεὺς Ἐλευθερίου 1
Α. Ν. Τελιαδόρος Κόνιτζας 1
Ι. Ν. Ταλιαδόρος Κόνιτζας 1

Ἡ Μονὴ τοῦ ὁσίου Λουκᾶ.

Εὐγένιος Ἡγούμενος 1
Θεοδόσιος Προηγούμενος 1
Ἰωσὴφ Προηγ. 1
Παρθένιος Προηγ. 1
Ἀμβρόσιος Σκευοφύλαξ 1
Ἱερεμίας ἱερομόναχος 1
Νίκανδρος μοναχός 1

Μονὴ τῆς Ἱερουσαλὴμ.

Ἡγούμενος Εὐγένιος 1
Προηγούμενος Πορφύριος 1

Μονὴ τῶν Ταξιαρχῶν Χόστια.

Τὸ κοινὸν 1
Σίλβεστρος Ἡγούμενος 1
Ματθαῖος Προηγούμενος 1
Ἀγάπιος Προηγούμενος 1

Μονὴ τοῦ Πομποῦ.

Τὸ κοινὸν 1
Γρηγόριος ἡγούμενος 1

Λεβαδία.

Λάμπρος Νάκος 1
Φλωρέντζα Ι. Κοντουμᾶ 1
Κατίνα Α. Γεωργαντᾶ 1
Ἐμμανουὴλ Σπυρίδωνος 1
Ἄννα Νάκου Καλογεροπούλου 1
Γ. Βάγιας 1
Εὐδοκία Π. Π. Ναούμ 1
Γ. Κ. Μίχου 1
Κ. Προβελέγγιος 1
Κ. Παπαρηγόπουλος 1
Κ. Παλάσκας 1
Φίλων Ι. Φίλωνος 1
Κ. Π. Ἰατροῦ 1
Παῦλος Κονταξῆς 1
Ὁ αὐτός 1 1
Ἀναγ. παπᾶ Ζήσιμου 1
Δ. Σερέτζογλους 1
Ι. Β. Ρουσόπουλος 1
Δ. Λαπούστάθης 1
Γεώργιος ἱερεὺς ἀπὸ ἁγ. Γεώργιον 1
Ι. Λεονάρδου ἐκ Διστόμου 1
Ἰωάννης ἱερεὺς ἀπὸ Στεφάνιον 1
Γ. Σ. Ἀθανασιάδης Πελοπον.

Μονὴ τοῦ ἁγίου Σεραφείμ.

Ὁ Κ. Γεράσιμος 1

Ὑπάτη.

Ζαχαρίας παπᾶ Γιαννάκης 1
Γ. Οἰκονομόπουλος 1
Ν. Κοντογιάννης 1
Δ. Ι. Κλίμακας 1
Εὐαγγέλης Μ. Κοντογιάννης 1
Δ. Γ. Κοκκώνης ἐνωματίας 1
Νικόλαος Μαβρονιώτης ἐνωματίας 1
Κ. Σκαπαρδύνης ἐκ Κάψι 1
Πετράκης Χ. Πέτρου 1
Γ. Γούλης 1
Ι. Βλαχόπουλος 1
Π. Ξεροζήρης ἐκ Καστανιᾶς 1

Νικολάκης 1
Δῆμος Π. Σταμούλης 1

Μάκρεσι.

Δῆμος ἱερεὺς Ἀθανασίου 1
Ἀναστάσιος ἱερεύς 1
Ν. Ἀναγνώστου 1
Δ. Καλιμάνης 1
Δ. Βεργιᾶς 1
Γ. Ἀντωνίου 1
Ἀναγ. Καραβέλης 1

Βαρμπόπη.

Χ. Τζηκαλᾶς 1
Νάκας ἐκ Ρενδίνης 1
Κ. Μιτζόπουλος ἐκ Καλιδρόμης 1
Εὐθύμιος ἱερεὺς Οἰκονόμου 1

Καλιδρόμη.

Δ. Κολοκυθόπουλος διὰ τὸν ἐν Ἐχαλίᾳ ναὸν ὡς ἐπίτροπος 1
Ἀνδρέας Γ. Α. Ἰατρίδου 1
Π. Δαμίλος 1
Χ. Ζωγραφίδης Μαβρίλη 1
Γ. Δημητριάδης 1
Ι. Χ. Καρύδης 1
Α. Τάσου ἐκ Μαβρίλη 1
Καλλίνικος ἡγούμενος Μπόρπου 1
Γ. ἡγούμενος Ταταρνης 1
Ξενοφῶν Ι. Χαντζόπουλος 1
Π. Ἀθανασιάδης δημοδιδάσκαλος 1
Κ. Ἀσημακόπουλος ἐκ Πατρῶν 1
Δ. Κυπριανοῦ λοχαγός 1

Δομοκόν.

Ἰάκωβος ἡγούμ. ἁγ. Ἀθανασίου 1
Γεώργιος ἱερεὺς Σακελλάριος 1

Γαρδίκη.

Μακάριος Ἀνδρέου 1
Ἀθανάσιος ἱερεὺς Εὐσταθίου 1
Δημήτριος ἱερεὺς Κοματάκης 1
Τριαντάφυλλος Κ. 1
Τριαντάφυλλος Χρήστου 1
Α. Π. Γεωργίου 1
Πανταζῆς Α. Κ. 1

Κ. Μαμούχας 1
Πανταζῆς Ζάχου 1
Ἰωάννης Κ. 1
Σίρος Ἀλεξανδρῆ 1
Κ. Γεωργίου 1
Ἀθανασιάδης Κ. 1

Ναύπακτος καὶ Ἀντίριον.

Εὐστάθιος Ν. λοχαγός 1
Κ. Κανδήλης ἀνθυπασπιστής 1
Γεώργιος ἱερεὺς ἀπὸ ἅγ. Γεώργιον 1
Μιχάλης ἱερεὺς ἀπὸ ἅγ. Γεώργ. 1

Μονὴ Βεργάκοβα.

Χρύσανθος Ἡγούμενος 1

Ῥάχοβα Λεβαδίας.

Κ. Ἀργυρόπουλος ἐκ Καστορίας 1
Δ. Πανταζίδης δημοδιδάσκαλος 1

Βόνιτζα.

Ι. Σ. Στάϊκος 1
Θ. Γ. Παλαμᾶς 1
Καλλίνικος ἱερομ. γέρων Δράκος 1
Τζανέτος Δημητρίου 1
Κ. Κεραμιδᾶς 1
Σάββας Φιλιππουπολίτης 1
Α. Δ Ζέρβας 1
Αἰώνης Δανεκλῆς 1
Α. Ι. Γαβριλάκης 1
Ν. Μαγγινόπουλος ἐξ Ἀνστακοῦ 1
Α. Κιτζάκης 1
Α. Ζέρης 1
Εὐαγγέλης Ἰω. 1
Γ. Πάκμορ 1
Α. Ζαλογγίτης 1
Δ. Ν. Μπούας δημοδιδάσκαλος 1
Α. Γ. Σῶκος δημοδιδάσκαλος 1
Σ. Μαλιαρέσης 2
Εὐστάθιος Νέμπαρης 1
Μελέτιος καθηγούμ. τῆς Μ. Ῥωμ. 2
Γ. Θ. Ἀρνής 1
Δ. Α. Τζακαλῶτος 1
Ἄνθιμος ἱερομ. Βρετὸς ἐξ Ἀρέθα 2
Ι. Τζακίρης λοχαγὸς Σμυρναῖος 1
Δ. Τζάμης Γριβογεῶργος 1

Καραβοσαρᾶς.

Ι. Τομπακάκης διοικητὴς 3

Ι. Στράτος συνταγματάρχης 2
Ι. Π. Φαρμακάκης ταγματάρχης 1
Ἰωάννης ἱερεὺς ἐκ Κουνουπίας 1
Γ. Λέλης οἰκονομικὸς ἐπίτροπος 1
Ι. Πεταλᾶς Ἰθακήσιος 1
Κ. Παπαληθείας ἐκ Πρεβέζης 1
Σ. Α. Βαρζέλης ἐκ Πρεβέζης 1
Ι. Τζικνιᾶς 1
Σ. Ἀλύπιος ἐκ Πρεβέζης 1
Α. Σάμπος ἐκ Πρεβέζης 1
Νικόλαος ἱερεὺς ἐκ Κατούνης 1
Ι. Τομαρόπουλος ἀπὸ Ἄνινον 1
Ἀθανάσιος Α. γέρων ὑπολοχαγός 1
Γ. Μπέλος 1
Ι. Ν. Τζικουνιᾶς 1
Πέτρος ἱερεὺς Οἰκονόμος 1
Γ. Κωνσταντίνου 1
Π. Καραπανάκης 1
Δ. Μέγας κλητὴρ 1
Γ. Τζεκελόπουλος ἐκ Βονίτζης 1
Ε. Χαροκόπος ἐκ Μπεμπίνης 1
Γ. Τροκάκης 1
Σταμούλης Α. γέρων Μίτζος 1
Ι. Πετιμέζης λοχαγός 1
Γεώργιος ἱερεὺς Κ. ἐκ Φουρνᾶς 1
Γ. Λαϊνᾶς δήμαρχ. Μαρανθίας 1
Ἀμβρακίας Α. Κιρόσιμος 1
Α. Κ. Μώραλης 1
Β. Καραπάνος 1
Β. Τερζῆς 1
Ι. Μποτζάρης 1
Ἐμ. Α. Μανολάκης 1
Α. Χ. Μοναστηριώτου 1
Θ. Ι. Μπράσκος 1
Δ. Καραγιαννόπουλος 1
Γεράσιμος ἱερομόναχος 1
Α. Τζίτζηρας 1
Γεώργιος ἱερεὺς Π. Ι. 1
Δ. Μιχούλης λοχαγὸς 1
Σ. Χαρατζάρης 1
Μίτζος Τζετζόνης 1
Ι. Τούτζης 1

Χαλκιοπούλους Σύντεκνον.

Ἰωάννης ἱερεὺς Βουλπιώτης 1
Σταμούλης Μοσκοβίτης λοχαγὸς 1
Κωνσταντῖνος ἱερεὺς 1
Γεώργιος Καραχρήστου ὑπολοχαγ. 1

Δ. Χαντζῆς 1
Γιαννάκης Καραϊσχάκης 1
Ἰωάννης Χρήστου δήμαρχ. Φωτίας 1
Φώτιος Καραχρῆστος 1
Ι. Σκαρμίτζας 1
Καραδῆμος Χαντζάρας 1
Γ. Γραμματικογιάννης 1
Γ. Ἀναστασίου διδασκάλου 1
Γ. Σεχλῆς 1
Δῆμος Βασιλείου 1
Α. Ψωριάρης 1
Ἰωάννης ἱερεὺς Μπολόνης 1
Σπυρίδων ἱερεὺς Οἰκονόμος 1
Γ. Κακαρεντζάκης ἀνθυπολοχ. 1

Αἰτωλεία (Βραχώριον).

Δημήτριος ἱερεὺς παπᾶ Νικολάου 2
Ἄνθιμος πρώην ἡγούμ. Βλοχοῦ 2
Ἰωάννης ἱερεὺς Κωνσταντίνου 1
Φώτιος ἱερεὺς Παναγιώτου 1
Κ. Ἀθανασίου 1
Δοσίθεος ἱερομόναχος 1
Ν. Μέμαλης 1
Προκόπιος Κωνσταντίνου 1
Γ. Γαλανόπουλος 1
Ἰωαννίκιος πρώην ἡγούμ. Λιγοβιτζίου 1
Α. Καστανάς 1
Α. Πανταζόπουλος 1
Γαλάνης Μέγα Πάνος 1
Ν. Ἀθανασιάδης δημοδιδ. 1
Α. Ἀναστασόπουλος Χαμαμτζῆς 1
Γ. Κ. Βελῆς 2
Α. Σπυρόπουλος 1
Ι. Στάϊκος συνταγματάρχης 2
Πάνος Σκαμπαρδόνης 1
Σταμάτης Γριπάρης 1
Ἀναγ. Οἰκονόμου 1
Λάμπρος Ν. Δανκλῆς 1
Ι. Γοτζίστας 1
Κωνσταντῖνος ἱερεὺς Οἰκον. 1
Ἀθανάσιος ἱερεὺς 1
Χ. Καραλῆς 1
Δ. Τραγωδάρης 1
Σ. Ζ. Στάϊκος 1
Γ. Δημητριάδης 1
Γ. Γουλμῆς 1

Μεσολόγγιον.

Ἰωαννίκιος ἀρχιμανδρ. Ἀγγελέτος 1
Γεράσιμος Ζαλογγίτης ἀρχιδιάκ. 1
Νικόλαος ἱερεὺς Χαλικόπουλος 1
Ἄνθιμος ἱερομ. Ζωσιμᾶς ἐκ τῆς μονῆς Κατεριννῦ 1
Θ. Κ. Δρακοπούλου 1
Ἀποστόλης Τρικούπης 1
Α. Κ. Βαλτινός 1
Ἄνθιμος ἱεροδ. μουσικός 1
Πολύκαρπος ἀρχιδ. Ῥαζῆς 1
Σ. Σκοπόπουλος 1

Ἀνατολικόν.


Ἰωάννης ἱερεὺς σακελ. Οἰκονομόπ. 1
Νικόλαος ἱερεὺς Οἰκονόμος 1
Α. Λεβαντὴς Ντῖνος 1
Ι. Σκάκας 1
Γ. ...ουρᾶς 1
Δημήτριος ἱερεύς 1
Λάσκαρης Φραγγούλης 1

Οἱ ἐκ Πρεβέζης τῆς Ἠπείρου.

Σπυρίδων Γιαννάκης 1
Ἀνανίας καθηγούμ. τῆς μονῆς Ζαλειγκοῦ 1
Χ. Σκάφης ἐπίτροπος τοῦ ἁγίου Ἀθανασίου 1
Θ. Μαγκιόρος καὶ Δημήτριος ἐπίτροποι τοῦ ἁγίου Νικολάου 1
Δ. Ἀγώρης, Α. Καραβέλας καὶ Β. Σταχαλότος ἐπίτροπ. τοῦ ἁγίου Χαραλάμπους 2
Β. Ῥίκης καὶ Δ. Τριανταφύλλης ἐπίτροπ. τοῦ ἁγ. Κωνσταντίνου καὶ Ἑλένης 1
Ἀνανίας καθηγούμ. τῶν ἁγίων Ἀποστόλων 1
Διονύσιος καθηγούμ. τοῦ προφήτου Ἠλιοῦ 1

Ἐκ τῆς νήσου Ζακύνθου.

Ὁ πανιερώτατος μητροπολίτης Διονύσιος καὶ ἔξαρχος τῆς Ἰωνικῆς Ἐκκλησίας 1
Νικογεώργιος Κοκκίνης μέγας πρωτοσύγγ. καὶ οἰκονόμος 1
Ἄγγελος Κυβετὸς μέγ. ἀρχιμανδρ. 1
Στυλιανὸς Χαλκοματᾶς 1
Διονύσιος Στουπάθης μέγ. σκευοφύλαξ 1
Γ. Μάνεσης μέγ. χαρτοφύλαξ 1
Διονύσιος Ἄνινος Σακελλίων 1
Κόμης Δ. Ῥώμας 2
Δ. Καλουδάκος πρωτέκδικος 1
Γ. Ξένος πρωτονοτάριος 1
Σεραφὶμ ἱερομ. ἐκ τῆς μονῆς ἁγ. Διονυσίου 1
Ἄνθιμος Ἀργυρόπουλος ἱερομ. 1
Ἀθανάσιος Καμινάρης ἱερομ. 1
Ἰωαννίκιος Παγιανόπουλος 1
Διονύσιος Κλαυδιανὸς ἱερεὺς 1
Ἀναστάσιος Πολίτης ἱερεὺς 1
Ἰωάννης Τζιλιμίγκρης ἱερεὺς 1
Μιχαὴλ Κοριανίτης ἱερεὺς 1
Γεώργιος Τζαγκαρουσιάνος ἱερεὺς 1
Παναγιώτης Νικολόπουλος ἱερεὺς 1
Διονύσιος Κάπαρης ἱερεὺς 1
Ἰάκωβος Γεραρυτίνης 1
Ι. Δραμέσης Ἀναγνώστης Λογιώτατος 1
Ἀνδρέας Σπετζέρης 1
Σπυρίδων Τζόκος 1
Ν. Μαλοῦχος τοῦ ποτὲ Στάθη 1
Π. Ἀντριώλης τοῦ ποτὲ Ἀντωνίου 1
Π. Νιφάκος ἰατρός 1
Π. Μποζίκης 1
Ὁ κόμης Γ. Λογοθέτης καῖσαρ 1
Δ. Μαρτινέγγος Γαΐτας 1
Ι. Γρύπαρης 1
Ν. Τερτζέτης 1
Δραγανῖγος Γαΐτας 1
Σαμουὴλ Μπάφ 1
Ῥοβέρτος Σάργεντ 1
Π. Θ. Στεφάνου 1
Ε. Γιαννόπουλος 1
Δ. Γιαννόπουλος 1
Χ. Ν. Ῥαυτάνης 1
Θ. Τζικλητήρας 1
Χ. Δημητριάδης 1
Γ. Ν. Ῥαυτάνης 1
Ε. Σκιαδᾶς 1
Δ. Παπαδόπουλος 1
Π. Τζοροτόπουλος 1
Β. Βουκελάτος 1
Δ. Ἀργασάρης 1
Σ. Ι. Λεονταρίτης 1
Α. Δ. Δημάκος 1
Χ. Κοκορόπουλος 1
Ῥοβέρτος Τζανότης 1
Δ. Παπαγεωργόπουλος 1
Δ. Βουλδοῦς 1
Σ. Χ. Ῥαυτάνης 1
Δ. Μουσαΐτης 1
Δ. Μπαμπάκος 1
Δ. Δ. Παπαδόπουλος 1
Α. Ἀκρατόπουλος 1
Δ. Παναγιωτόπουλος 1
Γ. Διακόπουλος 1
Χ. Διακόπουλος 1
Ν. Δάρας ἀπὸ Γερακάριον 1
Ι. Σκουτερίδης 1
Σ. Ταμπακόπουλος 1
Δ. Πάτερης 1
Γ. Ξυνόπουλος 1
Σ. Παναγιωτόπουλος 1
Γ. Γιαννόπουλος 1
Σ. Παπαζαφειρόπουλος 1
Α. Σπουργίτης 1
Σ. Χιόνης Κάπος Γερακαρ. 1
Ι. Τουτουνάκος 1
Γ. Κοντούλης 1
Δ. Ἰατρός 1
Παῦλος Καβελάρης 1
Δ. Πομόνης 1
Π. Θεοδωρακόπουλος 1
Α. Πετρακιανὸς Χαλκωματᾶς 1
Π. Κ. Ἀντωνόπουλος 1
Ε. Ῥαζῆς 1
Χ. Καρέλης 1
Γ. Διαμαντῆς Μπάφας 1
Δ. Γεωργάνος 1
Ι. Πέτας ἀπὸ Μπελούση 1
Α. Μιχανὸς Κοκκίνης 1
Δ. Τάμπεσης ἀπὸ ἅγ. Ἀντώνιον 1
Χ. Ξηρογιαννόπουλος 1
Κ. Πετρόπουλος Σπαρτιάτης 1
Ε. Δ. Ἰατρίδης Σπαρτιάτης 1
Α. Μαρκόπουλος 1
Σ. Πετρόπουλος Σπαρτιάτης 1
Δ. Σκορδύλης 1
Ν. Α. Τζαγκάρης 1
Γ. Δ. Κουτρογιαννόπουλος 1
Ῥωξάνδρα Ι. Ἀσημακοπούλου 5
Σ. Μέγκουλας 1



1. Ἡ Ἐκκλησία τῶν Ἁγίων Πάντων. 2. Ὁ ὑδρόμυλος. 3. Τὸ Παλάτιον. 4. Ἡ πύλη τοῦ Μοναστηρίου. 5. Ὁ Νάρθηξ τῆς ἐκκλησίας. 6.6.6. Οἱ τρεῖς φαινόμενοι αὐτόγλυφοι σταυροί. 7. Ὁ μικρὸς πύργος. 8. Ὁ μέγ: πύργος. 9. Τὸ Κανονοστάσιον.
10. Τὸ Σχοινοποιεῖον. 11. Ὁ χορτών. 12. Τὸ ἱπποστάσιον. 13. Τὸ γαλακτών. 14. Ἡ Ἐκκλησία τοῦ Ἁγ: Νικολάου. 15. Ὁ μονόλιθος γνώμων τῆς ἐαρινῆς ἰσημερίας. 16. Τὸ λιθάριον τῆς Παναγίας.